IN

Lycophronis Caſſandram

GULIELMI CANTERI

ULTRAJECTINI

ANNOTATIONES.



M Burghers sculp. Univ. Oxon.

ΛΥΚΟΦΡΟΝΟΣ

ΤΟΥ

ΧΑΛΚΙΔΕΩΣ

ΑΛΕΞΑΝΔΡΑ,


Τὸ σκοτεινὸν Ποίημα· Καὶ εἰς αὐτὸ τῦτο

ΙΣΑΑΚΙΟΥ,

μᾶλλον δὲ

ΙΩΑΝΝΟΥ, τῦ ΤΖΕΤΖΟΥ

ΕΞΗΓΗΜΑ.



Ἐκ ΘΕΑΤΡΟΥ ἐν ΟΞΟΝΙΑι,
Ἔτει τ̃ς θεογονίας αψϛ'.

Imprimatur,

FITZ-HERB. ADAMS,

VICE-CANC. OXON.

Febr. 26. 169$\frac{6}{7}$.

LECTORI
S.

D*ATAM ante aliquot annos fidem sic Tibi, Lector Amice, sic* Lycophroni *tandem absolvi, ut multo Ille, quam umquam antehac, splendidior, multo etiam (liceat hoc adjicere) emendatior in lucem prodeat. Nec opera mea indignus videatur hic Poeta, (audis invidiosorum calumnias) in quo non modo* Scaliger, Canterus, Meursius, *magna apud Literatos nomina, sed clarissima prisci ævi Criticorum ingenia se exercuerunt. Possem hic Auctorem meum magnificis verbis extollere, laudes, quas vere meruit, enumerare, quas etiam non meruit (ut nonnullis solenne est) assuere; si aut hoc* Lycophron *postularet, aut Ego meam eloquendi facultatem intempestive jactare vellem. Id potius agam, ut meum quale fuerit in hoc edendo consilium, paucis exponam.*

Prima igitur cura fuit, ut Lycophronem *integrum, & emaculatum in manus tuas transmitterem: Quem in finem, Codices omnes impressos, quos quidem videre contigit, diligenter evolvi; ad hos etiam MSS. duos contuli, quorum unum Bibliotheca* Barocciana, *alterum* Seldeniana, Bodleianæ *partes haud ignobiles, suppeditarunt; ex omnibus textum, qui videbatur ad exprimendam Poetæ mentem maxime accommodatus, erui, & concinnavi: Ut, denique, judicio Tuo in omnibus libere uti possis, collectas undecumque lectionum varietates summa cum fide adjiciendas curavi. His* Canteri *versionem solutam addidi,* Scaligeri *metricam ad calcem apposui,* Bertrandi *etiam, qui* Lycophronem, *ejusque Scholiasten* Latio *donavit, interpretationem adjecturus, si quid habuisset Lectione Tua, aut iteratis Typis dignum.*

Ne vero solus exiret scriptor obscurus, &, ut ipse profitetur, Sphingis *æmulus;* Oedipi *loco,* Isaacium Tzetzen *comitem individuum adjunxi; cui edendo quantum laboris impensum fuerit, ex attenta lectione facile constabit:* Tzetzen

enim exhibeo, non, qualem priores, mutilum, corruptum, deformem; sed pluribus in locis auctum, mendis innumeris repurgatum, &, ut spero, nativæ puritati restitutum. Ne vero nimia in emendando licentia usus fuisse, aut sublesta fide quidpiam egisse videar, quæcumq; ex MSS. Codicibus adjecta sunt, stellulis interclusi, & τῶν σφαλμάτων *præcipuorum (leviora enim numerum omnem exsuperant) specimen ad imam paginæ oram subjeci; ut erudito Lectori integrum sit, conjecturas suas interponere, aut nostras ex emendatiore Codice denuo restituere. Quoniam vero plurima sunt in* Lycophrone, *eaque difficultatis minime contemnendæ (vitium loquor Commentatorum, præsertimq; Scholiastarum gregi nimis familiare) quæ* Tzetzes, *aut non omnino attigit, aut non satis explicavit, nonnulla etiam, in quibus insigniter hallucinatus est;* Canterum, & Meursium *in subsidium vocandos judicavi, eorumque integros Commentarios, multo tamen, quam prius, emendatiores, excudendos curavi: Ut sine arrogantia affirmare possim, nihil esse in cæteris editionibus lectu dignum, quod non hæc nostra plene perfecteque complexa sit. Coronidis loco, & quo cæterorum defectus supplere possem, novum Commentarium adjeci, quem si cæterorum explicationibus adjungere dignaberis, adeo plana, perspicua, & dilucida fore confido omnia, (unum, aut alterum excipias, in quibus ignorantiam meam ingenue confiteor) ut numquam posthac* Lycophron τοῦ σκοτεινοῦ *titulo se efferre poterit. Non tamen eo processi temeritatis, ut me juvenem, & tironem erroribus immunem credi vellem, quod ne illis quidem contigit, quibus datum fuit arenæ Philologicæ insenescere; sed horum, quotquot sunt, exorandus es, candide Lector, ut partim ætati meæ condones, partim negotiis, quæ me continue distringunt, distrahuntque.*

Constitueram, erudite Lector, quo Liber hic justiorem molem obtineret, Nicandrum *consimili opera ornatum una emittere; sed cum nullius MSC. Codicis copia esset, & mutata studiorum ratio aliud suaderet, satius duxi, & in rem meam conducibilius, propositum opus dimittere: Altiores jam me vocant curæ, quæque (prout dignæ sunt) totum habebunt: Indignum enim semper putavi homine Christiano, præsertim qui sacræ Theologiæ nomen dedit, in vanis, & inutilibus Ethnico-*

rum

rum deliriis ætatem ludere; cum interim mirum, quanta SS. Patrum supellex contemta, aut, non minus ac si contemneretur, neglecta, & inculta jaceat. Per me licet, alii laureas captent ex Critica, ex Historia, ex Philosophia, cæterisque Artibus, in quibus me lubens fateor vix esse mediocriter versatum; Mihi sane videbor summum attigisse felicitatis culmen, si quid ad Bonorum profectum, si quid ad Ecclesiæ Christianæ decus tenue hoc ingenium conferre umquam poterit.

Dabam OXONIÆ,
X. KAL. Martii A. C. 169⅘.

LYCOPHRONIS VITA,

E SUIDA.

ΛΥΚΟΦΡΩΝ Χαλκιδεὺς, ἀπὸ Εὐβοίας, υἱὸς Σωκλέους, θέσει Λύκου τοῦ Ῥηγίνου, γραμματικὸς, καὶ ποιητὴς τραγῳδιῶν. Ἐστι γοῦν εἷς τῶν ἑπτὰ, οἵτινες πλειὰς ὠνομάσθησαν. Εἰσὶ δὲ καὶ τραγῳδίαι αὐτοῦ, Αἴολος, Ἀνδρομέδα, Ἀλήτης, Αἰολίδης, Ἐλεφήνωρ, Ἡρακλῆς, Ἱκέται, Ἱππόλυτος, Κασσανδρεῖς, Λάϊος, Μαραθώνιοι, Ναύπλιος, Οἰδίπους, ά β΄ Ὀρφανὸς, Πενθεὺς, Πελοπίδαι, Σύμμαχοι, Τηλέγονος, Χρύσιππος· διασκευὴ δ' ἐστὶν ἐκ τούτων ὁ Ναύπλιος. Ἔγραψε δὲ καὶ τὴν λεγομένην Ἀλεξάνδραν, τὸ σκοτεινὸν ποίημα.

D E L Y C O P H R O N E

EXCERPTA E VARIIS AUCTORIBUS.

Clemens Strom. lib. V.

ΚΑΙ μυρία ἐπὶ μυρίοις εὕροιμεν ἂν ὑπό τε φιλοσόφων, ὑπό τε ποιητῶν αἰνιγματωδῶς εἰρημένα· ὅπου γε καὶ ὅλα βιβλία κεκρυμμένην τὴν τοῦ συγγραφέως βούλησιν ἐπιδείκνυνται· ὡς καὶ τὸ Ἡρακλείτου περὶ φύσεως, ὃς καὶ δι' αὐτὸ τοῦτο Σκοτεινὸς προσηγόρευται· ὁμοία δὲ τούτῳ τῷ βιβλίῳ ἡ Φερεκύδους Θεολογία τοῦ Συρίου· Εὐφορίων γὰρ ὁ ποιητὴς, καὶ τὰ Καλλιμάχου Αἴτια, καὶ ἡ Λυκόφρονος Ἀλεξάνδρα, καὶ τὰ τούτοις παραπλήσια, γυμνάσιον εἰς ἐξήγησιν γραμματικῶν ἔκκειται ἅπασιν, σαφῶς οὐδὲν ἐκτίθεται.

Statius Sylv. lib. V. in Epiced. Patris.

Carmina Battiadæ, latebraſque Lycophronis atri.

Artemidorus lib. IV. cap. LXV.

Εἰσὶ καὶ παρὰ Λυκόφρονι ἐν τῇ Ἀλεξάνδρᾳ, καὶ παρὰ Ἡρακλείδῃ τῷ Ποντικῷ ἐν ταῖς Λέσχαις, καὶ Παρθενίῳ ἐν Ἐλεγείαις, καὶ παρ' ἄλλοις πολλοῖς ἱστορίαι ξέναι καὶ ἄπειροι.

Hephæſtionis Scholiaſtes.

Ἑπτὰ λέγεται εἶναι τραγῳδοὶ, διὸ καὶ πλειάς ὠνομάσθησαν· ἐπὶ Πτολεμαίου γεγόνασιν οὗτοι, ἄριστοι τραγικοί· εἰσὶ δὲ οὗτοι· Ὅμηρος νεώτερος, Σωσίθεος, Λυκόφρων, Ἀλέξανδρος, Φίλικος, (ſcribo Φίλισκος) Διονυσιάδης, (Strabo lib. XIV. Dionyſiden vocat) Αἰαντίδης.

Alius ejuſdem.

Ἐπὶ τῶν χρόνων Πτολεμαίου τοῦ Φιλαδέλφου ἑπτὰ ἄριστοι γεγόνασι τραγικοὶ, οὓς πλειάδα ἐκάλεσαν, διὰ τὸ λαμπροὺς εἶναι ἐν τῇ τραγικῇ, ὥσπερ ἄστρα τὰ ἐν τῇ πλειάδι. Εἰσὶ δὲ οὗτοι· Ὅμηρος, οὐχ ὁ ποιητὴς, ἀλλ' υἱὸς Ὁμήρου (ſcribo ὁ Μυροῦς υἱὸς) τῆς Βυζαντίας ποιητρίδος, καὶ Σωσίθεος, καὶ Λυκόφρων,

καὶ

ἢ Ἀλέξανδρος, ἢ Αἰαντιάδης, (is supra Αἰαντίδης) ἢ Σωσιφάνης, ἢ Φίλικος.

Hesiodi Scholiastes, Johannes Tzetzes.

Τῶν ποιητῶν οἱ μὲν εἰσι λυρικοί, οἱ δὲ μονῳδοί, οἱ δὲ κωμικοί, ἢ ἕτεροι τραγικοί, &c. μονῳδῶν δὲ γνωρίσματα, τὸ μονοπροσώπως ὑπόθεσιν ἐφηγεῖσθαι τὴν οἵαν δήποτε, οἷός ἐστιν ἐν τῇ Ἀλεξάνδρᾳ Λυκόφρων.

Diogenes Laertius in Menedemo.

Ἠσπάζετο δὲ καὶ Ἄρατον, καὶ Λυκόφρονα, τὸν τῆς τραγῳδίας ποιητήν.

Idem paulo post.

Ἀ πάντα φησὶν ὁ Λυκόφρων ἐν τοῖς πεποιημένοις Σατύροις αὐτῷ, οὓς Μενέδημον ἐπέγραψεν, ἐγκώμιον τοῦ φιλοσόφου ποιήσας τὸ δρᾶμα· ὧν καί τινα ἐστὶ τοιαυτί,

Ὡς ἐκ βραχείας δαιτὸς ἡ βαιὰ κύλιξ
Αὐτοῖς κυκλεῖται πρὸς μέτρον, τράγημα δὲ
Ὁ σωφρονιστὴς τοῖς φιληκόοις λόγος.

Athenæus Δειπνοσοφιστῶν lib. II.

Λυκόφρων δ' ὁ Χαλκιδεὺς ἐν Σατυρικῷ δράματι, ὃ ἐπὶ καταμωκήσει ἔγραψεν εἰς Μενέδημον τὸν φιλόσοφον, ἀφ' οὗ ἡ τῶν Ἐρετρικῶν ὠνομάσθη αἵρεσις, διασκώπτων τῶν φιλοσόφων δεῖπνα, φησί,

Καὶ δημόκριτος (ἄλ. δημόκοινος) ἐπεχόρευε δαψιλὴς
Θερμὸς πενήτων καὶ τρικλίνων συμπότης.

Idem lib. X.

Μαρτυρεῖ δὲ καὶ περὶ τούτων Λυκόφρων ὁ Χαλκιδεύς, γράψας Σατύρους, Μενέδημον, (εἰς Μενέδημον malit Casaub. emendatione minus necessaria) ἐν οἷς φησὶν ὁ Σειληνὸς πρὸς τοὺς Σατύρους,

Παῖδες κρατίστου πατρὸς ἐξωλέστατοι,
Ἐγὼ μὲν ὑμῖν, ὡς ὁρᾶτε, στρηνιῶ·
Δεῖπνον γὰρ οὔτ' ἐν Καρίᾳ μὰ τοὺς θεούς,
Οὔτ' ἐν Ῥόδῳ τοιοῦτον, οὔτ' ἐν Λυδίᾳ,
Κατέχω δεδειπνηκώς, Ἄπολλον, ὡς καλόν.

Καὶ προελθών,

Ἀλλὰ κυλίκιον ὕδαρές
Ὁ παῖς περιῆγε τοῦ πεντωβόλου
Ἀτρέμα παρεξεστηκός, ὅτ' ἀλιτήριος,
Καὶ δημόνικος ἐπεχόρευε δαψιλής,
Θερμὸς πενήτων καὶ τρικλίνου συμπότης.

Ἑξῆς δὲ φησίν, ὅτι ζητήσεις ἦσαν παρὰ πότον,

-------τράγημα γὰρ
Ὁ σωφρονιστὴς πᾶσιν ἐν μέσῳ λόγος.

Idem lib. VII.

Ὁ δὲ ὀψοδαίδαλος Ἀρχέστρατος ἐν τῇ Γαστρολογίᾳ, οὕτως γὰρ ἐπιγράφεται φησὶ Λυκόφρων ἐν τοῖς Περὶ κωμῳδίας, ὡς τὴν Κλεοστράτου τοῦ Τενεδίου γαστρολογίαν.

Idem lib. XI.

Λυκόφρων δ᾽ ἐν τῷ ἐννάτῳ Περὶ κωμῳδίας παραθέμενος τὰ Φερεκράτους, καὶ αὐτὸς εἶναι φησὶ γένος κύλικος τὴν λεπαστήν.

Idem lib. XIII.

Ἀντιφάνης ὁ κωμῳδοποιός, ἑταῖρε Τιμόκρατες, ὡς ἀνεγίνωσκέ τινα τῷ βασιλεῖ Ἀλεξάνδρῳ τῶν ἑαυτοῦ κωμῳδιῶν, ὁ δὲ δῆλος ἦν οὐ πάνυ τι ἀποδεχόμενος· δεῖ γάρ, ἔφησεν, ὦ βασιλεῦ, τὸν ταῦτα ἀποδεχόμενον, ἀπὸ συμβόλων τε πολλάκις δεδειπνηκέναι, καὶ περὶ ἑταίρας πλεονάκις καὶ εἰληφέναι καὶ δεδωκέναι πληγάς, ὥς φησι Λυκόφρων ὁ Χαλκιδεὺς ἐν τοῖς περὶ κωμῳδίας.

Eustathius in Homeri Odyss. Λ.

Τῷ σκοτεινῷ καὶ στενῷ τὴν ἱστορίαν Λυκόφρονι.

In hoc Libro continentur,

Isaacii Tzetzæ Prolegomena de variis Poetarum generibus.
Ejusdem Præfatio de Genere, Vita, & Scriptis Lycophronis.
Lycophronis Cassandra, cum Gul. Canteri Versione ad verbum, Variantibus etiam Lectionibus, & Isaacii Tzetzæ Scholiis ope trium MSS. Codd. emendatis & auctis, cum Emendationum specimine.
Lycophronis Cassandra, Jambico carmine translata per Josephum Scaligerum.
Index Vocabulorum, quæ in Lycophrone reperiuntur, omnium.
Index Eorum, quæ in Isaacii Tzetzæ Scholiis occurrunt memorabilia.
Index Auctorum, qui à Tzetze laudantur.
Gulielmi Canteri in Lycophronem Prolegomena.
Ejusdem Adnotationes.
Ejusdem Epitome Cassandræ, versibus Anacreontiis conscripta.
Johannis Meursii in Lycophronem Præfatio.
Ejusdem Commentarius.
Johannis Potteri Commentarius; cui præmittitur Isaacii Tzetzæ Vita.
Index in Gulielmi Canteri Adnotationes.
Index in Johannis Meursii Commentarium.
Index in Johannis Potteri Commentarium.

ΙΣΑΑΚΙΟΥ

ΙΣΑΑΚΙΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

ΠΡΟΛΕΓΟΜΕΝΑ

Εἰς τοὺς ποιητάς.

Τοῖς τῶν ποιητικῶν βίβλων κατάρχεσθαι μέλλουσι, δέον εἰδέναι πρῶτον τὰς τῶν ποιητῶν διαφορὰς, εἶθ' οὕτως ταῖς βίβλοις ἐκείνων εἰσβάλλειν, ἵν' εἰδεῖεν ὁποίου εἴδους τῶν [1] ποιητῶν μετέρχονται βίβλους. τὸ ποιητὰς γὰρ ἀπαραδιορίστως λεγόμενον, γενικὸν ἐστὶν ὁμώνυμον ὄνομα, εἰς εἴδη διαιρούμενον πλείονα· εἰς τὸν κατ' ἐξοχὴν καὶ ἀπαραδιορίστως λεγόμενον ποιητὴν, εἰς λυρικὸν ποιητὴν, εἰς διθυραμβικὸν, εἰς ἰαμβογράφον, τραγικὸν, σατυρικὸν, κωμικὸν, εἰς ἐλεγειογράφον, εἰς ἐπιγραμματογράφον, τὸν καὶ ἀναθηματικὸν, εἰς ὑμνογράφον, εἰς ᾀσματογράφον, τὸν καὶ ἀοιδὸν, εἰς ἐπιθαλαμιογράφον, εἰς μονῳδὸν, καὶ εἰς μυρία ἕτερα εἴδη, ἅπερ μακρὸν ἐστὶ λέγειν καὶ ὀχληρὸν, καίπερ ἀκριβῶς ἐπιστάμενον. Λεκτέον δέ μοι τὰ τῶν ἐνταῦθα ποιητῶν γνωρίσματα καὶ χαρακτηρίσματα. Τῶν μὲν οὖν ἀπαραδιορίστως καὶ κατ' ἐξοχὴν ποιητῶν καλουμένων, τέσσαρα ταῦτα [2] τυγχάνει γνωρίσματα· μέτρον ἡρωϊκὸν, μῦθος ἀλληγορικὸς, ἱστορία, καὶ ποιὰ λέξις, ὧν χωρὶς, ὑποποιοὶ λέγονται. γεγόνασι δὲ ὀνομαστοὶ ποιηταὶ πέντε, Ὅμηρος, Ἡσίοδος, Πανύασις, Ἀντίμαχος, καὶ Πείσανδρος· νέοι δὲ ὅσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ. * καὶ ταῦτα μὲν τὰ γνωρίσματα τῶν καλουμένων κατ' ἐξοχὴν ποιητῶν. * Λυρικῶν δὲ [3] γνωρίσματα, τὸ πρὸς λύραν τὰ τούτων ᾄδεσθαι μέλη, καὶ χορὸν ἐσχεῖν κυκλικὸν, ἄνδρας ἔχοντα πεντήκοντα, οὕσπερ καὶ ἀνέκαθεν παῖδες ἐλάμβανον. καὶ διθυραμβικοῖς δὲ τοῦτο κοινόν. οἱ διθυραμβικοὶ δὲ τῶν λυρικῶν εἶχον τι πλέον, τὸ πρὸς Διόνυσον πολυστρόφους πλέκειν τοὺς ὕμνους, καὶ τρίποδα ἐλάμβανον, διὸ καὶ διθύραμβοι ὑπὸ τοῦ Διονύσου ἐλέγοντο, τοῦ διὰ δύο θυρῶν βάντος, τῆς τε γαστρὸς τῆς Σεμέλης, καὶ τοῦ μηροῦ τοῦ Διός. λυρικοὶ δὲ ὀνομαστοὶ, δέκα· Στησίχορος, Βακχυλίδης, Ἴβυκος, Ἀνακρέων, Πίνδαρος, Σιμωνίδης, Ἀλκμάν, Ἀλκαῖος, Σαπφὼ, καὶ Κόριννα. διθυραμβικοὶ δὲ, διάσημος ποιητὴς, [4] Φιλόξενος ὁ Κυθήριος. Διθύραμβον δὲ ἤτοι κυκλικὸν χορὸν ἐν Κορίνθῳ πρῶτον ἔστησεν Ἀρίων ὁ Μηθυμναῖος. δεύτερος δὲ Λάσος, Λαβρίνης, Ἑρμιονεύς. Ἰαμβογράφων δὲ ποιητῶν γνώρισμα, λοιδορίας δι' ἰάμβων, καταχρηστικῶς δὲ καὶ δι' ἑτέρου οἵου δή τινος μέτρου. ἀριστεύουσι δὲ ἰαμβογράφοι τρεῖς, Ἀνανίας, Ἀρχίλοχος, Ἱππῶναξ. Τραγικῶν δὲ, καὶ σατυρικῶν, καὶ κωμικῶν ποιητῶν, κοινὸν μὲν τὸ τετραγώνους ἔχειν ἱσταμένους τοὺς χορούς, καὶ τὸ λαμβάνειν τράγον, ἢ τρύγα, τουτέστιν οἶνον νέον, καὶ [5] μιμηλικῶς ἐν τῇ θυμέλῃ τὰ τούτων δράματα λέγεσθαί τε καὶ δρᾶσθαι. διαφέρουσι δὲ αὐτοῖς, τὸ τὴν κωμῳδίαν ἔχειν * γέλωτα * καὶ σκώμματα, καὶ [6] κδ' χορευτάς· τὴν δὲ τραγῳδίαν, καὶ τοὺς σατύρους ἐλάσσους μὲν ἔχειν χορευτὰς ιε', διαφέρειν δὲ πρὸς ἀλλήλους, ὅτι ἡ μὲν τραγῳδία, θρήνους μόνον ἔχει καὶ οἰμωγάς, ἡ δὲ σατυρικὴ, συγκιρνᾷ ταῖς ὀλοφύρσεσιν ἱλαρότητα, καὶ ἀπὸ δακρύων εἰς χαρὰν καταστρέφειν εἴωθε. διαφέρει δὲ τραγῳδία καὶ κωμῳδία καὶ κατὰ τοῦτο, ὅτι ἡ μὲν τραγῳδία λύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησι. κωμῳδία δὲ ἐκλήθη, ὅτι κατὰ τὸν καιρὸν τοῦ κώματος, ἤτοι τοῦ ὕπνου εὑρέθη· ἢ ὅτι ἐν ταῖς κώμαις, τουτέστιν ἐν ταῖς γειτονίαις, ἢ ἐν ταῖς κώμαις, τουτέστιν ἐν τοῖς μεγίστοις χωρίοις, ἢ ὅτι ἐν τοῖς κώμοις καὶ πότοις τοῦ Διονύσου εὑρέθη. ἡ δὲ τραγῳδία, ἀπὸ τοῦ τράγον, ἢ τρύγα, τουτέστι νέον οἶνον, λαμβάνειν· ἢ ἀπὸ τοῦ τρυγὶ χρίσασθαι τὰ πρόσωπα κατ' ἀρχάς· ἢ ὅτι τετραγώνως ἵσταντο· ἢ ἀπὸ τοῦ τραχείας ᾠδὰς ἔχειν τοὺς θρήνους, τραχῳδία καὶ τραγῳδία. ἡ σατυρικὴ ἀπὸ τῶν σατύρων ἐκλήθη, τῶν εὑρόντων αὐτὴν, ἤτοι γεωργῶν καὶ εὐτελῶν ἀνθρώπων. Τραγῳδοὶ δὲ ποιηταὶ, Αἰσχύλος, Σοφοκλῆς, Εὐριπίδης, Ἀρίων, Θέσπις, Φρύνιχος, Ἴων, Ἀχαιὸς, καὶ ἕτεροι μυρίοι. κωμῳδοὶ πρεσβύτεροι, Ἀριστοφάνης, Κρατῖνος, Πλάτων, Εὔπολις, Φερεκράτης, καὶ ἕτεροι· καὶ νέοι, Μένανδρος, Φιλήμων, Φιλιστίων, καὶ πλῆθος πολύ. σατυρικοὶ δὲ, Πρατίνας. καὶ ταῦτα μὲν περὶ τραγικῶν, σατυρικῶν, καὶ κωμικῶν ποιητῶν. Ἐλεγειογράφων δὲ γνωρίσματα ποιητῶν, τὸ πρὸς τοὺς τεθνηκότας οἰκτροὺς γεγραφέναι, καὶ ὀλοφύρσεις ἐν ἐλεγείῳ τῷ μέτρῳ κυρίως· καταχρηστικῶς δὲ, καὶ [7] ἑτέρῳ. ἐλεγείων δὲ ποιηταὶ, Καλλίμαχος, Μίμνερμος, καὶ Φιλητᾶς. Ἐπιγραμματογράφων δὲ γνωρίσματα, τῶν καὶ ἀναθηματικῶν, τὸ γεγραφέναι εἰς ἀνδριάντας ἐπιγράμματα, καὶ εἰς τὰ ἐν ναοῖς ἀναθήματα, καὶ εἰς ἕτερα τοιαῦτα τινὰ, ὡς Ὅμηρος ἐποίησεν ἐπὶ τῇ δοθείσῃ αὐτῷ φιάλῃ παρὰ τῶν Μίδου υἱῶν, ἣν ἀνέθετο τῷ ἐν Δελφοῖς Ἀπόλλωνι, ἐπιγράψας οὕτως,

> Φοῖβε ἄναξ δῶρόν τοι ἑλὼν, τόδ' Ὅμηρος ἔδωκα
> Ἧσιν ἐπιφροσύναις, σὺ δέ μοι κλέος αἰὲν ὀπάζοις.

Ἐπιγραμματογράφοι δὲ ποιηταὶ, Σιμωνίδης ὁ παλαιὸς, οὗ Ἡρόδοτος μέμνηται, Ἀλκαῖος ὁ νέος, ὃς ἦν ἐπὶ Οὐεσπασιανοῦ τοῦ Ῥωμαίων καὶ Τίτου, Ἀθηναῖος, Πέρκαλος, Παλλαδᾶς, Ἀγαθίας, καὶ ἕτεροι μυρίοι. Ὑμνογράφοι δὲ ποιηταὶ, οἱ εἰς θεοὺς γράφοντες ὕμνους, ὥσπερ ὁ παλαιὸς ἐκεῖνος Ὀρφεὺς, Ὅμηρος, Ἡσίοδος, καὶ Ἀσκληπιάδης, καὶ ἕτεροι· γράφει γὰρ ὁ Ὀρφεὺς χωρὶς τῶν ἀστρολογικῶν, καὶ

EMENDATIONES.

1 Id reposui ex *Sold.* τοῖς ποιητικῶν μετέρχονται βίβλους *Bar.* τοῖς ποιητικῶν μετέρχονται βιβλίων habent *impressi* Codd. 2 Τυγχάνει reposui ex *Bar.* cum prius scriptum esset τυγχάνουσι. * Hæc inserui ex omnibus *MSS.* Codd. petita. 3 Γνωρίσματα in plurali reposui ex utroque etiam *MSS.* cum prius scriptum esset γνώρισμα. 4 Ita restitui locum hunc, qui prius ita corruptè ferebatur, Φιλόξενος ὁ Κυθήριος, ὃς διθύραμβον, ἤτοι κυκλικὸν χορὸν ἐν Κορίνθῳ πρῶτον ἔστησεν. Ἀρίων ὁ Μηθυμναῖος. δεύτερος δὲ Λάσος. Non enim Philoxenus, sed Arion, & post eum Lassus Dithyrambum instituit. *Suidas*, in V. Ἀρίων Λέγεται οὗτος τραγικοῦ τρόπου εὑρετὴς γενέσθαι, καὶ πρῶτος χορὸν στῆσαι, καὶ διθύραμβον ᾆσαι, καὶ ὀνομάσαι τὸ ᾀδόμενον ὑπὸ τοῦ χοροῦ, καὶ σατύρους εἰσενεγκεῖν ἔμμετρα λέγοντας. Lassum autem vocat Lasum, deque illo hæc verba habet; πρῶτος οὗτος περὶ μουσικῆς λόγον ἔγραψε. καὶ διθύραμβον εἰς ἀγῶνα εἰσήγαγε. καὶ τοὺς ἐριστικοὺς εἰσηγήσατο λόγους. 5 Μιμηλικῶς, pro μιμητῶν, ex *Grav.* * Γέλωτα. Hanc vocem quæ ex *impressis* Codd & *Bar.* exciderat, in suum locum restitui secutus *Sold.* 6 Codex uterque habet χορευτὰς κδ'. 7 Ἑτέρῳ reposui pro ἑτέροις ex utroque *MSS.* * Ex *Grav.*

A

ἐπῳδικῶν

ἐπιβατικῶν, καὶ μαντικῶν, καὶ τῶν ἑτέρων, καὶ ὕμνους εἰς Δία, καὶ τοὺς λοιπούς, οἷον·

Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος, ἀργικέραυνος,
Ζεὺς κεφαλή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται.

καὶ Ὅμηρος,
Μνήσομαι, οὐδὲ λάθωμαι Ἀπόλλωνος ἑκάτοιο.

καὶ οἱ λοιποὶ ὁμοίως, ἵνα μὴ μακρολογῶ, οὐ γὰρ ἀγνοεῖ τὰ τούτων [1] καὶ ἑτέρων πλειόνων. Ἀσματογράφοι δέ, τῶν καὶ ἀοιδῶν, γνωρίσματα, τὸ ᾄσματα καὶ ᾠδὰς γράφειν, πρὸς μουσικήν, καὶ φόρμιγγα, καὶ βάρβιτον, καὶ κιθάραν, καὶ πᾶν ὄργανον μουσικῆς ᾀδόμενον, οἷοί περ ἦσαν ποιηταί, ὡς ὁ Φαληρεὺς Δημήτριος γράφει, Αὐτομήδης, καὶ [2] Δημόδοκος, καὶ Χαῖρις οἱ Κερκυραῖοι, καὶ ὁ Ἰθακήσιος Φήμιος, καὶ οἱ λοιποί, ὧν ὁ Φαληρεὺς Δημήτριος γράφει, οὐ γὰρ αὐτοὺς ἀγνοῶ.

Ἐπιθαλαμιογράφοι δὲ ποιηταί, ὅσοι πρὸς τοὺς νυμφίους ἐν γάμοις ἐγκώμια ἔγραφον. οἷός ἐστιν ὁ Ἀγαμήστωρ ὁ Φαρσάλιος, καὶ ἕτεροι, καὶ Ἡσίοδος αὐτὸς γράψας ἐπιθαλάμια εἰς Πηλέα καὶ Θέτιν·

Τρὶς μάκαρ Αἰακίδη, καὶ τετράκις ὄλβιε Πηλεῦ,
Ὃς τοῖσδ' ἐν μεγάροις ἱερὸν λέχος εἰσαναβαίνεις.

Μονῳδοὶ δὲ ποιηταὶ λέγονται, οἱ μονοπροσώπως γεγραφότες θρηνητηρίους ᾠδάς, καταχρηστικῶς δὲ καὶ οἱ μονοπροσώπως ὅλην ὑπόθεσιν ἀφηγούμενοι, ὥσπερ νῦν ἐν τῷδε τῷ Ἀλεξάνδρᾳ ὁ Λυκόφρων. παριστᾷ γὰρ τὸν θεράποντα μόνον, ὅλην τὴν ὑπόθεσιν ἀφηγούμενον. ἀλλαχοῦ γὰρ ἐστὶν ὁ Λυκόφρων, τραγικὸς ὤν, [3] ξδ´ ἢ μϛ´ τραγῳδιῶν δράματα γεγραφώς. ἀλλ' ἐπειδὴ τὰ περὶ τοὺς ποιητὰς [4] διωρθωσάμεθά τι καὶ ἠκριβωσάμεθα, λέγειν ἤδη ἁρμόδιον, καὶ περὶ τοῦ μονῳδοῦ τούτου Λυκόφρονος.

EMENDATIONES.

1 Ita restitui locum hunc ex *Suid.* qui prius corrupte legebatur, *καὶ ἑτέρων πλείων ἀσματογράφων τῶν καὶ ἀοιδῶν* &c. 2 Comma illinc sustuli ex fide *Suid.* Nam prius legebatur, *Δημόδοκος, καὶ Χαῖρις, οἱ Κερκυραῖοι.* Quasi Demodocus, Chæris, & Corcyræi Poëtæ fuissent distincti: Tzetzes autem aliud vult; nempe Demodocum, & Chærin ex patria Corcyra seu Phæacia esse oriundos; & quidem de Demodoco testatur *Homerus* in *Odyssea*, cum ipsum introducit accinentem Alcinoo Phæacum regi. 3 *ξδ´ ἢ μϛ´. Bar.* 4 *διωρθώσαμεν* repolui ex *Bar.* pro *διορθώσαμεν.*

ΓΕΝΟΣ

ΓΕΝΟΣ ΛΥΚΟΦΡΟΝΟΣ.

Ο Λυκόφρων οὗτος, τὸ μὲν γένος ἦν Χαλκιδεύς, υἱὸς Σωκλέους, ἢ Λύκου τοῦ ἱστοριογράφου, κατά τινας. εἷς δὲ ὢν τῶν ἑπτὰ ποιητῶν, οἵτινες διὰ τὸ ἑπτὰ εἶναι, τῆς πλειάδος ἐλέγοντο. ὧν τὰ ὀνόματα, Θεόκριτος ὁ τὰ βουκολικὰ, Ἄρατος ὁ τὰ φαινόμενα γράψας, [1] καὶ ἕτερα· Νίκανδρος, Αἰαντίδης, ἢ Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικά· Φίλικος, Ὅμηρος ὁ νέος τραγικός, [2] (ἔστι γὰρ καὶ ἕτερος Ὅμηρος, ὅνπερ ἐγὼ τὸν Ἡσίοδον νομίζω ἰσόχρονον, κἂν περ τὰ τοῦ παλαιοῦ Ὁμήρου [3] μεταφέρωσι τινὲς εἰς αὐτόν.) ὁ Ἀνδρομάχου, Βυζάντιος, δράματα ποιήσας νζʹ. καὶ ἔστιν ὁ Λυκόφρων. κἂν ἕτεροι μὴ εἰδότες, ἄλλους φασὶν εἶναι τῆς πλειάδος. ἤκμαζε δὲ οὗτοι ἐν χρόνοις Πτολεμαίου τοῦ Φιλαδέλφου, καὶ Βερενίκης. οἱ παῖδες ἦσαν ἀμφότεροι Πτολεμαίου τοῦ Λάγου, καὶ Βερενίκης τῆς Ἀντιγόνου θυγατρός. εὐδοκίμει δὲ τότε Λυκόφρων, οὐ τοσοῦτον διὰ τὴν ποίησιν, ὅσον διὰ τὸ λέγειν ἀναγραμματισμούς. οἷον, ὅτι Πτολεμαῖος, ἀπὸ μέλιτος λέγει μεταγραμματιζόμενον. Ἀρσινόη δὲ, ἴον Ἥρας. καὶ ὅμοια τοιαῦτα. ἔστι ὁ Λυκόφρων τοῖς φιλαναγνωστοῦσι τῶν νέων χαριζόμενος, τὸ παρὸν βιβλίον ἐξέθετο, ἱστοριῶν τυγχάνον ἀνάμεστον, τά γε ἀφ' Ἡρακλέους καὶ τῶν Τρωικῶν, μέχρι Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ [4] καλωτέρου συντεμών, πάντα γράφει. περὶ δὲ τὸ τέλος τοῦ βιβλίου ἀνατρέχει, καὶ κατ' ἐπιδρομὴν λέγει καὶ τὴν ἁρπαγὴν τῆς Ἰοῦς, τὴν παρὰ τῶν Φοινίκων, ὅθεν ὁ πόλεμος [5] ἀνεξάγει βαρβάροις καὶ Ἕλλησιν. ἡ δὲ ὑπόθεσις ἐστὶ τοιαύτη. Πρίαμος ὁ Λευκίππης καὶ Λαομέδοντος, ἐξ Ἑκάβης τῆς [6] Δύμαντος, ἢ τοῦ Κισσέως θυγατρὸς, διδύμους παῖδας γεννᾷ, Κασσάνδραν, τὴν καὶ Ἀλεξάνδραν, καὶ Ἕλενον, οὓς ἐν τῷ τοῦ Θυμβραίου ναῷ Ἡλίου Ἀπόλλωνος ἐκόμισαν, καὶ τὰ στέφη ἐτέλουν γενέθλια. συμποσιάσαντες δὲ καὶ κωμάσαντες παννυχίους ἐν τῷ ναῷ, περὶ ἑσπέραν πρὸς τὴν πόλιν καὶ τὰ ἀνάκτορα ὑπεχώρησαν λήθῃ κατά τινας ἐάσαντες τοὺς παῖδας ἐν τῷ ναῷ, κατ' ἐμὲ δὲ, οἰκείᾳ γνώμῃ τοῦτο ἐξ ἔθους κρατοῦντος ἐποίησαν, ἐκ τινων γὰρ συμβαινόντων, ἐπιγίνωσκον ὁποῖοι τινὲς ἀποβαῖεν οἱ παῖδες. οὕτω γοῦν καὶ οἱ περὶ Πρίαμον, περὶ τοὺς εἰρημένους ἐποίησαν. τῇ ἐπαύριον δὲ τῷ ναῷ προσελθόντες, ὄφεις κατεσπειραμένους τοῖς παισὶν εὗρον, καὶ τὰ αἰσθητήρια τούτων καθαίροντας, μηδὲν δὲ λυμαινομένους αὐτούς· Ἀπόλλων δέ τις χρησμολόγος καὶ μάντις ὑπάρχων, ἐν τῷ ἐνθέντι ἱερῷ τοῦ Ἡλίου, μαντικοὺς εἶπε γενέσθαι τοὺς παῖδας, οἳ καὶ αὔξην λαβόντας, ἐδίδασκε τὴν μαντικήν· ὑπισχνεῖτο δὲ τῇ Κασσάνδρᾳ, εἰ συγγένοιτο αὐτῇ, [7] ἀρίστην αὐτὴν μάντιν ποιῆσαι. μὴ πειθομένης δ' ἐκείνης τοῦτο παθεῖν, ἐκήρυξεν ὁ χρησμολόγος ἐκεῖνος Ἀπόλλων, ὡς ἡ μάντις ἐστὶν ἡ Κασσάνδρα, μαινομένη δὲ καὶ παράφρονα φθέγγεται. ὅθεν ὁ πατὴρ ἐς πυργόεσσαν οἴκημα καθείρξας αὐτὴν, ἵνα μὴ δοκῇ τοῖς Τρωσὶ μαίνεσθαι καὶ διαπαίζεσθαι, προσέταξε τινὰ φύλακα, ἤτοι ἄγγελον, ἐς τοῦτο, καὶ ἀκροώμενον ταύτης, αὐτῷ ἀπαγγέλλειν ὡς ἄγγελος μονῳδίας καὶ μονοπροσώπως τῷ Πριάμῳ κατὰ λεπτὸν τὸ λαληθὲν τῇ Κασσάνδρᾳ, πᾶν ἀφηγεῖται, λέγων αὐτῷ· Λέξω σοι, ὦ Πρίαμε, ἀληθῶς περὶ πάντων τῶν λαληθέντων τῇ Κασσάνδρᾳ, [8] ὅσον τι αὐτῆς μνημονεύω, καὶ οὐκ ἀποδιδράσκει μου τὴν μνήμην· ἢ οὕτως· Τὰ πάντα, ὦ Πρίαμε, περὶ ὧν ἐρωτᾷς ἵνα σοι εἴπω, λέξω ἐξ αὐτοῦ πρώτου λόγου, ἀφ' οὗ ἤρξατο ἡ Κασσάνδρα λέγειν μέχρι τέλους. εἰ δ' εἰς μῆκος ὁ λόγος ἔλθῃ, ἤτοι ἐὰν μακρὸς γένηται ὁ λόγος μου, μὴ [9] ἀποκνήσῃς ἀκούειν, καὶ διὰ τοῦτο ὀργισθῇς, ἀλλὰ συγγνωμόνει, ἤτοι μακρόθυμος ἔσο, πολυλογοῦντί μοι, διότι οὐχ ὡς ἡσυχῇ πρότερον ἡ Κασσάνδρα τὸ στόμα αὐτῆς ἡσύχως, ὥσπερ καὶ νῦν ἔλυσε τὰ ἄρτι γεγονότα ποικίλον, ἀλλὰ κραυγὴν ἐκ τοῦ στόματος ἐξηνεγκοῦσα σύμμικτον περὶ τῶν προγεγονότων καὶ μελλόντων γενέσθαι, ἐκ τοῦ λαιμοῦ αὐτῆς τῶν μαντικῶν ἐξέφηνεν. ἐκ τούτων πάντων ὧν εἶπεν ἡ Κασσάνδρα, ἅπερ ἐν τῇ ψυχῇ μου ἔχω καὶ ἀπομνημονεύσω, ἄκουσον, ἀναδιδάχθητι ὦ βασιλεῦ, ἀνάστρεφον δὲ ταῦτα ἐν τῷ λογισμῷ σου, μετέρχου τοὺς δυσνοήτους λόγους τῶν μαντευμάτων τῆς Κασσάνδρας, ἀνιχνεύων ὅπῃ [10] σε ἄγει κατ' ἴχνος ἡ ἀληθὴς καὶ φανερὰ ὁδός. * εἰ δὲ εἰς μῆκος ὁ λόγος ἔλθοι, συγγνωμόνει, * πολλὰ γὰρ εἶπε μὴ ἡσυχάζουσα. καὶ δὴ σὺ μὲν ἄκουε, ἐγὼ δ' ἀπάρξομαι λέγειν· Ἡ μὲν ἡμέρα ἤδη ὑπηύγαζεν, ἐξ Ὠκεανοῦ ἀνατέλλουσα, αἱ ναῦς δὲ οἱ μετ' Ἀλεξάνδρου λύσαντες τὰ ἀπόγεια, καὶ ἀνασπάσαντες τὰς ἀγκύρας, καὶ πετάσαντες τὰ ἱστία, κάμπτους τὴν θάλασσαν ἐπέπλεον. ἐφέροντο δὲ πλέοντες ἀρκτικοῦ πνέοντος ἀνέμου ἐκεῖθεν τῶν Καλυδνῶν, ἅπερ εἰσὶ Τρωικὰ νησύδρια. ἡ δὲ Κασσάνδρα ἐκ τοῦ ὑψηλοῦ πυργοειδοῦς αὐτῆς θαλάμου τὰ κατὰ Τροίαν ἀπάρχεται θρηνῳδεῖν οὕτως. Ἀλλὰ ταῦτα μὲν ἀρκούντως ἐρρέθη. λέξωμεν δὲ καὶ περὶ τῆς ἐπιγραφῆς. διὰ τί Λυκόφρονος Ἀλεξάνδρα [11] ἐπιγράφει τὸ παρὸν ποίημα; πρὸς ἀντιδιαστολὴν τῶν λοιπῶν τοῦ Λυκόφρονος συγγραμμάτων. ἐποίησε γὰρ, ὅτι [12] ξδʹ, ἢ μϛʹ τραγῳδιῶν ἐποίησε δράματα. Κασσάνδρα λέγεται, παρὰ τὸ κάσσειν ἀνδρεῖον ἔχειν τὸν Ἕκτορα, Αἰολικῶς δὲ γράφεται διὰ δύο σσ. Ἀλεξάνδρα δὲ, παρὰ τὸ ἀλύξαι καὶ ἐκφυγεῖν τὴν ἀνδρῶν συνουσίαν. ἢ παρὰ τὸ ἀλέξειν καὶ βοηθεῖν τοῖς ἀνδράσιν, ἤτοι τοῖς ἀνθρώποις, διὰ τῶν χρησμῶν. ταῦτα δὲ καὶ ψυχρά εἰσιν, ὅμως διά τινας τῶν μωρῶν τῶν τὰ τοιαῦτα λῆρα ἀπαιτούντων, γράφομεν καὶ ταῦτα. ὡς καὶ τὸ διότι λέγεται Λυκόφρων, διὰ τὸ αἰνιγματωδῶς καὶ περιέργως λέγειν, καὶ γὰρ οἱ λύκοι περίεργοι. Περιέχει τοίνυν τὸ ποίημα χρησμοὺς, καὶ τὴν ἀφ' Ἡρακλέους ἱστορίαν, μέχρι καὶ τῆς Ῥωμαίων ἀρχῆς, ἔξωθεν [13] παρεμπλεκομένην, καὶ ἄλλας ποικίλας ἱστορίας. νοητέον κατὰ τὴν ἐκτὸς ὑπόθεσιν, τὸν Πρίαμον ἠρωτηκέναι τὸν ἄγγελον περὶ ὧν ἡ Κασσάνδρα ἀπεφθέγγετο, τὸν δὲ ἄνωθεν διηγούμενον ἅπαντα· προλογίζων δὲ ὁ Πρίαμος ἐμφαίνεται. ἐκβάλλεται δὲ παρά τισι τὸ προοίμιον, οὐδὲ γὰρ φαίνεται ἐξ αὐτῶν ὁ Πρίαμος. Ἡ δὲ ἱστορία τοιαύτη. Ἀπόλλων ἐρασθεὶς Κασσάνδρας, ἐδίωκεν αὐτὴν, αὕτη δὲ ὑπ' αὐτοῦ καταλαμβανομένη, ᾐτήσατο ἵνα δῷ αὐτῇ τὴν μαντικὴν, ὑποσχομένη καὶ τὸν γάμον. τοῦ δὲ θεοῦ παρασχόντος, τοὺς γάμους αὐτῷ [14] ἀνῃνήσατο, ὅθεν ὀργισθεὶς ὁ θεὸς, τὴν μαντικὴν ὡς θεῖον ὕστερον δῶρον, ἀπ' αὐτῆς οὐκ ἀφείλετο. ἄπιστον δὲ αὐτὴν ἐποίησεν, μαντευομένην τὰ ἀληθῆ, καὶ ὡς μαινομένην ἡγεῖσθαι.

EMENDATIONES.

1 Codex uterque MSS. legit καὶ ἕτερα, quæ quidem lectio nihil in se absurdi continet: Mihi tamen videtur antiquam lectionem non incommode retineri posse, nihil ergo mutavi. 2 Hæc omnia, ut annotavit *Nic. Gerbelius*, in parenthesi sunt legenda, (quod in prioribus editt. omissum est) ut illud ὁ Ἀνδρομάχου Βυζάντιος cum priore Ὅμηρος ὁ νέος &c. cohæreat. Nam junior ille Homerus Byzantinus Grammaticus fuit, & Tragicus septem Pleiadibus adnumeratus; cujus tamen μζ Tragœdias *Tzetzes* noster νζʹ. fuisse voluit. Verum in numeris apud Græcos lubricus & facillimus est lapsus. *Suidas*, Ὅμηρος Ἀνδρομάχου (lege Ἀνδρομάχου) καὶ Μυροῦς Βυζαντίας γραμματικὸς καὶ τραγικὸς ποιητής, ὃν συνεκδημεῖν ποτε ἱστορεῖ, εἰ τὰ δευτερεῖα τῶν τραγικῶν ἔχειν, καὶ ἐκλείθησαν τῆς Πλειάδος, ἤκμαζεν Ὀλυμπιάδι ῥκδʹ τελάρτῃ (lege ῥκδʹ ἑκατοστῇ τετάρτῃ, illa enim Olympias in tempora Ptolomæi Philadelphi, sub quo floruerunt Pleiades, incidit) ἔγραψε δὲ τραγῳδίας μεʹ. 3 Ita locum illum emendavi, μεταφέρωσι τινὲς εἰς αὐτὸν habent impressi Codd. μεταφέρουσι τινὲς εἰς αὐτὸν *Seld.* μεταφέρουσι τινὲς εἰς αὐτὸν *Bar.* & *Grav.* Ego ex omnibus lectionem meam concinnavi. 4 Καλωτέρου reposui ex omnibus MSS. pro καλλίστου. 5 Ἀνεξάγει reposui ex *Seld.* pro ἐνεξάγει 6 Δύμαντος reposui ex omnibus *MSS* pro Κύμαντος. Hecuba enim dicitur Dymantis filia apud *Homerum*; Cissei autem apud *Euripidem*, quem secutus est *Virgilius*. 7 Ita restitui ex *Grav.* ἀρίστην αὐτὴν μάντιν ποιῆσαι *Bar.* & *Seld.* ἀρίστην εἰς τὴν μάντιν ποιῆσαι. impressi Codd. 8 Ὅσον τι αὐτῆς reposui ex *Bar.* & *Grav.* cum prius scriptum esset ὅσον τινὰ αὐτῆς. 9 Ἀποκνήσῃς reposui ex *Seld.* pro ἀποκνήσειας. 10 Σε reposui ex *Seld.* pro σοι. * Hæc inserui ex *Seld.* quæ, licet prius dicta, repetenda tamen videntur, ut facilior & aptior sit sequentium cum præcedentibus connexio. 11 Ἐπιγράφει reposui ex *Bar.* pro ἐπιγράφεται. 12 Iterum habet ξδʹ. ἢ ξεʹ. Codex *Bar.* & *Grav.* 13 Prius scriptum fuit παρεμπλεκομένην, καὶ ἄλλας ποικίλας ἱστορίας. 14 Ἀνῃνήσατο reposui pro ἠνήνατο, quod rectius videtur, nisi forte mavis ἀπηνήνατο.

ΩΣ ΑΠΟ ΤΗΣ ΒΙΒΛΟΥ ΛΥΚΟΦΡΟΝΟΣ.

Οὐκ ἂν ἐν ἡμετέροισι πολυγνάμπτοις λαβυρίνθοις
Ῥηϊδίως προμολὴς ἐς φάος αἴκε τύχης·
Τοίους γὰρ Πριαμὶς Κασσάνδρη φοίβασε μύθους,
Ἄγγελος οὓς βασιλεῖ ἔφρασε λοξοτρόχις.
Εἰ δέ σε φίλατο Καλλιόπη, λάβε μ᾽ ἐς χέρας· ἢν δὲ
Νῆϊς ἔφυς μουσέων, χερσὶ βάρος φορέεις.

Ad Librum LYCOPHRONIS, explicatum ab ISAACIO ZEZE, Tetraſtichon.

Βίβλος μὲν τελέθουσα Λυκόφρονος ἀσματοκόμπου
Ἦν ἀλαὸς προπάροιθεν, ἀδερκέα δέργματ᾽ ἔχουσα·
Νῦν δέ με δορκαλέην ἑρμείῃ θῆκατο τέχνῃ
Ζέζης Ἰσαάκιος, εὔστροφα πείσματα λύσας.

ΛΥΚΟ-

ΛΥΚΟΦΡΟΝΟΣ

ΤΟΥ ΧΑΛΚΙΔΕΩΣ

ἈΛΕΞΑΝΔΡΑ.

LYCOPHRONIS

CHALCIDENSIS

ALEXANDRA.

Λέξω τὰ πάντα νητρεκῶς [b] ἅ μ' ἱστορεῖς,
Ἀρχῆς ἀπ' ἄκρης· ἢν δὲ μηκυνθῇ λόγος,
Σύγγνωθι, δέσποτ'. [c] οὐ γὰρ ἥσυχος κόρη
Ἔλυσε χρησμῶν ὡς πρὶν [d] αἰόλον στόμα,
Ἀλλ' ἄσπετον χέασα παμμιγῆ βοήν,

Dicam omnia clare, de quibus me interrogas,
A summo principio: si vero producatur oratio,
Ignoscas, Here. Nec enim modesta virgo
Resolvit oraculis os varium, sicut antea,
Sed immensum fundendo confusumque clamorem,

VARIANTES LECTIONES.

a Al. Κασσάνδρα b Al ἅ μοι ἱστορεῖς al. ἅπερ ἱστορεῖ. c Quidam distinguunt post κόρη, & particulam negativam οὐ connectunt voci ἥσυχος, Ego vero sine distinctione legendum puto, & particulam negat. verbo ἔλυσε conjungo, *Scholiasten* in hoc secutus d Ἄδηλον MS *Seld.* vide Notas.

ΣΧΟΛΙΑ.

1. Λέξω.] τοῦτο σχῆμα καὶ ὁ ποιητικὸς τρόπος παρεπηγραφὴ καλεῖται, ὅτι ὃ ἄνωθεν οὐκ ἐμφαίνεται, δείκνυται παρεπιγραφόμενον ἐκ τῆς κειμένης γραφῆς. οἷον ὁ Πρίαμος ἐνταῦθα μὲν οὐ φαίνεται ἐρωτῶν, ἐκ δὲ τῆς λέξεως δηλοῦται λοιπὸν, ὅτι προηρώτησεν. ἔστι ὁ τρόπος, ὡς ἔφην, καὶ τὸ σχῆμα παρεπιγραφὴ λέγεται. οἱ δὲ τὸ προοίμιον ὀβελίζειν πειρώμενοι, δοκοῦσί μοι καὶ τοὺς ποιητικοὺς τρόπους ἠγνοηκέναι. Τὰ πάντα.] ποῖα πάντα; τὰ ἀκούσας ἐκ τῆς Κασσάνδρας ἐν μνήμῃ φέρω. Νητρεκῶς.] ἀληθῶς· παρὰ τὸ νη στερητικὸν μόριον, καὶ τὸ [1] τρέσω, τὸ φοβοῦμαι. οἱ γὰρ τἀληθῆ λέγοντες οὐ δεδοίκασι κατάγνωσιν, ὡς οἱ ψευδόμενοι. Ἅ μ' ἱστορεῖς.] τελικῶς λέγεται. ἅμα ἱστορεῖς, τὸ δὲ μοι ἀντίπτωσις, ἀντὶ τοῦ μοι. καὶ τὰ [2] φωνήεντα δὲ μακρὰ κυρίζουσιν οἱ ποιηταὶ καὶ ῑ, καὶ ᾱ, καὶ ῡ, καὶ ἕτερα τοιαῦτα γράμματα, ὡς τὸ ποσ' ἀπαλοῖσιν, ἀντὶ τοῦ ποσίν. συντάσσεται γοῦν ὡς ἔφην τελικῶς, ἅ μ' ἱστορεῖς· ἤτοι ἃ ἀνερωτᾷς, ἢ ἃ μοι ἱστορεῖς κατὰ συναλοιφήν· οὐ δεῖ στίζειν εἰς τὸ νητρεκῶς, καὶ ἀφ' ἑτέρας ἀρχῆς λέγειν τό, ἀλλ' ἑξῆς, ἤτοι ἱστορῶν καὶ ἀκούων μανθάνω. Ἅ μ' ἱστορεῖς] τρία μὲν εἴδη συναλοιφῆς ἁπλᾶ, καὶ δ' σύνθετα. ἁπλᾶ μὲν, ἔκθλιψις, κρᾶσις, καὶ συναίρεσις· σύνθετα δὲ, ἔκθλιψις καὶ κρᾶσις, ἔκθλιψις καὶ συναίρεσις, κρᾶσις καὶ συναίρεσις, καὶ ἔκθλιψις κρᾶσις καὶ συναίρεσις. ἁπλᾶ μὲν ἔκθλιψις, ὡς τὸ οὐχὶ οὕτως, οὐχ οὕτως. κρᾶσις δὲ, ὡς τὸ ἐποιέασο ἐποιήσω. καὶ συναίρεσις, ὡς τὸ πάϊς παῖς. σύνθετα δὲ, οἷον ἔκθλιψις καὶ κρᾶσις, ὡς τὸ κἀγὼ, καὶ ἐγώ. ἔκθλιψις καὶ συναίρεσις, ὡς τὸ ἐμ' ὑπ' ὀδύνῃ. κρᾶσις δὲ καὶ συναίρεσις, ὡς τὸ ᾡπόλος, ἀντὶ τοῦ ὁ αἰπόλος. ἔκθλιψις δὲ καὶ κρᾶσις, ὡς τὸ κᾆτα καὶ εἶτα, καὶ ᾡπόλοι ἀντὶ τοῦ οἱ αἰπόλοι.

2. Μηκυνθῇ.] μακρὸς μακρυνθῇ, καὶ Ἰωνικῶς μηκρυνθῇ, καὶ ἐκθλίψει τοῦ ρ̄ Αἰολικῶς μηκυνθῇ.

3. Ἥσυχος κόρη.] ἡ ἡσυχεστάτη, ὡς ἁρμοδία γὰρ καὶ γυναιξὶν ἡ σιωπὴ, μάλιστα γε μᾶλλον παρθένῳ, ὡς καὶ ὁ Σοφοκλῆς φησί·

Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.

* Ἄλλως. διχῶς τοῦτο. ἢ γὰρ οὕτως, οὐ γὰρ ἥσυχος ὑπάρχει ἡ κόρη, καὶ στίζει ἐνταῦθα. ἢ οὕτως, οὐ γὰρ ἥσυχος κόρη ἔλυσε καὶ κατέπαυσεν ἀπὸ τῶν χρησμῶν αἰόλον στόμα ὡς πρίν. *

4. Αἰόλον.] τὸ ποικίλον, ἀπὸ τοῦ παλαιοῦ Αἰόλου πολυτρόπου ὄντος, ὡς καὶ τὸ [3] δαίδαλον ἀπὸ τοῦ ἀνδρειαντοποιοῦ Δαιδάλου. αἰόλον δὲ στόμα εἶπε, διὰ τὴν ποικιλίαν καὶ στροφὴν τῶν αὐτῆς χρησμῶν. Στόμα.] παρὰ τὸ τέμνειν τὰ σιτία.

5. Ἄσπετον.] πολλὴν, ἀπαρακολούθητον, ἐκ τοῦ σπῶ τὸ ἀκολουθῶ, ἢ μεταλαμβάνω, ἣν οὐ δύναταί τις λαβεῖν καὶ νοῆσαι. ἢ [4] ἥτινι οὐ δύναταί τις παρακολουθῆσαι, διὰ τὸ πλῆθος τῶν λεγομένων. Χέασα] ποιητικὴ λέξις καὶ μεταφορικὴ, ἀπὸ τῶν χεομένων ὑδάτων.

EMENDATIONES.

1 Τρέμω habent MSS. *Baroc. Grav.* & *Thavorinus* Lexicographus. 2 Prius scriptum fuit ὡς φωνήεντα. Ego vero praepositionem delevi, ex fide *Seld.* & *Grav.* * Quae stellulis interposita sunt, inserui ex *Baroc.* Quinetiam eadem fere in MS. *Seld.* occurrunt margini paginae adscripta: nec admodum diversa habet *Grav.* 3 Δαίδαλον, ex fide omnium MSS. Codd pro Δαιδάλεον. 4 Ἥτινι reposui pro ᾗτινι, ex fide omnium MSS. Codd

[a] Δαφνηφάγων φοίβαζεν ἐκ λαιμῶν ὄπα,	Laurivoro vaticinata est ore,
Σφιγγὸς κελαινῆς γῆρυν ἐκμιμουμένη.	Nigræ Sphingis vocem imitans.
Τῶν ἅσσα θυμῷ καὶ διὰ μνήμης ἔχω,	Quorum quæcunque in mente & memoria habeo,
Κλύοις ἄν, [b] ὦναξ, κἀναπεμπάζων φρενὶ	Audias, Rex, reputansque animo
Πυκνῇ, [c] δίοιχνει δυσφάτους αἰνιγμάτων	Sagaci, transcurre obscuras ænigmatum
Οἴμας τυλίσσων, ᾗπερ εὐμαθὴς τρίβος	Scrutando cantiones, qua facilis semita
Ορθῇ κελεύθῳ τἀν [d] σκότῳ ποδηγετεῖ.	Recto itinere tenebrosa deducit.

VARIANTES LECTIONES.

a Al. Δαφνοφάγων. Δάφνην φάγων Col. Δαφνηφάγων habet quidem Sold. isti tamen ω superscribitur ο eadem, ut videtur, manu. b Ὤναξ Bar. ὦναξ Sold. c Δίοιχνε videtur legisse Theodorus Beza, quod exp. pervestiga, ad D. Lucæ Evang. cap. 1. com. 7. d Σκότῳ Sold.

6. Δαφνηφάγων.] μαντικῶν, ἢ μᾶλλον, ἢ [1] μαντικῶν ἐκ λαιμῶν. λέγουσι δὲ, ὅτι οἱ μάντεις δάφνας ἐσθίοντες ἐμαντεύοντο, ἵνα καὶ τῇ ὀπτικῇ καὶ τῇ ὀσφρήσει χαιρόμενος ὁ θεὸς, ἀντιδίδωσιν αὐτοῖς τὰς θεσπεσίας χάριν, ἅτινα ἡ ἱστορία ὑμῖν δηλώσει. Λάδων ὁ ἐν Αρκαδίᾳ ποταμὸς, τῇ Γῇ συζευγνύμενος, ἐγέννησε παῖδα ὀνόματι Δάφνην, πάνυ ὡραίαν τὸ εἶδος· [2] ταύτης ἐρασθεὶς ὁ Απόλλων, ἐδίωκεν αὐτήν· ἡ δὲ συλλαμβάνεσθαι μέλλουσα, ηὔξατο τῇ μητρὶ αὐτῆς Γῇ, ἡ δὲ χανοῦσα, ὑπεδέξατο αὐτήν. ἡ Γῆ δὲ τὸν Απόλλω παραμυθουμένη, ὁμώνυμον τῇ κόρῃ φυτὸν ἀνέδωκεν, ὃ καὶ δάφνη καλεῖται, ἔστι δὲ ἀειθαλὲς, καὶ μηδέποτε μαραινόμενον, ἐπειδὴ καὶ ἡ κόρη ἄφθαρτος ἐκ τοῦ Απόλλωνος ἔμεινεν. Απόλλων δὲ συνείρας στέφανον ἐκ τῶν τοῦ φυτοῦ φύλλων, ἐστεφανώσατο [3] διὰ τὸν τῆς ὁμωνύμου κόρης ἔρωτα. ὅθεν καὶ τὰ ἐν τῷ ναῷ τοῦ Απόλλωνος στέμματα ἀπὸ δάφνης ἦσαν κατεσκευασμένα. ὅθεν λέγουσιν ὅτι καὶ οἱ μάντεις δὲ διὰ φερομένην Απόλλωνος δάφνην ἤσθιον, καὶ ταῦτα μὲν τὰ ἀπειρόκαλα καὶ μυθικά· τὸ δὲ ἀληθὲς οὕτως ἔχει· Οἱ χρησμολόγοι καὶ μάντεις στεφάνους δάφνης φοροῦντες, ὡς ἀειθαλοῦς ὄντος τοῦ φυτοῦ, καὶ ἀλεξικάκου, καὶ οὕτω τοὺς χρῶσι τοὺς χρησμοὺς λέγοντες, καὶ λαμβάνοντές τι ἐξ αὐτῶν, καὶ οὕτω διαστρεφόμενοι, εἰς μῦθον ἐτύθησαν, ὅτι δαφνηφάγοι εἰσὶν, ἤτοι ἐκ τῆς στεφανούσης δάφνης, καὶ λέγειν χρησμοὺς ἔχουσι τὰς τροφάς. Φοίβαζεν] ἐμαντεύετο, ἀπὸ τοῦ Φοίβου Απόλλωνος. τὰ γὰρ θεῖα, καθαρὰ καὶ ἀληθῆ· φοῖβον γὰρ, τὸ καθαρὸν καὶ λευκόν.

7. Σφιγγὸς κελαινῆς.] σκοτεινῆς, διὰ τοὺς φόνους, ἢ τὰ αἰνίγματα. τὴν δὲ Σφίγγα λέγουσιν ἔχειν ὄψιν ἔμπροσθεν μὲν λέοντος, ὄπισθεν δὲ ἀνθρώπου, γρυπὸς ὄνυχας, πτέρυγας ἀετοῦ, καὶ τοιαῦτα τεράστια. τὸ δὲ ἀληθὲς οὕτως ἔχει· Αὕτη λῃστεύουσα παρὰ τὴν Μενδίδην χωρίον [4] Θηβῶν, καὶ τὸ Φίκιον ὄρος, καὶ ἀνῄρει τοὺς παριόντας· ὃς δ' ἂν εἴπῃ τὸ ταύτης αἴνιγμα, τοῦτον ἠλευθέρου. πάρεργον δέ ἐστιν καὶ ἀχρεῖον λέγειν καὶ τὸ αἴνιγμα, ὡς πᾶσι δῆλον· εἰ δὲ καὶ τοῦτο θέλει τις μαθεῖν μὴ γινώσκων, ἔστι τόδε·

Εστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία μορφή,
Καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν,
Ερπετὰ γίνονται, ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον·
Αλλ' ὁπόταν πλείστοισιν ἐρειδόμενον ποσὶ βαίνῃ,
Ενθα τάχος γυίοισιν ἀφαυρότατον πέλει [5] αὐτοῦ.

Εμυθεύσαντο γοῦν αὐτὴν λέαιναν, διὰ τὸ φονικὸν, ὄνυχας γρυπὸς ἔχειν, διὰ τὸ ἁρπακτικὸν, πτέρυγας ἀετοῦ, διὰ τοὺς σὺν αὐτῇ λῃστεύοντας, πανταχοῦ περιτρέχειν συντόμως, καὶ ἀναιρεῖν τοὺς ὁδεύοντας. ταύτην ὁ Οἰδίπους ἀνεῖλεν, ἀπελθὼν μεθ' ἑτέρων, ὡς δῆθεν χρῄζων συλλῃστεύειν αὐτῇ. καὶ τὸ σῶμα αὐτῆς ὑπὸ θεὶς, κατήγαγεν εἰς Θήβας, καὶ ἔδειξε τοῖς Θηβαίοις, καὶ δῶρον εἴληφε τὴν βασιλείαν, καὶ τὴν μητέρα γυναῖκα, ὡς ἀγνοοῦν.

8. Ασσα.] καὶ ἅττα, ἀντὶ τοῦ ἅ τινα, δύο μέρη λόγου, δασυνόμενα. ἅττα δὲ ἀντὶ τοῦ τινὰ, λέγουσιν ὅτι ψιλοῦται. ἐμοὶ δὲ καὶ τοῦτο δασύνειν δοκεῖ. τὸ δὲ ἄττα ἀντὶ τοῦ τροφεῦ, λέγεται ψιλοῦσθαι. Θυμῷ.] ἀπὸ τοῦ θύειν τὸ αἷμα, θύσιμος, καὶ θυμός.

9. Κλύοις.] ἀντὶ τοῦ κλύθι, Αττικῶς. τὸ εὐκτικὸν ἀντὶ προστακτικοῦ, Ωναξ] [6] ἄναξ, Δωρικῶς, ὀξύνεται. τὸ γὰρ α, οἱ Δωριεῖς εἰς ω τρέπουσι, τὸν ἄνθρωπον ὤνθρωπον λέγοντες, καὶ τὰ ὅμοια, οὕτω καὶ τὸ ἄναξ, ὦναξ. εἰ δέ ἐστιν Αττικὴ συναλοιφὴ ἀντὶ τοῦ ὦ ἄναξ, περισπᾶται διὰ τὸ ω τῆς κλητικῆς. ἔχει δὲ καὶ μακρὸν ὀξεῖαν τὸ ἄναξ, καὶ εἰς τὸ υ ψιλὸν, τοῦ ἐκθλιβέντος α. Πεμπάζειν.] κυρίως τὸ κατὰ πέντε, πέντε μετρεῖν. νῦν δὲ τὸ πεμπάζων, ἀντὶ τοῦ ἀναλογιζόμενος κεῖται. * καὶ ἐστὶν ἡ φωνὴ Αἰολική. * Φρενὶ πυκνῇ.] [7] φρονιμωτάτῃ.

10. Διοίχνει.] πορεύου. ποιητικὴ δὲ ἡ λέξις. ἔστι γὰρ ἀντὶ τοῦ νόει. Δυσφάτους.] δυσλέκτους, δεινάς. Αἰνιγμάτων] αἰνίγματα καλεῖ, τὰ χρησμοδοτήματα τῆς Κασσάνδρας.

11. Οἴμας τυλίσσων.] ὁδοὺς ἀνερευνῶν, κἀνταῦθα τροπικῶς οἴμους καὶ ὁδοὺς [8] λέγει τὴν ὁρμὴν τῶν λόγων τῶν τῆς Κασσάνδρας, ἢ οἴμας τὰς ᾠδάς. οἶμος γὰρ ἡ ὁδὸς, οἴμη δὲ ἡ ᾠδή. Ηπερ εὐμαθὴς τρίβος.] ἐντρεχῶς πάνυ τὴν τροπὴν ἐφύλαξεν, καὶ ὡς μὲν ὁδοῦ λέγει τρίβον, τρίβον, καὶ ποδηγίαν, τῆς ἀνερευνήσεως, καὶ μάθησιν τῶν λόγων τῆς Κασσάνδρας. * αὕτη γάρ φησιν, ἡ ὁδὸς, καὶ τὰ ἐν σκότει, καὶ ἀφανῆ ὄντα, δείκνυσι. τὸ δὲ ποδηγετεῖ ἀπὸ τῶν κυνῶν μετηνέχθη, ἕπονται γὰρ οἱ κύνες τοῖς τῶν θηρίων ἴχνεσιν ἐν τοῖς κυνηγεσίοις. τινὲς δὲ προστακτικῶς ἀναγινώσκουσιν, ὅπῃ τις εὐμαθὴς τρίβος ἡ ὁδὸς ἐπὶ τὰ σαφῆ ἔχοντα ἄγει. * εὐμαθὴς τρίβος.] πασίγνωστος ὁδός.

12. Ορθῇ κελεύθῳ.] ἀπλανεῖ πορείᾳ. Τἀν σκότῳ ποδηγετεῖ.] φανεροῖ καὶ σαφηνίζει τὰ δεινὰ καὶ δυσνόητα.

EMENDATIONES.

1 Μαντικῶν reposui ex Phavorino, & omnibus Codd. MSS. cum prius scriptum esset μαθητικῶν, nullo sensu. Scholiastes autem lectionis diversitatem videtur hic agnoscere; dicit enim Δαφνηφάγων μαντικῶν. ἢ (subintellige Δαφνηφάγων) μαντικῶν &c. 2 Ταύτης reposui pro ταύτην consentientibus omnibus MSS. Nam ἐράω cum accusativo personæ, aut rei omatæ vix aut raro construitur: & quod Lexicographi citant ex Platonis Symposio, ἐρᾷ ἐρῶσα κακῶς, non huc pertinet. 3 Διὰ τὸν τῆς ὁμωνύμου κόρης ἔρωτα reposui ex fide omnium MSS cum prius scriptum esset διά τε τὸν ὁμωνύμως ἔρωτα. 4 Θηβῶν reposui pro χωρῶν ex Sold. 5 Αὐτοῦ reposui ex Sold pro αὐτῶν. 6 Prius scriptum fuit ὦναξ. ὦ ἄναξ Δωρικῶς. Ego vero reposui ὦναξ. ὦναξ. Δωρικῶς ex Sold. ὦναξ enim (ut postea Scholiastes) Dores dicunt pro ἄναξ Attici vero pro ὦ ἄναξ. * Hoc addo ex Bar. & Grav. 7 Φρονιμωτάτῃ reposui ex Bar. & Grav. pro φρονιμωτάτη. 8 Λέγει pro λέγων, ex Bar. * Hæc inserui ex Bar. & Grav.

Ἐγὼ δ' ἄκραν βαλβῖδα μηρίνθου χάσας,	Ego verò valvam extremam solvens à fune,
Ἄνειμι λοξῶν ἐς διεξόδους ἐπῶν,	Aggredior obliquorum cursum verborum,
Πρώτην [a] ἀράξας νύσσαν, ὡς πτηνὸς δρομεύς.	Prima pulsans tanquam cursor velox repagula.
Ἠὼς μὲν [b] αἰπὺν ἄρτι [c] Φηγίου πάγον	Aurora quidem altum Fagii jugum
Κραιπνοῖς [d] ὑπερποτᾶτο Πηγάσου πτεροῖς,	Celeribus jam supervolabat Pegasi alis,
Τιθωνὸν ἐν κοίτῃσι τῆς Κέρνης πέλας	Tithonum in cubili prope Cernen

VARIANTES LECTIONES.

a Ἀράξας Bar. observa hic *Scholiasten*, & ex antiquioribus editt. nonnullas hunc versum priore loco posuisse, ante Ἀρχὴν &c. Sed non multum interest utrum hoc vel illo colloces, cum sensus integer prorsus & idem maneat. b Αἰπὺν non agnoscit Bar. c Al. Φηγίου. d Al. Ὑπὲρ ποτᾶτο.

13. Ἐγὼ δ' ἄκραν βαλβῖδα.] ἐπ' [1] ἄλλον τρόπον μεταβέβηκε θυμελικῶν καὶ ἱππικῶν ἀγώνων. καί φησιν· ἐγὼ δὲ τὴν ἄκραν, ἤτοι τὴν πρώτην, βαλβῖδα, τὴν ἀφετηρίαν, τὸ κάγκελλον χάσας, καὶ ἀνοίξας διὰ τῆς μηρίνθου, ἤτοι τῆς σχοινίου, ἀνέρχομαι εἰς τὰς διεξόδους, καὶ ὁδοὺς τῶν λοξῶν λογίων τῆς Κασσάνδρας.

15. Πρώτην ἀράξας νύσσαν.] τὴν πρώτην νύσσαν, καὶ ἄφεσιν, καὶ ἀπαρχὴν, καὶ τὸ προοίμιον ἀράξας, ἐπιχειρήσας, κινήσας, τουτέστιν ἐντεχνικῇ μεγαλοφωνίᾳ ἀπαρξάμενος * λέγειν καὶ * στίχον τοὺς λόγους, ὡς πτερωτὸς καὶ ταχὺς δρομεύς. Νύσσα λέγεται καὶ ἡ ἀφετηρία, καὶ ἡ ἀπαρχὴ τοῦ δρόμου, παρὰ τὸ νύσσω, τὸ διεγείρω καὶ παροξύνω· ἐν γὰρ τῇ ἀφετηρίᾳ τῶν ἱππικῶν τοὺς μὲν ἵππους κεντοῦσιν οἱ περιεστῶτες σιδηροῖς κέντροις, ὡς ἂν ὀξυτέρως ἐκπηδήσωσι τῇ πληγῇ· τοὺς δὲ πεζοὺς, λόγοις νύττουσι καὶ παραθαρρύνουσι, καὶ αὐτοὶ δὲ μόνοι ἑαυτοὺς νύττουσιν εἰς δρόμον· καὶ οὕτω μὲν ἡ ἀφετηρία νύσσα καλεῖται. ὁ δέ γε καμπτὴρ νύσσα λέγεται, παρὰ τὸ νεύω νεύσω, [2] νύσσω, καὶ νύσσα· νεύουσι γὰρ περὶ τὸν καμπτῆρα, καὶ κάμπτουσιν. Ἄνειμι λοξῶν.] τουτέστιν ἀνέρχομαι, καὶ ἀπάρχομαι λέγειν τὰ λοξὰ ταύτης χρησμωδήματα. τοῦτο δὲ τὸ σχῆμα ἐντεχνικόν ἐστι, καλεῖται δὲ προαναφώνημα, καὶ ὑπόσχεσις, καὶ προπαρασκευὴ, καὶ προκατάστασις, καὶ προσοχὴ, καὶ προδιήγησις. προαναφωνεῖ γὰρ, καὶ ὑπισχνεῖται, καὶ προπαρασκευάζει, ὅτι λοξῶς, καὶ αἰνιγματωδῶς, καὶ δυσκόλως μέλλει γράφειν τὰ τῆς διηγήσεως τοῦ ποιήματος. διὰ τί δὲ τοῦτο μέλλει ποιεῖν; κατὰ μίμημα τῆς Κασσάνδρας, ὥσπερ ἐκείνη λοξῶς ἐλάλει καὶ σκολιῶς. δεῖ γὰρ τὸν ῥήτορα, καὶ ποιητὴν ἀπομιμεῖσθαι τὰ ἤθη τῶν προκειμένων προσώπων, καὶ μὴ ἀνηθίκευτον εἶναι, καθάπερ ὁ Εὐριπίδης φιλοσοφούσας ἐπάγων ἐνίοτε βαρβάρους γυναῖκας, καὶ δούλους δεσπόταις [3] τραχύτατα ἀντιλέγοντας, καὶ βασιλεῖς προσαιτοῦντας μετὰ σπυρίδων, ἃ πόρρω, ὅπερ οὐκ ἂν γένοιτο· τίς γὰρ οὐκ αἰδέσεται βασιλεὺς καὶ μετὰ βασιλείας καθαίρεσιν, σπυρίδα κατέχειν, καὶ ἄρτους ζητεῖν; ἢ τίς αὐτὸν οὐκ ἂν καὶ οὕτως ἱκετεύοντα, πάλιν ἐπίμνησιν τῆς προτέρας ἐκείνης τύχης σκοπῶν; τοιαῦτα γοῦν πολλά φησιν Εὐριπίδης· διὸ καὶ μεμπτέος ἐστὶν ἐν τούτοις, ὡς μὴ τηρῶν ἠθῶν τὴν κατάστασιν· τὸ δὲ μεῖζον, ὅτι καὶ ἐναντία πολλάκις ἑαυτῷ λέγει.

16. Ἠὼς μέν.] ἐντεῦθεν ἀπάρχεται τῆς διηγήσεως, καί φησιν, ἡ ἡμέρα μὲν ἤδη τὸ Φήγιον ὄρος τοῦ Ὠκεανοῦ ὑπερεπέτατο, ἐποχουμένη τῷ Πηγάσῳ ἵππῳ, τὸν σὺν ἀδελφὸν Τιθωνὸν καταλιποῦσα παρὰ τὴν Κέρνην, ἥτις ἐστὶ νῆσος Ὠκεανῖτις. Ἠὼς χρηματίζεται τὸ ἀπὸ πρωΐας μέχρι τοῦ γεύματος καιρὸν, τὴν ὅλην ἡμέραν, καὶ τὸ ὑπὸ νυκτὸς καὶ ἡμέρας διάστημα, ὡς ἐν τῷ,

—— Ἠὼς δέ μοι ἐστὶν
Ἡ δὲ δυωδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα.

Καὶ καθολικωτέρως αὐτὸ τὸ λέγειν ὄνομα ἠοῦς καὶ ἡμέρας, ὅπερ οἱ μυθογράφοι σωματοποιοῦσι θεὰν εἶναι, ὡς ἐστὶ τὸ,

Ἠὼς δ' ἐκ λεχέων. ——

Καὶ τὸ ἀπὸ ἀνατολῶν μέχρι μεσημβρίας τοῦ ἡλίου διάστημα, ὡς τὸ, Ὄφρα μὲν ἠὼς ἦν, καὶ ἀέξετο ἱερὸν ἦμαρ. Φήγιον.] ὄρος παρὰ τὸν Ὠκεανὸν, φηγὸν, ἤτοι δρῦς, ἔχον. τὸ δὲ φηγὸς ἡ δρῦς, παρὰ τὸ φάγω. πρὸ γὰρ εὑρέσεως ἄρτου, βαλάνους καὶ ἀκρόδρυα, τουτέστιν ὀπώρας, ἤσθιον οἱ ἄνθρωποι. Πάγον.] τὸ ἀκρωτήριον. *

17. Κραιπνοῖς.] τοῖς ταχέσι, παρὰ τὸ ἐφ' ὕψος, καὶ εἰς [4] κάραν πνέειν. Ὑπερποτᾶτο.] ὑπερεπέτετο. Πηγάσου πτεροῖς.] περιφραστικῶς, τῷ Πηγάσῳ. Ὅμηρος πανσόφως καὶ ἀλληγορικῶς φυσικώτερον γράφων, ἵππους Ἡμέρας φησὶ Λάμπον καὶ Φαέθοντα· οἱ δὲ νέοι, τῷ Πηγάσῳ ἐποχουμένην αὐτὴν εἰσάγουσι μυθικῶς, ὥσπερ καὶ ὁ Λυκόφρων, ἔχεται δὲ καὶ τοῦτο ἀλληγορίας, ἣν μετὰ τὴν μυθικὴν ἱστορίαν ἐρῶ. ὁ Πήγασος οὗτος ὁ μελανόπτερος ἵππος, λέγεται γεννηθῆναι τοιῶσδε. Σταλεὶς ὁ Περσεὺς ἐπὶ τὰς Γοργόνας, προστάξει τῆς Ἀθηνᾶς, τὴν Σθενὼ μὲν καὶ τὴν Εὐρυάλην ἀθανάτους οὔσας παρέδραμε, καρατομεῖ δὲ τὴν Μέδουσαν. ἐκ τοῦ τραχήλου δὲ ταύτης, ὅ, τε Πήγασος οὗτος ἵππος ἀνέθορεν, ὑπόπτερος ὤν, καὶ ὁ Χρυσάωρ ἄνθρωπος, χρυσοῦν ἄορ κρατῶν. Βελλεροφόντης δὲ ὁ Κορίνθιος, ὁ καὶ Ἱππόνους καλούμενος, ἀνὴρ ὑπάρχων Φρυγίας, ἄκων ἀνελὼν τινὰ Κορίνθιον Βέλλερον, ἢ τὸν ἴδιον ἀδελφὸν [5] Δηλιάδην, ἢ Πειρῆνα, ἢ Ἀλκιμένην, [6] ἐλθὼν εἰς Ἄργος πρὸς Προῖτον, καθαίρεται. Ἄντεια δὲ, ἡ καὶ [7] Σθενέβοια γυνὴ Προίτου, ἐρωτικῶς ἐπιμαίνεται Βελλεροφόντῃ· ὡς δ' οὐκ ἐπείθεν συγγενέσθαι αὐτῇ, διαβάλλεται παρ' αὐτῆς Προίτῳ, ὡς πειράζων αὐτήν. Προῖτος δὲ αὐτοχειρίᾳ τοῦτον ἀνελεῖν οὐκ ἤθελε, κατά τι παλαιὸν ἔθος ἐπικρατοῦν, τὸ μὴ τοὺς συμφαγόντας ἀλλήλοις ποτὲ παρ' ἀλλήλων θνήσκειν, εἰ μή τι τοῦτο ἀκουσίως συμβῇ. διὰ τοῦτο καὶ Προῖτος Βελλεροφόντην ἀνελεῖν οὐκ ἤθελε, πέμπει δὲ αὐτὸν ἐς Λυκίαν, πρὸς Ἰοβάτην τὸν πενθερὸν, γράμματα δοὺς αὐτῷ κατ' αὐτοῦ, περιέχοντα τὴν τῆς Ἀντείας διαβολήν. καὶ ὁ Ἰοβάτης δὲ ὁμοίως ἐννέα ἡμέρας αὐτῷ συνεστιώμενος, ἐν

EMENDATIONES.

1 Ἄλλον τρόπον pro ἄλλῳ τρόπῳ, cum Bar & Grav. * Ex iisdem. 2 Prius scriptum fuit νύττω, ego reposui νύσσω ex iisdem. 3 Τραχύτατα lego cum Bar. & Grav. potius quam τραχύτατι, quod habent *Impressi* Codd. 4 Κάραν reposui ex *Seld.* pro κέραν Bar. habet κάρα. Κραιπνὸς autem secundum *Scholiasten* dicitur q. καραπνὸς, παρὰ τὸ εἰς κάραν πνεῖν, nam quæ in sublimi ponuntur, supra capita nostra sunt. Quinetiam *Phavorinus* emendationem nostram confirmat. 5 Ἠλιάδην Bar. 6 Ἐλθὼν εἰς Ἄργος πρὸς Προῖτον, καθαίρεται. Ita emendavi locum hunc ex fide *Bar.* qui prius corrupte ferebatur, ἐλθὼν εἰς Ἄργους, Προίτου καθαίρεται. 7 Σθενεβοία *Seld.* Σθενέβοια *Bar.* Σθενέβια *Impress.* Codd. habent.

τῇ θυγατρὶ δὲ τὸ γράμμα δεξάμενος, ἐπεὶ μὴ ἤθελεν αὐτὸς ἔχειν αὐτὸν ἀνελεῖν διὰ τὸ συμφαγεῖν μετ' αὐτοῦ, κελεύει τοῦτον ἀπελθεῖν, καὶ πολεμῆσαι Χιμαίρᾳ, εἶτα Σολύμοις, εἶτα Ἀμαζόσιν. οἱ θεοὶ δὲ τούτῳ ἐπτερωμένον ἵππον, ὃν φασὶ Πήγασον, ἀπεστάλκασιν· ᾧ ἐποχηθεὶς, τὴν Χίμαιραν ἀνεῖλε, μόλυβδον τῷ αὐτοῦ δόρατι ἐνθεὶς καὶ ἐμβαλὼν τῷ ἐκείνης πυρπνέοντι στόματι, ὑφ' οὗ πυρὸς ὁ μόλυβδος συντακεὶς, ἐκείνην ἀπέκτεινε· ἦν γὰρ προειδόντα τινὰ τὸ πῦρ τῆς Χιμαίρας φυλάξασθαι, καθά φησι Λυσίας ὁ ῥήτωρ μυθικῶς. οὕτω γοῦν ἐκείνην ἀνεῖλε, τοὺς δὲ Σολύμους, καὶ τὰς Ἀμαζόνας πολέμῳ. ὑποστρέφοντα δὲ ἐνέδρᾳ Λυκίων ἔμελλεν αὐτὸν ἀνελεῖν, ὁ δὲ καὶ τοὺς τῆς ἐνέδρας ἀνεῖλεν, Ἰοβάτης αὐτὸν γαμβρὸν ἔχειν ἐπὶ [1] Φιλονόῃ τῇ θυγατρὶ, καὶ τελευτῶν, αὐτῷ καὶ τὴν βασιλείαν καταλιμπάνει. Βελλεροφόντης δὲ, ὥς φασι, ἐπαρθεὶς τοῖς κατορθώμασιν, ἐθέλησε καὶ τὸν οὐρανὸν* σὺν* τῷ Πηγάσῳ περιπολεῦσαι· Ζεὺς δὲ οἶστρον τῷ ἵππῳ τούτῳ βαλὼν, ἔπεισε τὸν Βελλεροφόντην ὑποσφαλείσης τῆς αὐτοῦ νώτου, καὶ καταβαλεῖν αὐτὸν εἰς τὴν γῆν. καὶ δὴ περὶ τὸ Ἀλήϊον πεδίον κατενεχθέντος Βελλεροφόντου καὶ περιπορευομένου πεπηρωμένου ὑπὸ τῆς πτώσεως, ὁ Πήγασος ἄνω περιεπολεῖτο καὶ κάτω· ἡ γοῦν Ἡμέρα παρὰ Διὸς τοῦτον αἰτεῖται, ὡς ἂν ἐποχουμένη αὐτῷ τὸν ἡμερήσιον κύκλον βαδίζῃ. ταῦτα εἰσὶ τὰ ληρώδη καὶ μυθουργήματα. Ὅμηρος δὲ ἵππους Ἡμέρας φησὶ Λάμπον καὶ Φαέθοντα. ἵππος δέ ἐστιν [2] Ἡμέρας, ἡ περιφέρουσα αὐτὴν ὀξεῖα τοῦ οὐρανοῦ κίνησις, ἐφ' ἧς λάμπει καὶ φαίνει. καὶ ταῦτα μὲν τὰ Ὁμηρικά. περὶ δὲ Περσέως, καὶ Γοργόνων, καὶ Πηγάσου λεκτέον. Περσεὺς ὁ ἥλιος ἐστὶ, καὶ ἡ ὀξυκίνητος τοῦ οὐρανοῦ κίνησις. Ἀθηνᾶ δὲ, ὁ ἀὴρ, καὶ ἡ ἀναθυμίασις ἡ κινοῦσα τὸν οὐρανόν. ἐξ ἀναθυμιάσεων γὰρ κινεῖται κατά τινας. Περσεὺς δὲ λέγεται παρὰ τὸ [3] περιττῶς σεύεσθαι καὶ ὁρμᾶν. τοῦτον ἡ ἀερώδης ἀναθυμίασις αὕτη πέμπει ἐπὶ τὰς Γοργόνας, ἤτοι τὴν θάλασσαν, καὶ τὸ σύστημα τῶν ὑγρῶν, Γοργόνα λεγομένην διὰ τὴν ταύτης κατάπληξιν· γοργὸν γὰρ, τὸ καταπληκτικόν. πέμπει δὲ τοῦτον, ἀνελεῖν τὴν Μέδουσαν, τὴν λεπτομερεστέραν οὐσίαν, ὡς ἐξισωμένην αὐτῷ, καὶ γὰρ ἡ πᾶσα θάλασσα ἀεροειδής ἐστι, τὸ δὲ λεπτότερον αὐτῆς εἰς ἀέρα μεταβάλλει. ὁ γοῦν Περσεὺς, [4] ὁ ἥλιος οὕτω καλούμενος, κινούμενος τῇ οὐρανίῳ φορᾷ, τὴν μὲν Σθενὼ καὶ τὴν Εὐρυάλειαν, ἤτοι τὸ δυνατὸν καὶ κατὰ μῆκος πλάτος τῆς θαλάσσης ἐκτεταμένον, οὐκ ἀναιρεῖ, ἤγουν οὐ μεταστρέπει, οὐδ' ἀνιμᾶται, ὡς ἀθάνατον, καὶ μὴ μεταστραφῆναι δυνάμενον· τὴν δὲ Μέδουσαν μόνην ὡς θνητὴν ἀναιρεῖ, πλήττων τῷ ξίφει· ἤτοι τὸ βασιλικώτατον καὶ λεπτὸν, τῇ ὀξείᾳ κινήσει μεταποιεῖ καὶ ἀνιμᾶται. τῇ δὲ καρατομίᾳ ἐκείνης, ἐκ τοῦ τραχήλου ὁρμᾷ Χρυσάωρ καὶ Πήγασος· ἀνιμωμένης γὰρ τοῦ ἡλίου καὶ τοῦ αἰθέρος τὸ κεφαλαιῶδες, ὡς ἔφην, καὶ τὸ λεπτότερον, καὶ ἀτμῶδες, συμβαίνει τὸ βαρύτερον ἀναφερόμενον, πάλιν κάτω πηγάζειν καὶ χεῖσθαι, ὃ καὶ Πήγασον ὠνομάκασι, διὰ τὸ καταφερὲς, καταφερῆ γὰρ τὰ ἄλογα. τὸ δὲ λεπτομερέστερον εἰς τὸ αἰθερωδέστερον, καὶ ὅτι εἰς τὸ πυρῶδες μεταβάλλειν, ὅπερ καὶ Χρυσάορα κεκλήκασι. τούτῳ γοῦν τῷ ἐξ ὕδατος Πηγάσῳ ἀναφερομένῳ τῇ κινήσει τοῦ οὐρανοῦ, καὶ τῇ ἡλιακῇ ἀνιμήσει ἐποχουμένη, συναναφέρεται ἡ ἡμέρα· σφαιροειδὴς γάρ ἐστιν ὁ οὐρανὸς, καὶ κινεῖται ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς, συμπεριφέρων αὐτῷ τὸν ἥλιον, ὑπὲρ ἡλίου περιδινηθέντος εἰς τὸ ὑπὸ γῆν ἡμισφαίριον, γίνεται νὺξ· ἀπὸ δὲ τοῦ ὑπὸ θάλασσαν καὶ γῆν εἰς τὸ ἄνω ἀναδραμόντος ἡμισφαίριον, ὅθεν καὶ τοὺς λεχθέντας πηγάσους ἀτμοὺς ἀνασπᾷ, ἡμέραν ἐργάζεται· οὕτως ἡμῖν δοκεῖ τῷ Τζέτζῃ ἔχειν ταῦτα τὰ μυθουργήματα, τούτῳ τῷ Πηγάσῳ, τὴν ἡμέραν ὀχεῖσθαι, οὐ τῷ [5] Βελλεροφόντου, κἀκεῖνος δὲ οὐκ ἦν ἵππος, οὐ γάρ ἐστιν ὅπου τις ἐπτερωμένον ἵππον εὑρήσειεν, ἀλλὰ πλοίῳ ἐμβὰς οὗ πτερὰ τυγχάνει τὰ λαίφη, Πήγασος δὲ ἡ κλῆσις, ὡς διὰ τῶν πηγαζόντων ὑδάτων νηχομένου, τὴν Χίμαιραν ἀναιρεῖ, τὴν τρικέφαλον καὶ [6] πυρίπνουν, ὅπερ ἀλληγορεῖται ἱστορικῶς· ἡ Χίμαιρα γὰρ ἦν γυνὴ, θυγάτηρ [7] Ἀμισωδάρου, περὶ τόπον Λυκίας τοπαρχοῦσα. αὕτη ἀδελφοὺς εἶχε δύο, Λέοντα καὶ Δράκοντα, οἳ καὶ τὰς τῆς Λυκίας εἰσβολὰς κατέχοντες, μετὰ καὶ τῶν ὑπ' αὐτοὺς ἀνῄρουν τοὺς παριόντας. διὰ γοῦν τὴν ὁμόνοιαν αὐτῶν τρικέφαλον θηρίον τούτους ἐκάλεσαν· διὰ δὲ τὸ πολεμικὸν καὶ δραστήριον, πυρίπνουν. τούτους γοῦν Βελλεροφόντης νικήσας, μόλυβδον ἐμβάλλει τοῖς αὐτῶν στόμασι, τουτέστι χαλινὸν δουλείας. προέθεν δὲ ὁ λέων ἐπολέμει, ἐκ τοῦ ὄπισθεν ὁ δράκων, κατὰ μέσον δὲ ἦν ἡ χίμαιρα, ὡς ἐκείνων ἀσθενεστέρα· ἢ καὶ ἁπλῶς τὴν Χίμαιραν νοητέον, ὡς Ὅμηρος ὑπεμφαίνει μικρόν, τοὺς Σολύμους, ἔθνος μάχιμον, οὓς εἰκάζει καὶ λέοντι, διὰ τὸ κατὰ πρόσωπον συναλιστάδα μάχεσθαι, τὰς Ἀμαζόνας, ἃς εἰκάζει χιμαίρᾳ, ἤτοι αἰγὶ, διὰ τὸ κρημνοβατεῖν αὐτὰς δίκην αἰγῶν, καὶ ἐν κρημνοῖς κατοικεῖν. τὴν δὲ ἐνέδραν τῶν Λυκίων τὴν κατ' αὐτοῦ, διὰ τὸ λαθραῖον, ὄφιν ἐκάλεσεν. Πηγάσου πτεροῖς.] ἀντὶ τοῦ εἰπεῖν, ὅτι ἐκ τοῦ ὑπὸ γῆν καὶ ὕδωρ ἡμισφαιρίου σὺν τῷ ἡλίῳ ἀνῆλθεν ἡ ἡμέρα ἐκ τῶν μερῶν τοῦ ἑῴου ὠκεανοῦ, Πηγάσου πτεροῖς εἶπεν. ἡ δὲ τοῦ Βελλεροφόντου οὐρανόθεν ἐκ τοῦ Πηγάσου ὑποσφαίρεσις, τοῦτό ἐστιν· Ἐπαρθεὶς τοῖς ἀνδραγαθήμασιν, οἷς τῷ πλοίῳ ἐκείνῳ εἰργάσατο, ἐδόκει τις ἡμίθεος εἶναι, καὶ ὑψηλότερα τοῦ αἰθέρος ἐφρόνει· ἀντιπνευσάσης δὲ τῆς εἱμαρμένης αὐτῷ, ἣν Ὅμηρος Δία φησὶν, αἴφνης ὁ δυστυχὴς ἐκεῖνος ὁ [illegible], δυσχέραντος καταφαίνεται· ἀποβαλὼν γὰρ τοὺς παῖδας, καὶ ὥσπερ τυφλὸς γεγονὼς, πενθῶν περὶ τὴν ἐρημίαν τῆς Λυκίας διῆγεν, ὅπερ Ἀλήϊον ἀπὸ τῆς ἐκείνου ἄλης, ἤτοι πλάνης, ἐκλήθη. ὁ καὶ τὰς φρένας ἀποβαλὼν, καὶ τὸν νοῦν τυφλωθεὶς, οὕτω διῆγε πλανώμενος· κατὰ γὰρ Ἐπίχαρμον, Νοῦς ὁρᾷ, καὶ νοῦς ἀκούει, τὰ δ' ἄλλα πάντα τυφλὰ καὶ κωφά.

18. Τιθωνὸν ἐν κοίτῃσι] κατὰ τὸ μυθικὸν καὶ τὴν ἱστορίαν, ὁ Τιθωνὸς ἀδελφὸς ἦν Πριάμου ἀμφιμήτριος· ὁ μὲν γὰρ Πρίαμος ἦν Λευκίππης, ὁ δὲ Τιθωνὸς ἦν Στρυμοῦς, ἢ Ῥοιοῦς τοῦ Σκαμάνδρου θυγατρὸς υἱός, ἀμφότεροι δὲ πατρὸς Λαομέδοντος. φασὶ γοῦν ὅτι τὸν Τιθωνὸν τοῦτον, σύνευνον εἶχεν ἡ Ἡμέρα, ἐξ οὗ γεννᾷ Μέμνονα καὶ Ἠμαθίωνα. ἀθάνατον δὲ τὸν Τιθωνὸν ποιήσασα, ἐπελάθετο ποιῆσαι καὶ ἀγήρω. γηράσαντος δὲ τοσοῦτον, ὡς ἐν ταλάρῳ καὶ λίκνῳ* ὅτοι κινεῖν,* αὐτὸν περιστρεφόμενον δίκην βρεφυλλίου καθεύδειν, εἰς τέττιγα μετέβαλε· διὰ τοῦτο γοῦν καί φασιν ἐν τῇ κοίτῃ καταλεῖψαι αὐτὸν τὴν Ἡμέραν. ταῦτα μὲν μυθικωτέρως λέλεκται· ἱστορικῶς δὲ σαφέστερον λεκτέον καὶ ἀλληγορητέον· Ὁ Τιθωνὸς ἐστὶ [8] περὶ τὴν ἡμέραν καὶ τὰ ὤνια διαγαμβρεύσας, παῖδας μὲν ἔχει ἐξαιρεθέντας, πολυχρονιώτατός τε ἐγεγόνει, ὡς ὑπὸ γήρους τοῦτον τέττιγος δίκη ταλάρῳ καθήμενον· ἐμυθεύσαντο γοῦν, ὅτι ἡ Ἡμέρα, τουτέστιν ἡ εὐκρασία τῶν ἑῴων μερῶν, καὶ σύνευνον τοῦτον ἔχει, καὶ ἀθάνατον ἐποίησεν. ἡ Ἡμέρα καὶ τὸ φῶς τοῦτο ἐγκατέλιπε, διὰ τὸ ὑπεργήρεων, ὡς ἔφην, αὐτὸν γεγονέναι· ὅθεν καὶ εἰς τέττιγα φασὶν αὐτὸν μεταβληθῆναι· οἱ γὰρ τέττιγες, ὥσπερ καὶ οἱ ὄφεις, γεγηρακότες ἀποβάλλουσι τὸ γῆρας. καὶ ταῦτα μὲν ἀλληγορεῖται ἱστορικῶς. φυσικῶς δὲ ἤδη λεκτέον· Ἠὼς τὸ πρωϊνὸν κατάστημα, Τιθωνὸς δὲ τὸ τῆς ἡμέρας κατάστημα, ὅτι τιθέασι τὰ ὤνια, καὶ ἐπὶ τὰ ἔργα χωροῦσιν οἱ ἐργαζόμενοι, ὅθεν καὶ Ἡμέρας ἀνὴρ, [9] ὅτι τὰ ἀνδρώδη καὶ ἐργατικὰ ἐν [10] αὐτῷ γίνονται, καὶ οὐχ ὥσπερ ἐν τῇ νυκτὶ, τὰ θηλυπρεπῆ καὶ ἀνέσιμα. οὕτω μὲν οὖν, ὡς ἔφην, Τιθωνός ἐστιν ἡ ἡμέρα· μᾶλλον δὲ, ἐκεῖνο τὸ τῆς ἡμέρας κατάστημα, ὁπότε τὰ ὤνια προτίθενται, καὶ αἱ ἀγοραὶ ἵστανται· ἕτερος δὲ μυθικῶς εἶπε τὸν Τιθωνὸν, Πριάμου καλῶν αὐτὸν ἀδελφὸν, ἱστορίαις γὰρ καὶ

μύθοις

EMENDATIONES.

1 Φιλονόῃ Bar. & Grav. * Ex Grav. 2 Ἡμέρας reposui pro ἡμέρα ex fide omnium MSS. 3 Περιττῶς σεύεσθαι reposui pro περιττοῖς σεύεσθαι ex fide omnium MSS. 4 Ἥλιος οὕτω καλούμενος reposui pro ἥλιος οὕτω κινούμενος ex Bar. & Grav. 5 Βελλεροφόντου reposui ex Seld. pro Βελλεροφόντῃ. 6 Πυρίπνουν reposui pro πυρίπνοον ex Grav. 7 Ἀμισωδάρου Bar. & Grav. * Ex Grav. 8 Περὶ, pro παρὰ, ex omnibus MSS. 9 Ὅτι, pro ἔτι, ex Grav. 10 Αὐτῇ, pro αὐτῷ, ex omnibus MSS.

Λιποῦσα, τὸν σὸν ἀμφιμήτριον κάσιν.
Relinquens, tuum paternum fratrem:

Οἱ δ' οὖσα γραίνης εὐγάληνα χερμάδος
Funes verò tranquillos à concavis saxis

Ναῦται λίαζον, κἀπὸ γῆς ἐσχάζοσαν
Nautæ solvebant, & à terra laxabant

[a] Υσπληγας, αἱ δὲ παρθενοκτόνον Θέτιν
Ancoras: virginicidam autem Thetin

VARIANTES LECTIONES.

a Υσπληγγας Bar. & Impressi quidam.

μύθοις μόνον φροντίζει, θέλγειν τοὺς νέους βουλόμενος. Κοίταισι] κοίταις. Ιωνικῶς δὲ ἐτράπη τὸ α εἰς η, καὶ μένει τὸ ἰῶτα προσγεγραμμένον. Κέρνη] νῆσος ὠκεανῖτις, ὅπόθεν ὁ ἥλιος δοκεῖ [1] ἀνατέλλειν. Τὸ Αμφιμήτριον ἐξέδωκα.

20. Οὖσα] τὰ σχοινία, παρὰ τὸ οἴω, τὸ κομίζω, οἴσω, καὶ Ιωνικῶς οὖσα. ἢ τὰ ἀπὸ οἰσύας φυτοῦ, ὥς τις λέγει, πρότερον γὰρ ἀπὸ λύγου σχοίνους ἐποίουν, πρὸ εὑρέσεως τῶν καννάβεων. Γραίνης] κοίλας πέτρας, ἐκ τοῦ γρῶ, τὸ ξέω, καὶ σείω, [*] γραίνης καὶ γραίνος. [**] Εὐγάληνα] τὰ γαλήνην ἐμποιοῦντα τῇ ναῦν κλυδωνιζομένην, ὁπότε δεθῇ καὶ σπερχθῇ τὰς ἀγκύρας. Χερμάς.] κυρίως ἡ μικρὰ πέτρα, ἣν δύναταί τις τῇ χειρὶ μάρψαι, καὶ ἐπιλαβέσθαι· νῦν δὲ καταχρηστικῶς τὴν παραθαλασσίαν μεγάλην πέτραν ἐκάλεσε τοῦ λιμένος, πρὸς ἣν ἀποδέουσι τοὺς τῶν ὁλκάδων σχοίνους.

21. Λίαζον.] ἔλυον, τροπῇ τοῦ δ εἰς ζ, δίχερον εἰς δίχειρον, ὡς τὸ βίβλος βίβλος, Αφροδίτη Αφροδίτη, τρίβολον τρίβολον, καὶ τὰ ὅμοια. Κἀπὸ γῆς ἐσχάζοσαν ὕσπληγγας.] ἀπὸ γῆς [2] ἀνέσπασαν τὰς ἀγκύρας, ὅτε γὰρ μέλλουσι πλεῖν, ἀπὸ τῆς γῆς ἀνασπῶσι ταύτας. τὸ δὲ ἐσχάζοσαν, [3] Χαλκιδικόν, ἤτοι τῆς Ατθικῆς διαλέκτου. Υσπληγξ δέ, καὶ ὑστριχίς· κυρίως δὲ μάστιξ ἡ ἐκ χοιρείων τριχῶν συμπεπλεγμένη· καταχρηστικῶς δὲ καὶ πᾶσα μάστιξ, καὶ τὸ βούνευρον. νῦν δὲ τὰς ἀγκύρας οὕτως λέγει.

22. Αἱ δὲ παρθενοκτόνον.] μέχρι τῶν αἱ Φαλακραῖαι κόραι συντάσσεται οὕτω, καθ' ἣν διεγράψαμεν τάξιν τοῦ α καὶ β, καὶ τῶν λοιπῶν στοιχείων. Παρθενοκτόνον.] Αθάμας ὁ Αἰόλου τοῦ Ελληνος [*] παῖς, βασιλεὺς δὲ Θηβῶν [*], ἐκ Νεφέλης γεννᾷ Ελλην καὶ Φρίξον· εἶτα Ινὼ γήμας, γεννᾷ Κλέαρχον, τὸν παρά τισι [4] Λέαρχον, καὶ Παλαίμονα, τὸν καὶ Μελικέρτην. Ινοῦς δὲ φρυγούσης τὸν πυρὸν διὰ τὸ μὴ ἀναφῦναι, καὶ ὑποθεμένης τοῖς μάντεσι λέγειν Αθάμαντι, διὰ τοῦτο σῖτον μὴ φύεσθαι, μηδὲ τὰ λοιπὰ τῶν σπορίμων, ὅτι τῶν τῆς Νεφέλης παίδων χρεία τοῖς θεοῖς εἶναι τυθῆναι, ἀναγκασθεὶς ὁ Αθάμας, Φρίξον παρέστησε τῷ βωμῷ, [5] σφαγιάσαι βουλόμενος. Νεφέλη δὲ καὶ Φρίξον, καὶ τὴν Ελλην ἁρπάζει, [6] καὶ παρ' Ερμοῦ λαβοῦσα χρυσόμαλλον κριὸν ἔδωκε τῷ Φρίξῳ ἐφ' οὗ φερομένων διὰ τοῦ ἀέρος, [*] αὐτοῦ τε καὶ τῆς ἑαυτοῦ ἀδελφῆς τῆς Ελλης [*], συνέβη τὴν Ελλην εἰς τὸ ὑποκείμενον καταπεσεῖν πέλαγος, καὶ ἀποπνιγῆναι, καὶ ἀπὸ ταύτης κληθῆναι Ελλήσποντον, ὅθεν καὶ παρθενοκτόνον Θέτιν καὶ θάλασσαν οὕτως τὸ Ελλησπόντιον ἐκάλεσε πέλαγος. Φρίξος δὲ ἧκεν εἰς Κόλχους, καὶ θύει ἐκεῖ τὸν κριὸν Φυξίῳ Διΐ. τὸ δὲ δέρος [7] Αἰήτης ἐν Αρεος ἄλσει καθήλωσε περί [*] τινα [*] δρῦν, ὃ μυθολογεῖται φυλάττειν τὸν Δράκοντα. Φρίξος δὲ λαβὼν Χαλκιόπην τὴν Αἰήτου, γεννᾷ Αργον, Μέλανα, Κάτιν, Φρόντιν, Σῶρον, καὶ Ελλην. ὕστερον δὲ Αθάμας μανίᾳ δι' Ηρας, ὅτι τὸν Διόνυσον ὡς κόρην ἀνέτρεφε λαβὼν παρ' Ερμοῦ, καὶ τῶν ἐξ Ινοῦς ἐστέρητο παίδων· αὐτὸς γὰρ μανείς, Λέαρχον τοξεύει· Ινὼ δὲ σὺν Παλαίμονι, τῷ καὶ Μελικέρτῃ ἥλατο εἰς θάλασσαν. Αθάμας δὲ ἐκπεσὼν Βοιωτίας, χρησμὸν ἔλαβεν, ἐκεῖ κατοικεῖν, ὅπου ζώων ἀγρίων ξενισθῇ· λύκοι δὲ περί τινα αὐτοῦ κληθεῖσαν Αθαμαντίαν ἰδόντες αὐτόν, ἔφυγον, καταλιπόντες τὰ κρέα τῶν προβάτων ἅπερ κατήσθιον. ἐκεῖ δὲ γήμας Θεμιστὼ τὴν Υψέως, γεννᾷ Λεύκωνα, Ερυθρόν, [8] Σχοινέα, Πτῶον. καὶ τὰ μὲν λοιπὰ πάντα τῆς ἱστορίας ἀληθεύουσι, τὰ δὲ περὶ τοῦ κριοῦ μεμυθολόγηται· ὁ γὰρ Κριὸς ἄνθρωπος ὤν, φίλος τῇ Ελλῃ καὶ Φρίξῳ, γνοὺς τὴν ἐπιβουλὴν τὴν κατ' αὐτῶν, ἐμβὰς εἰς πλοῖον μετὰ τούτων ἐφέρετο. καὶ ἡ μὲν Ελλη περὶ τὸν Ελλήσποντον, ἢ νόσῳ, ἢ πεσοῦσα τοῦ πλοίου, τελευτᾷ· οὗτοι δὲ ἀφίκοντο περὶ Κολχίδα, καὶ χρυσώσαντες κριοῦ δέρμα, τὸν μὲν κριὸν θύουσι Διΐ, τὸ δὲ δέρμα τις ἄνθρωπος Δράκων ἐφύλαττε. Καὶ ἄλλως· Αθάμας ὁ Αἰόλου τοῦ Ελληνος παῖς, βασιλεὺς δὲ Θηβῶν, γήμας Ινὼ τὴν Κάδμου, παῖδας ἔσχε δύο. Κλέαρχον τὸν παρά τισι Λέαρχον, καὶ Παλαίμονα τὸν καὶ Μελικέρτην. κατὰ Ηρας δὲ πρόσταγμα, ἀποπεμψάμενος τὴν Ινώ, καὶ ἐπιγήμας Νεφέλην, ἔσχεν ἐξ αὐτῆς δύο παῖδας, Ελλην τε καὶ Φρίξον· μιγνύμενον δὲ αὐτὸν λάθρα τῇ Ινοῖ, καταπλεύσασα ἡ Νεφέλη ᾤχετο, πάλιν δὲ τῆς οἰκίας ἐπικρατήσασα ἡ Ινώ, ἐπιβουλεύει τοῖς τῆς Νεφέλης παισίν· εὑροῦσα οὖν τινα μηχανήν, [9] ἔφρυξε τὸν πυρὸν διὰ τὸ μὴ ἀναφῦναι. καὶ δὴ πολλῆς οὔσης ἀκαρπίας ἐν τῇ χώρᾳ, ἔπεμψαν οἱ Αθηναῖοι θεοπρόπους εἰς Πυθώ· ἡ δὲ Ινὼ ὑπέθετο τοῖς μάντεσι τοιοῦτόν τινα χρησμὸν κατὰ τοῦ Φρίξου λέγειν Αθάμαντι, ὡς διὰ τοῦτο σῖτον μὴ φύεσθαι, μηδὲ τὰ λοιπὰ τῶν σπορίμων, ὅτι τῶν τῆς Νεφέλης παίδων χρεία τοῖς θεοῖς εἶναι τυθῆναι. πυθόμενος οὖν [10] παρὰ τῶν θεοπρόπων ὁ Αθάμας τὸ λόγιον, καὶ ἀναγκασθείς, μεταπέμπεται ἐκ τῶν ἀγρῶν τὸν Φρίξον, σφαγιάσαι βουλόμενος. προφάσεως δὲ χάριν ἐκέλευσεν [11] αὐτὸν ἄγειν ὅ, τι κάλλιστον πρόβατον ἐν τοῖς θρέμμασιν εἰς ἱερουργίας ὑπάρχει. μυθολογεῖται δέ, ὅτι παραγενομένῳ τῷ Φρίξῳ μετὰ τῆς ἀδελφῆς, κατά τινα δαίμονος ἐπιφάνειαν ἀνθρωπίνῃ βοῇ λαλῆσαι τὸν κριόν, καὶ πᾶσαν αὐτῷ τὴν ἐπιβουλὴν ἀναγγεῖλαι· κελεῦσαί τε αὐτὸν μετὰ τῆς ἀδελφῆς, προκαθίσαι τὰ νῶτα, ὅπως τὸν ἐπικείμενον κίνδυνον ἐκφυγεῖν δυνηθῶσιν. ἕτεροι δὲ λέγουσιν, ὅτι Νεφέλη Φρίξον καὶ τὴν Ελλην ἁρπάζει, καὶ παρ' Ερμοῦ λαβοῦσα χρυσόμαλλον κριὸν ἔδωκεν· ἐφ' οὗ φερομένων διὰ τοῦ ἀέρος μετὰ πολλῆς τῆς βίας συνέβη τὴν Ελλην μὴ δυναμένην ἀντέχειν. καὶ τὰ λοιπὰ τῆς ἱστορίας ταύτης ζήτει εἰς τὴν ἑτέραν ἱστορίαν τὴν ὁμοίαν αὐτῇ, ὡς ὄπισθεν ἔφη. Θέτις.] ἡ θάλασσα, ὅτι ἡ θέσεως αἰτία· συναχθέντος γὰρ τοῦ ὕδατος, κατ' ἀρχὰς ἐφάνη ἡ ξηρά, καὶ γέγονε τοῦ παντὸς ἡ εὐκοσμία.

EMENDATIONES.

[1] Prius hæc ita indistinctè legebantur, ἀνατέλλειν, τὸ ἀμφιμήτριον ἐξέδωκα. Vult Scholiastes se vocem hanc prius explicasse. Cæterum lepide errârunt nonnulli, qui interpunctione decepti putarunt Cernen vocatam fuisse Amphimetrium. [*] Ex Bar. Grav. & Phavorino, cujus etiam Lexicographi authoritate lege, γρῶ, τὸ ξέω, καὶ ἐσθίω. Grav. quoque pro σείω habet ξέω. [2] Ανέσπασαν ex omnibus MSS. reposui pro ἀνεσπάσθαι. [3] Χαλδαϊκόν, quod prius legebatur, mutavi in Χαλκιδικόν. Unde probe sequitur ἤτοι Ατθικῆς διαλέκτου nam Chalcis, Lycophronis patria, ob Atheniensi colonia habitata est, docente Strabone lib. XII. Hanc autem correctionem postea confirmat ipse Tzetzes ad v. 252. Πέφρικα (loquit) ἀντὶ τοῦ πεφρίκασι, καὶ τὰ ὅμοια. Χαλκιδικῶς, ἤτοι Ατθικῶς, διαλέκτῳ καὶ τὸ ἐσχάζοσαν, καὶ εἴχοσαν, καὶ τὰ ὅμοια. [*] Ex Grav. [4] Λέαρχον reposuit Gerbelius pro Λίαρχον, consentientibus omnibus MSS. [5] Σφαγιάσαι ex utroque MSS pro σφαγιάσασθαι. [6] Ita restitui ex Bar. prius scriptum fuit, ἡ δὲ παρ' Ερμοῦ λαβοῦσα χρυσόμαλλον κριόν, ἔδωκεν ἐφ' οὗ &c. [*] Ista inserui ex Bar. [7] Αἰήτης reposui pro Αἰήτου ex fide omnium MSS. Phryxus enim ob Æetâ Colchorum rege exceptus hospitio est. [*] Ex Grav. [8] Σχοινέα, pro Σχοινίαν, ex Seld. cui consentit Apollonii Scholiastes lib. II. v. 1147. ubi ait ἐξ Αθάμαντος καὶ Θεμιστοῦς γενέσθαι παῖδας Σχοινέα, Ερυθρόν, Λεύκωνα, &c. Ibidem Πτῶον, pro Πτελέαν, ex omnibus MSS. [9] Εφρυξε reposui pro ἔφεξε ex emendatione Gerbelii. Cæterum deest toto hæc Fabula in utroque MSS. [10] Prius scriptum fuit, περὶ τῶν θεοπρόπων. [11] Ita emendavi, cum prius scriptum esset, αὐτὸν ἄγειν ὅτι &c.

Ἰουλόπεζοι θεῖνον εὐῶπες σπάθαις	Julipedes pulcræ ſulcabant remis
Πελαργοχρῶτες, αἱ Φαλακραῖαι κόραι,	Ciconipelles Phalacrææ filiæ,
Ὑπὲρ Καλυδνῶν λευκὰ φαίνουσαι πτίλα,	Ultra Calydnas albas oſtendentes alas,
[a] Ἄφλαστα, καὶ φώσωνας [b] ὠργυιωμένους,	Roſtraque, & expanſa vela,
Ἀπαρκτίαις πρηστῆρος αἴθωνος πνοαῖς.	Septentrionalibus turbinis acuti flatibus:
Ἡ δ' ἔνθεον σχάσασα βακχεῖον στόμα	Cum divinum reſolvens os fatidicum
Ἄτης ἀπ' ἄκρων βουπλανοκτίστων λόφων,	E ſummis Ates vaccivagis collibus,
Τοιῶνδ' ἀπ' ἀρχῆς [c] ἦρχ' Ἀλεξάνδρα λόγων.	Tales exorſa eſt Alexandra ſermones.

VARIANTES LECTIONES.

a Al. ἄπλαστα, *Phavorinus* legit ἄφλαστα. Verba ejus hæc ſunt, φάσωνα. εὐθέων, φωσσώνιον λευκόν τι, ὅτω συνδόνιον. ὡς καὶ τὸ ἀφορισμένον ἱστίον τῆς νηός, ὡς παρὰ Λυκόφρονι, Ἄφλαστα καὶ φώσωνας ὠργυιωμένους. b Ὠργυιωμένους habent Codd. MSS. eandemque lectionem in Scholiis repetunt. Ὀργυιωμένους *Etymologus*, qui tamen in edit. *Venetiana* ὠργυιωμένους legit. c Al. ἦρχε Κασσάνδρα.

23. Ἴουλος.] σκώληξ πολύπους μακρὸς ἀεὶ τοίχους ἀναρχόμενος, ᾧ παρεικάζει τὰς Ἀλεξάνδρου ναῦς, διὰ τὰς κώπας. ἐγὼ δὲ μίαν λέγω ναῦν Ἀλεξάνδρου, καὶ βαρβαρικὸν πλοιάριον ὄν, [1] ἑκατὸν γὰρ μόνους στρατιώτας ἔχον, ἔπλευσεν εἰς Ἑλλάδα. ἴουλος δὲ σημαίνει τέσσαρα, τὸν σκώληκα τοῦτον, τὸ ἐξάνθημα τῶν γενείων, τὴν συστροφὴν τῶν τριχῶν, καὶ τὸν ὕμνον, ὥς φησιν Ἐρατοσθένης ἐν Ἑρμῇ,

Ἡ χερνῆτις ἔριθος ἐφ' ὑψηλῷ πυλεῶνος,
Δαιδαλέης στείχουσα καλὰς [2] ᾔειδεν ἰούλους.

* Ἡ ἴουλος ζῶον ἐστὶν ἐν τῇ θαλάσσῃ πολύπουν· ἐξ αὐτοῦ δὲ αἱ νῆες ἰουλόπεζοι λέγονται, πέζα γὰρ ὁ πούς, παρὰ τὸ πέδον τὸ ὁμαλόν, τοῦτο δὲ παρὰ τὸ ἕζω τὸ κάθημαι. πόδες δὲ τῆς νηός, κυρίως μὲν οἱ οἴακες, ἤ καὶ αἱ κῶπαι.* Πέζα.] πούς, παρὰ τὸ πέδον. Εὐῶπες.] εὐόφθαλμοι, διὰ τὰς ὀπάς, ὅθεν ἐν τῷ πλεῖν κινοῦσι κώπας. Σπάθαις.] κώπαις.

24. Πελαργοχρῶτες.] λευκόχροοι, διὰ τὰ [3] λαίφη. Φαλακραῖαι. Ἰδαῖαι, ἀπὸ τοῦ ἀκρωτηρίου, τὸ ἀπεσχισμένον· τέσσαρα γὰρ ἀκρωτήρια Ἴδης, Φαλάκρα, Λεκτόν, Γάργαρον, καὶ Πέργαμον. τινὲς δὲ ἐκεῖθεν, ἤγουν ἐκ τῆς Φαλάκρας, λέγουσι τμηθεῖσαι τὰ ξύλα τὰ εἰς τὴν ναυπηγίαν τῶν Ἀλεξάνδρου πλοίων, ἔκτοτε δὲ τοῦτο τὸ ὄρος ψιλωθὲν [4] Φαλάκραν κληθῆναι, * διὰ τὸ φαλακρωθῆναι αὐτὸ ὑπὸ τοῦ Φερέκλου, εἰς τὴν τῶν νεῶν κατασκευήν.* Κόρας δὲ Φαλάκρας εἶπε τὰ πλοῖα, ὡς ἐκ τῶν τῆς Φαλάκρας ξύλων ναυπηγηθέντα.

25. Καλύδναι.] νῆσοι Τροίας, ἀπὸ τινος Καλύδνου. Λευκὰ πτίλα.] τὰς κώπας, ὅτι ὑπ' αὐτῶν λευκαίνεται τὸ ὕδωρ πληττόμενον· πτίλα, τὰ πτερά, [5] παρὰ τὸ ἐν τῷ πέτεσθαι πάλλειν καὶ κόπτειν τὸν ἀέρα.

26. Ἄφλαστα] ἀσυνδετον, ἀντὶ τοῦ εἰπεῖν, καὶ ἄφλαστα. ἄφλαστα δὲ λέγονται πρύμναι, ὅτι αἱ πρύμναι τῶν πλοίων τῶν βαρβαρικῶν καὶ στρατιωτικῶν θεοὺς γεγραμμένους εἶχον, ἃ δὴ σεσόβησαν οὐκ ἄν τις ἔκαυσε. τὰ δὲ τῶν λοιπῶν πλοίων ἄφλαστα πῶς εἴποι, εἰσεὶ εὔφλαστα καὶ εὔκαυστα. εἰ γάρ τις πῦρ αὐτοῖς ἐπιβάλλῃ, συντόμως καίονται. διὰ τὸ εἶναι πεποικιλμένας. Φώσωνας.] τὰ λαίφη, τὰ ἄρμενα, παρὰ τὸ φῶ, τὸ λαμπρύνω· λευκὰ γάρ. ἢ παρὰ τὸ φυσᾶσθαι ὑπ' ἀνέμων, φύσωνες καὶ φώσωνες. Ὠργυιωμένους.] ἐκτεταμένους, ἡπλωμένους. ἢ ἀπὸ τῆς ὀργυιᾶς, ἤτοι τῆς ἐκτάσεως τῶν χειρῶν. ἢ καὶ ἀπὸ τοῦ ὀργῶ, τὸ ὁρμῶ. ὀργᾷν δέ, τὸ ἐκ γῆς συντόμως ὁρμᾶν τι [6] τῶν φυτῶν, ἢ τῶν βοτανῶν. ὠργυιωμένους, καὶ μετὰ προσγραφῆς τοῦ ι δεῖ γράφειν * καὶ δίχα προσγραφῆς.* τὰ γὰρ διὰ τοῦ ιω θηλυκὰ τῷ ι προσγράφοντα, μιᾷ, ἀρπυιᾷ, μαστυιᾷ. τὸ δὲ ἀγυιᾷ, καὶ ὀργυιᾷ διαφέρεται.

27. Ἀπαρκτίαις πνοαῖς] τοῦ ἀπ' ἄρκτου πνέοντος· τοῖς γὰρ ἀπὸ Τροίας πλέουσιν εἰς Ἑλλάδα, φορὸς καὶ οὔριος ἄνεμος ὁ ἀπαρκτίας Βορρᾶς. Πρηστῆρος αἴθωνος] καυστικοῦ ὀξέος.

28. Ἔνθεον] θεῖον, μαντικόν. Σχάσασα] ἀνοίξασα. Βακχεῖον] τὸ δίκην τῶν Διονύσου Βακχῶν ξένα φθεγγόμενον.

29. Ἄτης] ἤγουν βλάβης. λόφον ἄτης, καὶ βουπλανόκτιστον, τὴν Τροίαν λέγει· Ἠλέκτρας γὰρ τῆς Ἄτλαντος καὶ Διός, Ἰασίων καὶ Δάρδανος, καὶ Ἰασίων μὲν Δήμητρι ἐρασθεὶς κεραυνοῦται· Δάρδανος δὲ κατακλυσμοῦ γεγονότος, ἐκ Σαμοθράκης [7] εἰς τὴν ἀντίπεραν γῆν ἐπεραιοῦτο, καὶ τὴν νῦν Τροίαν ἔμελλεν κτίζειν. χρησμὸς δὲ τοῦτον κωλύει κτίζειν τὸν λόφον τοῦτον, εἰπὼν βλάβην γενέσθαι τοῖς αὐτὸν κατοικήσασι. κωλυθείς, κτίζει τὴν Δαρδανίαν, πρότερον Σκαμάνδρου λόφον καλουμένην, βασιλεύοντος τότε τῶν Τρωϊκῶν μερῶν Τεύκρου τοῦ Σκαμάνδρου καὶ Ἰδαίας νύμφης· οὗ Σκαμάνδρου τὴν ἀδελφὴν Βάτειαν λαβὼν ὁ Δάρδανος, ἣν καὶ ὁ Λυκόφρων [8] Ἀρίσβην λέγει, γεννᾷ Ἶλον καὶ Ἐριχθόνιον, ὧν Ἶλος ἄπαις τελευτᾷ· Ἐριχθόνιος δὲ ἐξ Ἀστυόχης τῆς Σιμόεντος, γεννᾷ Τρῶα. Τρωὸς καὶ Καλλιρρόης τῆς Σκαμάνδρου, Ἶλος καὶ ἕτερος. ὃς Ἶλος εἰς Φρυγίαν ἐλθών, ἐν Πειραίῳ ἐμαντεύσατο· ἔχρησε δὲ αὐτῷ ὁ Πειραιοῦ Ἀπόλλων, μὴ κτίζειν τὸν λόφον τοῦτον, ἄτης γὰρ αὐτὸν εἶναι. διὸ καὶ Δάρδανος αὐτὸν [9] οὐκ ἔκτισεν, ἀλλὰ καὶ τὴν ὑπὸ τὴν Ἴδην Δαρδανίαν, πρότερον Σκαμάνδρου λόφον καλουμένην. ἐν Φρυγίᾳ γοῦν ἀγῶνα ὑπὸ τοῦ βασιλέως τιθέμενον ὁ Ἶλος εὑρών, νικᾷ [10] πάλην καὶ λαβὼν ἐκ τοῦ βασιλέως ἆθλον [11] ν' κόρας, καὶ ν' κόρους, ἐκ τοῦ χρησμοῦ εἵπετο βοΐ πλανηθείσῃ ἐκ Μυσίας, ὅπως ἀφικομένη ἐπὶ τὸν λεγόμενον τῆς Φρυγίας Ἄτης λόφον κατακλίνῃ, ἔνθα πόλιν κτίσας ὁ Ἶλος, Ἴλιον ἐκάλεσε. Βουπλανόκτιστος δὲ λέγεται, διὰ τὸ πλανηθείσῃ βοῒ εἵπεσθαι. Λύσιμος ὁ Λαμψακηνός φησιν, ὅτι τοῦ Ἴλου ἐν τῇ Μυσίᾳ νεμομένας βοῦς, ἔχρησεν αὐτῷ Ἀπόλλων, ἐκεῖ κτίζειν πόλιν, ἔνθα ἂν ἴδῃ μίαν τῶν βοῶν αὐτοῦ πεσοῦσαν. μία οὖν τῶν βοῶν αὐτοῦ ἀποσκιρτήσασα, ταύτην ἐδίωκεν· ἡ δὲ ἐκλάσασα, κατέπεσεν ἔνθα νῦν ἐστὶν ἡ Ἴλιος. ὁ δὲ Ἶλος τοῦ χρησμοῦ μνησθείς, ἐκεῖ πόλιν ἔκτισεν, καὶ ἀφ' ἑαυτοῦ Ἴλιον ὠνόμασεν. Ἄκρων λόφων] τῶν ὑψηλῶν, ἐν γὰρ ἐκείνοις τοῖς μέρεσιν ἦν πύργος τῆς Κασάνδρας.

EMENDATIONES.

1 Ita reſtitui ex *Seld.* ἑκατὸν γὰρ στρατιώτας ἔχον *Bar.* ἑκατὸν καὶ μόνους στρατιώτας ἔχον *Impreſſ.* Codd. 2 Ἤειδεν pro ᾄδεν ex *Bar.* & *Grav.* * Hæc addo ex *Bar* & *Grav.* 3 Λαίφη pro λαιφ ex *Seld.* 4 Φαλάκραν pro Φαλάκρα ex omnibus *MSS.* * Hæc inferui ex *Bar.* & *Grav.* 5 Παρὰ pro περὶ ex *Seld.* 6 Ita emendavi ex fide *Seld.* prius ſcriptum fuit τῶν φυτῶν. ἢ τῶν βοτανῶν ὠργυιωμένους. * Hæc addo ex *Bar.* & *Grav.* quæ videntur è contextu excidiſſe, ut patet ex ſequentibus. 7 Sic lego ex *Bar.* & *Grav.* εἰς ἀντίπεραν γῆν, *Impreſſ.* 8 Ἀρίσβην pro Ἀρισβὴν ex *Bar.* & *Grav.* Quinetiam Poeta noſter poſtea fœminam hanc Ἀρίσβην appellat, verſ. 1308. Γήμας Ἀρίσβην Θρῄσσαν εὐγενῆ κόρην. 9 Οὐκ ἔκτισεν pro ἔκτισεν. 10 Πάλην pro πάλιν poſui. 11 Πεντήκοντα κόρας, καὶ πεντήκοντα κόρους *Grav.*

31. Αἱ

[a] Αἲ αἲ τάλαινα θηλαμὼν κεκαυμένη,	Heu! heu! misera Nutrix incensa,
Καὶ [b] πρόσθε μὲν πεύκῃσιν οὐλαμηφόροις	Ac prius quidem navibus turmiferis
[c] Τριεσπέρου λέοντος, [d] ὅν ποτε γνάθοις	Trinoctis Leonis, quem aliquando maxillis
Τρίτωνος [e] ἠμάλαψε κάρχαρος κύων.	Asper Tritonis canis deglutivit.
Ἔμπνους δὲ δαιτρὸς [f] ἡπάτων φλοιδούμενος,	Vivus autem dissector intestinorum ambustus,
Τινθῷ λέβητος ἀφλόγοις ἐπ' ἐσχάραις	Jubas capitis destillavit

VARIANTES LECTIONES.

a Al. Αἲ αἲ. b al. Πρόσθεν c Τριεσπέρου Barocc. Camers in suis Collectaneis. d Ὅν ποτ' ἐν γνάθοις Bar. aliique. e Ἠμάλαψε cum spiritu aspero Baro. Camers, atque ita legisse videtur Canterus. f Ἐγκάτων Seld.

31. Αἲ αἲ] ἐπίφθεγμα θρηνητικόν, ὃ πάντες οἱ νῦν βαρύνουσι, [1] Στέφανος δὲ καὶ Μελάμπους περισπᾶν ἀξιοῦσι, λέγοντες τουτονὶ τὸν κανόνα· Τὰ εἰς αι δίφθογγον λήγοντα ἐπιρρήματα, ἂν ἐπὶ τέλους ἔχωσι τὸν τόνον, περισπῶνται· ἰατταταῖ, παπαῖ, αἰαῖ, καὶ τὰ ὅμοια, πλὴν τοῦ βαβαί, καὶ τοῦ ναί, ἐγὼ δὲ φημι καὶ τοῦ οὐαί. Θηλαμών] τροφός, ἐκ τοῦ θηλῶ, θηλαμών. τροφὸν δὲ αὐτῆς τὴν Τροίαν καλεῖ.

* 32. Πρόσθε] * σημείωσαι ἐκ τούτου, ὅτι καὶ τὰ εἰς θε ἐπιρρήματα, φωνήεντος ἐπιφερομένου, τὸ ν [2] ἐφέλκουσι, συμφώνου δὲ οὐκ. ὅτι Πεύκῃσι.] πεύκαις Ἰωνικῶς, τροπῇ τοῦ α τῆς αι διφθόγγου εἰς η, μονωθέντος καὶ τοῦ ἰῶτα προσγεγραμμένου. πεύκη δέ ἐστι, ξύλον πρὸς πλοίων κατασκευὴν ἐπιτήδειον. ἀπὸ δὲ τοῦ ποιοῦντος τὸ ποιηθὲν εἶπεν, ἢ ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. Οὐλαμηφόροις.] * Ταῖς ὀλεθρίαις, ἢ ταῖς * οὐλαμὸν καὶ πόλεμον φερούσαις.

33. Τριεσπέρου λέοντος.] ὅτε Ἀμφιτρύων ἐπὶ Τηλεβόας ἐστράτευσεν, ἐκδικῆσαι θέλων τὸν φόνον τῶν ἀδελφῶν Ἀλκμήνης, καὶ τοῦ ταύτης πατρός, Ζεὺς τρεῖς ἑσπέρας εἰς μίαν μεταβαλών, συνεκάθευδε τῇ Ἀλκμήνῃ· κατὰ δὲ τὴν αὐτὴν ἑσπέραν καὶ Ἀμφιτρύων παλινοστήσας, συγκαθεύδει τῇ γυναικί. ἡ δὲ διδύμους παῖδας γεννᾷ· ἐκ Διός, Ἡρακλέα· ἐκ δὲ Ἀμφιτρύωνος, Ἰφικλῆ. διὰ τοῦτο τριέσπερον αὐτὸν λέγει. Τὰς δ' ἀλληγορίας εἰ μή τις τινὰς ἀναγκαίας, διὰ τὸ πλῆθος τῶν ἱστοριῶν ἐατέον, ὅτι οὐδὲ πρέπον ἐστὶν ἀλληγορεῖν ἐνταυθοῖ, ἐπεὶ γὰρ μυθικῶς πάντα γράφει. [3] τὸ μὲν οὖν περὶ τῶν τριῶν ἑσπερῶν οὕτω τινὲς φάσκουσιν, ἐγὼ δὲ τριέσπερον τὸν Ἡρακλέα λέγω καλεῖν τὸν Λυκόφρονα, διὰ τὸ ἐν τῷ κήτει τρεῖς ἡμέρας ποιῆσαι, ἃς ἑσπέρας καλεῖ διὰ τὸ ἀφώτιστον καὶ σκοτεινὴν εἶναι τὴν γαστέρα τοῦ θηρίου. τὸ δὲ περὶ τοῦ Διὸς οὕτως νοητέον, ὅτι τις βασιλεὺς τρεῖς ἡμέρας συνέχαιρε καὶ συνεκάθευδε Ἀλκμήνῃ, ἀποδημοῦντος Ἀμφιτρύωνος· ἐπεὶ δὲ τὸ καθεύδειν μετὰ γυναικῶν νυκτὸς ἔργον ἐστί, ἐμυθεύσαντο ὅτι τρεῖς ἡμέρας μίαν ἑσπέραν ἐποίησε. Λέοντος.] λέοντα τοῦτον καλεῖ διὰ τὴν ἀλκήν, καὶ ὅτι τὸν ἄγριον [4] λέοντα τῆς Νεμέας συνθλάσας οἰκείαις χερσίν, ὅπλῳ καὶ σκεπαστηρίῳ ἐχρῆτο τῷ δέρματι [5] τούτου, ὡς ὄντι ἀτρώτῳ.

34. Τρίτωνος.] κυρίως υἱὸς Ποσειδῶνος καὶ Ἀμφιτρίτης, τὰ μὲν ἄνω μέχρι καὶ ὀμφαλοῦ ἄνθρωπος, τὰ * δὲ * ἐξ ὀμφαλοῦ καὶ ἔραιε δελφίς, καί, οἷον εἰπεῖν, ὡς ἂν ἰχθυοκένταυρος. νῦν δὲ Τρίτωνα τὸν Ποσειδῶνα καλεῖ, Τρίτωνος δὲ τὸ κῆτος κύνα. Ἡ δὲ ἱστορία αὕτη· τῶν θεῶν βουλομένων δῆσαι τὸν Δία, γνοὺς τοῦτο ὁ Ζεὺς ἐκ τῆς Θέτιδος, τοὺς μὲν ἄλλους θεοὺς ἔπεισε, Ποσειδῶνα δὲ σὺν Ἀπόλλωνι ὀργῇ θητεῦσαι τῷ Λαομέδοντι, καὶ πυργῶσαι τὴν Ἴλιον ἀπέστειλεν. ὁ οὖν Λαομέδων τὸν μὲν Ἀπόλλωνα ἱερείαις ἐτίμησε· Ποσειδῶν δὲ ἐπεὶ μετὰ τὸν τεταγμένον χρόνον τὸν τῆς λατρείας μισθὸν οὐκ ἐδέξατο, ἀγανακτῶν κατὰ Λαομέδοντος ἔπεμψε κῆτος δεινότατον, ὅσπερ καὶ τὴν χώραν * κατέκλυσεν ἀπὸ τῆς θαλάσσης. ἐκ χρησμοῦ δὲ Λαομέδων ἀναγκασθείς, Ἡσιόνην τὴν θυγατέρα κοσμήσας βασιλικῶς, ὡς πρὸς συνουσίαν τῷ κήτει ἐξέθετο. διερχόμενος δὲ Ἡρακλῆς * μετὰ τοῦ Ἰάσονος μέλλοντος πλεῖν ἐπὶ τὴν Κολχίδα γῆν λαβεῖν τὸ χρυσόμαλλον δέρας, ὃ ὁ δράκων ἐφύλαξε, προσωρμίσθησαν τῇ Ἰλίῳ, ἰδόντες δὲ τὴν Ἡσιόνην ἐν τῷ αἰγιαλῷ δεδεμένην, καὶ μαθόντες τὴν αἰτίαν, ὁ Ἡρακλῆς εἶπε δυνατῶς ἔχειν ῥύσασθαι ταύτην, * καὶ ὑποσχεθεὶς παρὰ Λαομέδοντος ἀθανάτους ἵππους λαβεῖν, οὓς ἐδεδώκει αὐτῷ ἀντίποινα παρὰ τοῦ Διὸς τὸν Γανυμήδην ἁρπάσαντος, ἀδελφὸν ὄντα τοῦ Λαομέδοντος, χωστὸν τεῖχος ποιήσας, καὶ στὰς ὡπλισμένος περὶ τὸ στόμιον, ὡς κεχηνὸς [6] ἐποίει τὸ κῆτος, ἀθρόως τῷ τούτου ἐμπεπήδηκε στόματι. τρισὶ δὲ ἡμέραις ἔνδοθεν κατακόπτων [7] αὐτό, ἐξῆλθεν ἀποβεβληκὼς καὶ τὴν τῆς ἑαυτοῦ κεφαλῆς τρίχωσιν. μὴ δεξάμενος δὲ παρὰ Λαομέδοντος τὰ ὑπεσχημένα, ἓξ ναῦς ἀνδρῶν ἐκ τῆς Ἑλλάδος πληρώσας, παραγεγονὼς πάλιν πορθεῖ τὴν Ἴλιον, Τελαμῶνος πρώτου τὸ τεῖχος ῥήξαντος, καὶ εἰσβάντος, καὶ Λαομέδοντα μετὰ τῶν ἐκείνου υἱῶν ἀνελὼν Ἡρακλῆς, πλὴν Ποδάρκου, τοῦ καὶ Πριάμου καλουμένου, καὶ Ἡσιόνης, τὴν πόλιν πιμπρᾷ. Ἡσιόνην δὲ γέρας δίδωσι Τελαμῶνι, ὡς ἀριστεύσαντι, ἐξ ἧς ὕστερον Τελαμὼν τὸν Τεῦκρον γεννᾷ. τότε δὲ Ἡρακλῆς καὶ τῇ Ἡσιόνῃ χαρίζεται, ὃν ἂν θέλῃ τῶν αἰχμαλώτων ῥύσασθαι· ἡ δὲ τὴν ἑαυτῆς δοῦσα καλύπτραν, τὸν ἀδελφὸν [8] ἑαυτῆς Ποδάρκην ἐπρίατο, ὅθεν ἐκλήθη καὶ Πρίαμος. Ἠμάλαψεν.] ἔκρυψε, κυρίως δὲ τὸ ἐθέρισεν, ἀμάλη γὰρ λέγεται τὸ χειρόβολον τῶν ἀσταχύων. ἀμαλάπτω, ἐξ οὗ καὶ ἠμάλαψε. Κάρχαρος.] ὁ ὀξυόδους κύων, νῦν δὲ τὸ κῆτος. κάρχαρος, ὁ κεχαραγμένους ἔχων τοὺς ὀδόντας, ἤτοι κεχηνότας.

35. Φλοιδούμενος] φλογιζόμενος· γίνεται δὲ ἀπὸ τοῦ [9] φλογὶ οἰδούμενος, φλογοιδούμενος καὶ φλοιδούμενος.

36. Τινθῷ.] τῷ καύσει καὶ χαυρώματι, παρὰ τὸ τίνω, τὸ ἀποδίδωμι, καὶ τὸ θῶ, τὸ τίθημι, τινθὸς καὶ τινθός, καὶ πᾶν χαύρημα, καὶ ἡ γαστήρ, πρὸς ἣν [10] τίνομεν καὶ ἀποτιθέμεθα. Λέβητα.] τὸ κῆτος λέγει, καὶ ἀφλόγους ἐσχάρας, τὴν ἐν σπλάγχνοις ὁμοίαν τοῦ κήτους θέρμην.

EMENDATIONES.

1. Στέφανος Grav. * Τὰ Grav. idque addendum putavit Gerbelius, quod alioqui nesciatur de quo subinferat Canonem. 2 Ἐφέλκουσι ex Grav. pro ἐφελκύουσι. * Ex Grav. 3 Sic lego ex Grav. τὸ μὲν περὶ τῶν Impress. 4 Λέοντα reposui pro λέοντος ex Grav. constructione id exigente. 5 Τούτου, pro τοῦ δ. ex Grav. * Ex Grav. * Ex Grav. & Bar. 6 Ἐποίει reposui ex Bar. quod quidem rectius mihi videtur, quam quod antea ferebatur ἐποιεῖ, & lectionem nostram confirmat Thovorsus in v. Ποσειδῶν. 7 Αὐτὸ potius scribendum videtur cum omnibus MSS quam αὐτὸν cum Impressis. 8 Ἑαυτῆς pro αὐτῆς, ex Grav. 9 Φλογὶ οἰδούμενος reposui pro φλογὸς οἰδούμενος, ex fide utriusque MSS. Gerbelius reponendum putavit φλογῷ. 10 Τίνομεν, pro τίθεμεν, ex Grav.

Σμήριγγας ἐστάλαξε [a] καυδείας πέδῳ	In calido campo, in ollæ focis non ignitis
Ὁ [b] τεκνοῤῥαίστης, λυμεὼν ἐμῆς πάτρας·	Infanticida, patriæ vaftator meæ :
Ὁ δ' δευτέραν τεκοῦσαν ἄτρωτον βαρεῖ	Qui alteræ matri invulnerabili pectus
Τύψας ἀτράκτῳ στέρνον, ἔν τ' αὐλῷ μέσῳ	Gravi vulneravit fagitta, & in ftadio
Πατρὸς παλαιστοῦ χερσὶν ὀχμάσας δέμας,	Patris Luctatoris corpus manibus fuftulit,
Κρόνου παρ' αἰπὺν ὄχθον, ἔνθα γηγενοῦς	Apud altum Saturni collem, ubi terrigenæ
Ἵππων ταρακτὴς ἔστιν [c] Ἰσχένου τάφος·	Equos turbans eft Ifcheui fepulcrum :

VARIANTES LECTIONES.

a Καυδίας Bar. b Τεκνοῤῥαίστης ὁ λυμεὼν Steph. c Quidam legere malunt Δαίου, vide Canteri notas.

37. Σμήριγγας.] τρίχας. παρὰ τὸ * μόρω τὸ * μερίζω μερίσω, μέριγξ καὶ μήριγξ, εἰς πολλὰ γὰρ καὶ λεπτὰ ἐμερίσθησαν αἱ τρίχες, καὶ πλεονασμῷ τοῦ σ σμήριγξ. Καυδείας.] ὁ κεφαλὴ, παρὰ τὸ κεῖσθαι ἐν αὐτῇ τὰ δέοντα· τὸ γὰρ λογιστικὸν ἐν αὐτῇ, κἂν ἕτεροι περὶ τὴν καρδίαν φασὶν· ἢ τῷ λέγεται καύδεια, ἢ ἀπὸ ὁμοιότητος τῆς καυδείας βοτάνης, ἥτις καυδεία λέγεται, ὅτι καύματι καὶ ὕπνῳ δέει τοὺς ταύτην φαγόντας, ὑπνωτικὸν γὰρ τὸ φυτόν. Πέδῳ.] νῦν ἐν τῇ γαστρὶ τοῦ κήτους.

38. Ὁ τεκνοῤῥαίστης.] Ἡρακλῆς. μετὰ τὸ Κερβέρου ἀναγωγὴν ἐς [1] Θήβας ἐλθὼν, Λύκον Θηβῶν βασιλεύοντα, καὶ βιαζόμενον Μεγάραν τὴν Κρέοντος θυγατέρα, γυναῖκα δὲ Ἡρακλέους, ὁ Ἡρακλῆς τοξεύσας * τὸν βασιλέα ἀνεῖλε. μανίᾳ δὲ διὰ τοῦτον συσχεθεὶς τῆς Ἥρας ὀργῇ, καὶ τὴν ἰδίαν γυναῖκα ταύτην Μεγάραν, καὶ τοὺς τέσσαρας παῖδας αὐτοῦ τοξεύσας ἀνεῖλεν, Ὀνίτην, Θηρίμαχον, Δηικόωντα, καὶ Κρεοντιάδην, ὁ δὲ Πίνδαρος ὀκτὼ λέγει παῖδας Μεγάρας καὶ Ἡρακλέους, τοὺς ἀναιρεθέντας αὐτῷ· ἕτεροι καὶ δύο υἱοὺς Ἰφικλέους τοῦ ἀδελφοῦ, σὺν τοῖς τῆς Μεγάρας παισὶ λέγουσιν ἀνελεῖν. Λυμεών.] ἤτοι φθορεὺς καὶ πορθητής. ἐῤῥέθη δὲ πάτρας [2] Ἰωνικῶς.

39. Δευτέραν τεκοῦσαν.] τὴν Ἥραν, ἣ ὡς μητρυιὰν αὐτοῦ, γυνὴ γὰρ ἦν τοῦ Διός. ἢ ὅτι αὐτὸν ἐθήλασεν, ὄντα παιδίον διὰ τοῦ κόλπου ἐγκαμφθὲν, πεισθεῖσα τῇ Ἀθηνᾷ. Ἄλλως. δευτέραν τεκοῦσαν τὴν Ἥραν λέγει, ὅ ὅτι αὐτὸν διὰ τοῦ κόλπου ἐξήνεγκεν, ὡς τίκτουσα καὶ τεκνοποιουμένη, καὶ ὅτε αὐτὸν ἐθήλασε πεισθεῖσα τῇ Ἀθηνᾷ, ἐλύπησεν αὐτήν. ἢ ὡς μητρυιὰν αὐτοῦ, γυνὴ γὰρ ἦν τοῦ Διὸς, ὅθεν αὐτῷ ὀνειδίζει, ὡς μὴ φεισαμένῳ τοῦ θηλαμόνος. καὶ Ὅμηρος·

> Τλῆ δ' Ἥρη, ὅτε μιν κρατερὸς παῖς Ἀμφιτρύωνος
> Δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι
> 3 Βεβλήκει, τότε καί μιν ἀνήκεστον λάβεν ἄλγος.

Ἄτρωτον.] τὴν Ἥραν ὡς θεὰν, μὴ τιτρωσκομένην· ὅτε γὰρ Ἡρακλῆς ἐπολέμει τῇ 4 Πύλῳ καὶ τῷ πατρὶ Νέστορος Νηλεῖ, διὰ τὸ μὴ καθᾶραι αὐτὸν τοῦ φόνου Ἰφίτου, συμμαχοῦσαν καὶ τὴν Ἥραν Νηλεῖ κατὰ τὸν δεξιὸν τοξεύει μαζὸν ὀϊστῷ τριγλώχινι, καθά φησιν Ὅμηρος. τοῦτο δὲ ἐν μὲν Ὁμήρῳ καλλίστως ἀλληγορούμενον πέφυκε, νῦν δὲ παιδιῶδες κεῖται καὶ μυθικόν. Βαρεῖ ἀτράκτῳ.] δεινῷ βέλει.

40. Στέρνον.] τὸ στῆθος, παρὰ τὸ στεῤῥὸν τοῦ νοῦ εἶναι ἐνταῦθα. ἐκεῖ γὰρ ἡ καρδία καὶ τὸ ζωτικὸν, ὅθεν ὁ νοῦς τὰς δυνάμεις ἀρύεται. Ἔν τ' αὐλῷ μέσῳ.] ἐν μέσῳ τε τῷ διαύλῳ καὶ τῷ σταδίῳ.

41. Πατρὸς παλαιστοῦ.] Ἡρακλῆς καταπολεμήσας Αὐγείαν τὸν βασιλέα τῆς Ἤλιδος. Ἦλιν δὲ παῖδα καὶ Ἰφικλέος, διὰ τὸ μὴ λαβεῖν τὸν μισθὸν τὸν ὑπὲρ καθάρσεως τοῦ κόπρου τῶν βοῶν, καὶ τὴν Ἦλιν πορθήσας, ἐκ τῶν λαφύρων ἐκεῖσε ἀγῶνα τῷ Ὀλυμπίῳ Διῒ συνεστήσατο, καὶ Ὀλύμπιον τοῦτον ἐκάλεσεν, ἐτελεῖτο δὲ ὁ ἀγὼν, κατὰ πενταετηρίδα, ἢ τὸ σαφέστερον φάναι, κατὰ μῆνας πεντήκοντα. ἠγωνίζοντο δὲ οἱ ἀθληταὶ πένταθλον, καὶ ἐτίθεσαν ἄθλους· ὁ δὲ πένταθλος ἦν, πυγμὴ, δρόμος, δίαλμα, δίσκος, καὶ πάλη. ἐν τῇ καταρχῇ δὲ καὶ τῷ τεθέντι πρώτῳ ἀγῶνι, Ἡρακλῆς προσεκαλεῖτο εἰς πάλην τὸν βουλόμενον, οὐδενὸς δὲ τολμήσαντος, ὁ Ζεὺς παλαιστῇ εἰκασθεὶς, συνέμιξεν Ἡρακλεῖ, καὶ μάχει πολλῆς τῆς πάλης ἰσοπαλοῦς γενομένης, ὁ Ζεὺς φανεροῖ ἑαυτὸν τῷ παιδί. τὰ δὲ Ὀλύμπια πέντε ἡμέρας ἐτελεῖτο, ἀπὸ ια' τῆς Σελήνης μέχρι ὅλης ιε'. προεγυμνάζοντο δὲ πρότερον, ἡμέρας λ'. Ὀχμάσας.] ἐπιπιέσας, κρατήσας, ἐκ τοῦ ὄχος, καὶ πλεονασμῷ ὀχμὸς, καὶ ἐξ αὐτοῦ ὀχμάζω, τὸ ἐπίκειμαι. Δέμας.] τὸ ζῶν σῶμα, παρὰ τὸ διδόναι καὶ συνεστηκέναι. δέμας τὸ τεθνηκὸς, παρὰ τὸ δαμῶ, τὸ δαμάζω, τὸ δαμασθὲν καὶ λυθέν. καὶ σῶμα τὸ ζῶν, παρὰ τὸ σῶον εἶναι. σῶμα τὸ τεθνηκὸς, παρὰ τὸ σημεῖον εἶναι τοῦ ποτε ζῶντος. οἱ δὲ λέγοντες διαφέρειν σῶμα καὶ δέμας, ληροῦσιν.

42. 43. Κρόνου ὄχθον.] [5] ἡ Ὀλυμπία, πρῶτον γὰρ Κρόνιος λόφος ἐλέγετο. Γηγενοῦς.] τοῦ Γίγαντος· Ἑρμοῦ καὶ Ἱερείας υἱὸς Γίγας, Γίγαντος δὲ υἱὸς Ἴσχενος. λιμοῦ δὲ γεγονότος, ἐδόθη χρησμὸς, μὴ ἂν ἄλλως λυθῆναι τὸν λιμὸν, εἰ μὴ τῶν εὐγενῶν τυθῇ τις· πάντων τοίνυν ἀπαρνουμένων, ἠθέλησεν ὁ Ἴσχενος τυθῆναι. οὗ καὶ τυθέντος, ὁ τάφος δείκνυται περὶ τὸν καλούμενον Κρόνιον λόφον, πλησίον τοῦ καμπτῆρος τῆς Ὀλυμπίας. καὶ τιμαῖς πλείσταις αὐτὸν ἐτίμων, καθ' ἣν ἡμέραν ἐτύθη, καὶ ἀγῶνας συνίστων. λέγουσι δὲ αὐτὸν Ταράξιππον, ἐπειδὴ ἔστι ταράσσων καὶ θορυβῶν τοὺς ἵππους ἀγωνιζομένους, ἢ ἀέρι τινὶ καὶ [6] αἰόλῳ δυνάμει, ἢ δάφνης ἑστώσης περὶ τὸν τάφον, καὶ [7] σειομένων τῶν φύλλων αὐτῆς ταράσσεσθαι τοὺς ἵππους τῇ σκιᾷ τῶν φύλλων. καλοῦσι δὲ αὐτὸν Ταράξιππον, ἐπειδὴ οἱ ἀγωνιζόμενοι ἵπποι, ὅταν φθάνωσι ἐκεῖσε, ταράσσονται.

EMENDATIONES.

* Ex Grav. [1] Ita hunc locum emendavi ex fide Phavorini & omnibus MSS. prius autem fcriptum fuit ἐς Θήβας ἐλθὼν εἰς Λύκον Θηβῶν βασιλεύοντα, ἢ τὸν βασιλέα γυναῖκα βιαζόμενον &c. * Τὸν βασιλέα recte abeft ex Grav. [2] Ἰωνικῶς pro Ἰωνικοῦ ex Seld. [3] Ita reftitui locum hunc ex Homero, qui prius corrupte fcriptus erat. Βέβληκε τότε καί μιν ἀνήκεστον ἄλγος ἴσχεν. [4] Πύλῳ, pro πύλῃ, ex Grav. [5] Ἡ Ὀλυμπία repofui pro ὁ Ὀλυμπος, & paulo poft τῆς Ὀλυμπίας pro τοῦ Ὀλύμπου ex omnibus MSS. [6] Αἰόλῳ, pro ἄλλῳ, ope Grav. [7] Ex Grav. σειομένων αὐτῆς Impreffi.

Ὃ [a] τὸν θαλάττης Αὐσονίτιδος μυχοὺς	Qui maris Italici ſpecus
Στενοὺς [b] ὀπιπεύουσαν ἀγρίαν κύνα	Anguſtos obſervantem ſævam canem,
Κρημνῶν ὕπερ σπήλυγγος ἰχθυωμένην,	Supra ſcopulum piſcantem leænam,
[c] Ταυροσφάγον λέαιναν, ἣν αὖθις πατὴρ	Tauros mactantem occidit: quam rurſum pater,
Σάρκας καταίθων [d] λοφνίσιν [e] δομήσατο,	Corpore lampadibus combuſto, reſuſcitavit,
[f] Λέπτυνιν οὐ τρέμουσαν, [g] οὐδαίαν θεάν	Non timentem Proſerpinam, infernam deam:
Ἐξηνάριξεν ὅν ποτ' ἀξίφῳ δόλῳ	Quem quondam dolo necavit inermi

VARIANTES LECTIONES.

a Τοῦ Bar. aliique. b Ὀπιπλεύουσα Seld. c Al. Ταυροσφάγον d Al. λοφνίσι ſine ν finali, repugnante metro. e Al. δωμήσατο Seld. δωμήσατο quidem habet Bar. ſed iſti primæ ο ſuperſcribitur ω. eadem, ut videtur, mano; quod rurſum in Scholiis factum. f Verſum hunc non agnoſcit Seld. g Οὐδαίαν θεὸν Bar. alii etiam θεὸν habent.

44. Αὐσονίτιδος.] Ἰταλικῆς, ἀπὸ Αὔσονος τοῦ Ὀδυσσέως καὶ Κίρκης παιδός, ἄλλοι δὲ ἀφ' ἑτέρου Αὔσονος εἶπον. Αὐσονία δὲ κυρίως, ὡς Δίων γράφει [1] Κοκκειανὸς, ἡ τῶν Αὐρουγκανῶν γῆ μόνη λέγεται, μέσῳ Καμπανῶν καὶ Οὐολσκῶν παρὰ θάλασσαν κειμένη. συχνοὶ δὲ καὶ μέχρι τοῦ Λατίου Αὐσονίαν εἶναι ἐνόμισαν, ὥς τε καὶ πᾶσαν Ἰταλίαν ἀπ' αὐτῆς. [2] οἱ δὲ τραγικοὶ ἡμᾶς τοὺς Γραικοὺς Ἕλληνας Αὔσονας λέγοντες, αὐθεντικῇ ἀδείᾳ, καὶ ἡ ποιητικὴ τοῦτο ποιοῦσι. Μυχούς.] παρὰ τὸ μύω, τὸ κρύπτω.

45. Ὀπιπεύουσαν.] ἐπιτηρεύουσαν, βλέπουσαν· ἐκ τοῦ ὄπτω, τὸ βλέπω, παραγωγῶς ὀπιπεύω, καὶ Ἀττικῇ αὐξήσει ὀπιπεύω. Ἀγρίαν κύνα.] [3] τὴν Σκύλλαν θυγατέρα Φόρκυνος θαλασσίου, καταδύουσαν τινὰς τῶν παραπλεόντων τὸ Σικελικὸν πέλαγος. καὶ δὴ καὶ Ἡρακλῆς τὰς Γηρυονέως βοῦς ἐλαύνων ἐξ Ἐρυθείας, ὡς ἔμελλε περᾶν κατὰ τὸν πορθμὸν, τὸν μεταξὺ Ἰταλίας καὶ Σικελίας, ἁρπάσασα τῶν ταύρων τινὰς ἡ ῥηθεῖσα Σκύλλα, καὶ ἀνῃλώσατο, καὶ αὐτὴ ὑφ' Ἡρακλέους ἀναιρεῖται. ὕστερον δὲ καὶ πάλιν ὁ ταύτης πατὴρ Φόρκυς, καύσας καὶ ἀφεψήσας λαμπάσιν, ἐζωοποίησεν. ἣν δὲ, ὡς φασὶ, πρότερον ἡ Σκύλλα γυνὴ ἀξιέραστος, Ποσειδῶνι δὲ συνοῦσα, Ἀμφιτρίτης ζηλοτυπησάσης, καὶ φάρμακα ἐμβαλούσης τῇ πηγῇ, ἐφ' ἣ εἰώθει λούεσθαι, ἀπεθηριώθη. Λέαιναν δὲ αὐτὴν εἶπε, διὰ τὸ φοβερόν. Ταῦτα μὲν τὰ μυθώδη, τὸ δ' ἀληθὲς οὕτως ἔχει· ἡ Σκύλλα περὶ τὸ Ῥήγιον τῆς Σικελίας ἐστὶν ἀκρωτήριον, ἐξέχον εἰς θάλασσαν, ὃ κάτωθεν πέτρας πολλὰς καὶ μεγάλας, ἔχουσι κοίλους τόπους καὶ σπήλαια, ἐν οἷς κρυπτόμενα θηρία θαλάσσια, τῶν δὲ πλοίων ἐν ταῖς πέτραις ἀκοντιζομένων ἐκ τοῦ τῆς Χαρύβδεως ὕδατος καὶ [4] συγκλωμένων, τοὺς ἄνδρας ἐσθίουσιν· ἡ Χάρυβδις δὲ καὶ ἡ Σκύλλα πλησίον εἰσίν· ἡ μὲν γὰρ Χάρυβδις περὶ Μεσσήνην ἐστὶν, ἡ δὲ Σκύλλα περὶ τὸ Ῥήγιον, ὡς ἔφην. τὸ δὲ Ῥήγιον Ἰόκαστος ἔκτισεν, [5] ὁ Αἰόλου, ὥς φησι Καλλίμαχος·

Ῥήγιον ἄστυ λιπὼν Ἰοκάστου Αἰολίδαο.

Ἡρακλῆς οὖν σοφώτατος ὢν, καὶ στρατηγικὸς, ὡς περιπλέων τούτους τοὺς τόπους μετὰ τῶν Γηρυόνου βοῶν, ἀπώλεσεν αὐτόθι τινὰς ἐξ αὐτῶν, καὶ ἀνεκάθαιρε τὸν τόπον τοῖς μηχαναῖς, ὅθεν ἐμυθεύσαντο τὴν Σκύλλαν αὐτὸν ἀνελεῖν· Φόρκυς δὲ, ἤτοι ἡ θάλασσα, ὁ ταύτης πατὴρ (ἡ γὰρ θάλασσα δυσχερῆ ταύτην ἐποίει) λαμπάσι πάλιν αὐτὴν ἀνεζώωσεν· ἤγουν ἥλιος κινήσας, ἢ χρόνοις πάλιν τῶν ὑφ' Ἡρακλέους ἀνακαθαρθέντων, καὶ τὸ μηχάνημα ἡ θάλασσα χώσασα, μετέστρεψε ταύτην εἰς τὴν ἀρχαίαν δυσχέρειαν.

46. Σπήλυγξ.] σπήλαιον· ἐτυμολογεῖται δὲ σπήλαιον, [6] παρὰ τὸ ἐσπασμένους τοὺς λάας εἶναι, καὶ ὑποκοριστικὸν σπήλυγξ, ἡ ἐσπασμένη λᾶιξ, [7] ἤτοι λίθος· ὅθεν καὶ ἄμεινον γράφεσθαι διὰ τοῦ ἰῶτα, ἔστι δὲ τὸ δίχρονον εἰς δίχρονον, διὰ τοῦ υ σπήλυγξ γράφεται. Ἰχθυωμένην.] ἰχθύας κρατοῦσαν [*] καὶ ἀγρεύουσαν. [*] ἢ δίκην ἰχθύος πλέουσαν, μυθικῶς γὰρ τὰ Λυκόφρονος νοεῖται.

47. Ταυροσφάγον.] ὡς φαγοῦσαν ἐκ τῶν Γηρυονείων ταύρων, αὐτὴν εἶπε λέαιναν, διὰ τὸ φονικόν. ταυροσφάγον δὲ, καὶ οὐ ταυροφάγον [*] διὰ τὸ μέτρον, ἢ Ἰωνικῶς, [*] οἱ γὰρ Ἴωνες ἔσθ' ὅτε μετὰ τοῦ σ λέγουσι, Θεόσδοτος, καὶ Θεόσδοτος, καὶ τὰ ὅμοια· οἱ Ἀττικοὶ δὲ ἀποβάλλουσι τὸ σ. κοινῶς δὲ ταυροσφάγος λέγεται, ὁ [8] σφάττων ταύρους. ταυροφάγος δὲ, ὁ τρώγων [9] ταύρους.

48. Σάρκας καταίθων ἐξέζεσε. Λοφνίς.] ἡ μεγάλη λαμπὰς, [10] λοφνίς τις οὖσα, ἡ λίαν, τουτέστι μεγάλως, φαίνουσα, καὶ συγκοπῇ λοφνίς. Δομήσατο.] ἐσχηματισμένη ἡ λέξις, ἀπὸ τῶν τεκτόνων καὶ δομητόρων, ἀντὶ τοῦ ἀνεζώωσεν, ἀνήγειρεν. τὸ δὲ δομήσατο, ἐμοὶ μικρὸν ἀρέσκει γράφειν, τὸ γὰρ μ ἐκτείνει αὐτὸ, ὡς τὸ φιλομμειδὴς Ἀφροδίτη· κἂν κακεῖ τινες ἐδιπλασίασαν τὸ μ, διὰ τὸ μὴ ἀκριβῶς εἰδέναι τὰ μέτρα. εἰ δὲ μέγα τις οὕτω γράφει, κἂν ἀγνοῇ, μανθανέτω, ὅτι Ἀττικῇ ἐκτάσει γράφει μέγα, ὡς τὸ δώτης, πώτης, καὶ τὰ ὅμοια.

49. Λέπτυνιν.] ἢ τὴν ψυχὴν, παρὰ τὸ λελεπτυσμένην καὶ ἀραιὰν εἶναι, λέγω δὲ τὴν Σκύλλαν αὐτὴν, ἀπὸ μέρους τὸ πᾶν· ἢ Λέπτυνιν, τὴν Περσεφόνην, ἤτοι τὴν μοῖραν, καὶ τὸν θάνατον, παρὰ τὸ λεπτύνειν καὶ κόνιν ποιεῖν τὰ σώματα τῶν ἀποθνησκόντων. ἀνέστησε δὲ Φόρκυς τὴν μὴ φοβουμένην ἔτι τὴν Περσεφόνην. Οὐδαίαν θεόν.] τὴν [11] Περσεφόνην.

50. 51. Ὃν ποτὲ ἐξηνάριξεν [12] Ἡρακλέος ὁ νέκυς, ὁ Νέσσος, δεξιούμενος καὶ φιλοποιούμενος πάλαι τὸν ἆθλον, διὰ τὸν θάνατον δώσων τοῦ Ἡρακλέος. ἢ [13] δεξιούμενον, ἵν' ᾖ ἀνεῖλεν ὁ νεκρὸς Νέσσος τὸν Ἡρακλέα, τὸν δεξιούμενον, καὶ φίλον ὄντα πάλαι τὸν ἆθλον, ὅτε κατῆλθεν ἀνάξαι τὸν Κέρβερον. Ἡ δὲ

EMENDATIONES.

1 Κοκκειανὸς repoſui ex Seld. pro Κοκιανὸς, idque ita prius reſtituerat Gorbolius. 2 Οἱ δὲ ἡμᾶς τοὺς Γραικοὺς Αὔσονας λέγοντες Ἕλληνας Bar. Οἱ δὲ ἡμᾶς τοὺς Γραικοὺς Ἕλληνας Αὔσονας λέγοντες Seld. οἱ δὲ καὶ ἡμᾶς τοὺς Γραικοὺς τραγικῶν Ἕλληνας Αὔσονας λέγοντες Grav. Οἱ δὲ καὶ ἡμᾶς τοὺς Γραικοὺς τραγικῶν Ἕλληνας Αὔσονας λέγοντες Impreſſi Codd. 3 Τὴν Σκύλλαν φασὶ legunt Impreſſi Codd. Ego φασὶ expunxi, ex fide Seld. ut omnino ſupervacuum; niſi forte ſic legere mavis, cum Bar. τὴν Σκύλλαν λέγει φασὶ δὲ &c. 4 Συγκλωμένων, pro συγκλειομένων, ex omnibus MSS. 5 Ὁ Αἰόλου repoſui ex Seld. pro Αἰόλου, ut conſtructio fieret manifeſtior. 6 Id repoſui ex Bar. & Grav. pro παρὰ τὸ ἐσπασμένους λάας εἶναι. 7 Ἤτοι, pro ἤτε, ex omnibus MSS. [*] Ex Bar. hoc additum eſt. [*] Ex Grav. 8 Impreſſi Codd. habent σφάγων, Ego mutato accentu legiſſem σφαγὼν, ſi non omnes MSS. habuiſſent σφάττων. 9 Illa prius indiſtinctè ſcripta erant, ταύρους, σάρκας &c. 10 Λοφνίς pro λοφνίς, ex Grav. & Phavorino, qui cum paullo poſt μεγάλη pro μεγάλα habent, hinc emendandus eſt 11 Et hæc prius indiſtincta legebantur. 12 Ἡρακλέα habet Bar. quæ lectio potior mihi videtur. 13 Δεξιούμενον pro δεξιούμενος, ex Seld. & Grav.

Νέκυς, τὸν ᾅδην [a] δεξιούμενον πάλαι. — Mortuus, Orco dudum salutato.

[b] Λεύσσω σε, τλῆμον, δεύτερον πυρουμένην, — Video te, misera, secundò comburi

Ταῖς τ' [c] Αἰακείοις χερσί, τοῖς τε Ταντάλου — Æacidinis manibus, & Pelopis

[d] Λαίτρωνα οἰκουροῦσι λειψάνοις πυρὸς — A flamma devorati

VARIANTES LECTIONES.

a Δεξιούμενος πάλαι Bar. al. Δεξιούμενον πάλιν. b Λεύσω Bar aliique. c Αἰακίοισι Bar. eandemque lectionem servat in *Scholiis*, ubi *Sold.* etiam legit Αἰακίοις. sed isti α superscriptam habet ι. d Λαίτρωνα Bar. Λίτρωναν Sold. quas lectiones in *Scholiis* etiam tuetur uterque.

περί. τοῦ Νέσσου ἱστορία τοιαύτη· Ἡρακλῆς Ἀχελῶον καταπαλαίσας ἐν Καλυδῶνι, καὶ τὸ δεξιὸν αὐτοῦ θραύσας κέρας, καὶ δοὺς πάλιν τοῦτο αὐτῷ, ἔλαβε παρ' αὐτοῦ τὸ τῆς Ἀμαλθείας κέρας, τῆς [1] Ἀρμονίου θυγατρὸς, καὶ Δηϊάνειραν τὴν Οἰνέως ἀντ' Ἀχελώου λαμβάνει γυναῖκα· τελουμένων δὲ τῶν γάμων, ἕνα τῶν συγγενῶν Οἰνέως Εὔνομον, τὸν Ἀρχιτέλους, πλήξας [2] κονδύλῳ, ἀναιρεῖ παροινήσας, κατὰ χειρὸς αὐτὸν φιλικῶς πλήξαντα, φυγεῖν δὲ εἵλετο εἰς Τραχῖνα, πρὸς Κήϋκα· διαπορευόμενος δὲ περὶ τὸν [3] Εὔηνον ποταμὸν, τῷ Νέσσῳ κενταύρῳ περιέτυχεν αὐτοὺς διαπορθμεύοντι· ὡς δὲ ἐν τῷ διαπορθμεύειν ὁ Νέσσος καὶ τὴν Δηϊάνειραν, ἐπιχειρεῖ βιάζειν αὐτὴν, τοξεύεται ὑπὸ τοῦ Ἡρακλέος. εἰδὼς δὲ ὅτι τελευτᾷ (ἄφυκτα γὰρ τὰ βέλη τοῦ Ἡρακλέος, ὡς κεχρισμένα τῷ τῆς Ὕδρας ἰῷ) βαλὼν εἰς ἀγγεῖον τὸ καταρρέον ἐκ τοῦ τραύματος αἷμα, δίδωσι τῇ Δηϊανείρᾳ, ἀπατήσας αὐτὴν, καὶ εἰπών· Ὅτι ἐγὼ μὲν διὰ σὲ τελευτῶ, τοῦτο δέ σοι χαρίζομαι, φίλτρον ἐπιπᾶσθαι δυνάμενον· [4] εἴπερ γὰρ Ἡρακλέα νοήσεις ἑτέρας πόθῳ κατασχεθέντα, ἐπιχρίσεις τούτῳ αὐτοῦ τὰ ἱμάτια, καὶ πρός σε πάλιν ἀντιστρέψει τὸν πόθον. Τοῦτο τὸ αἷμα ἡ Δηϊάνειρα ἔχουσα, ὡς ὕστερον ἤκουσεν Ἡρακλέα τὴν Οἰχαλίαν πορθήσαντα, καὶ τὴν Εὐρύτου θυγατέρα Ἰόλην καλλίστην οὖσαν ἄγοντα, καὶ αὐτῆς κρατηθέντα τῷ ἔρωτι, ἐπιχρίσασα τούτῳ τῷ αἵματι τὰ τοῦ Ἡρακλέος ἱμάτια, μετὰ τοῦ θεράποντος Λίχα ταῦτα ἀπέστειλεν· περὶ δὲ τὸ Κήναιον, Εὐβοίας ὂν ἀκρωτήριον, θύων ὁ Ἡρακλῆς Διὶ χαριστήρια, στολίζεται τὸν πεφαρμαγμένον τοῦτον χιτῶνα, ὑφ' οὗ καὶ [5] κνησμῷ κρατηθεὶς πυρώδει καὶ δριμυτάτῳ, τελευτᾷ, [6] ἐν τῷ πλησίον ποταμῷ, ἐξ οὗ γεγόνασιν αἱ θερμοπύλαι, πρότερον ἀπὸ τῆς πέτρας τὸν Λίχαν ῥίψας, καὶ ἀπελθὼν ἐν τῷ πλησίον ποταμῷ. τὰ δὲ τόξα αὐτοῦ Ἡρακλῆς τῷ Φιλοκτήτῃ καταλιμπάνει, ὡς τοῦ πατρὸς Φιλοκτήτου Ποίαντος τῇ τελευτῇ αὐτοῦ ὑπουργήσαντος. τὰ δὲ τόξα ταῦτα, ὡς ὁ Λυκόφρων οὕτως φησὶ, παρὰ Τευτάρου Σκύθου, * τοῦ * βουκόλου τοῦ Ἀμφιτρύωνος, ἔσχηκεν Ἡρακλῆς, ὅστις Τεύταρος καὶ τοξεύειν τοῦτον ἐδίδαξεν. ἄλλοι δὲ Εὔρυτον φασὶ τοῦτον διδάξαι τὴν τοξικὴν, οἱ δὲ Ῥαδάμανθυν τὸν Κρῆτα, πατρῷον ἐκείνου γενόμενον· μετὰ γὰρ θάνατον Ἀμφιτρύωνος Ῥαδάμανθυς ἀνελὼν ἴδιον ἀδελφὸν, φυγὼν ἐκ Κρήτης, καὶ [7] ἐν Ὠκαλέᾳ τῆς Βοιωτίας ἐλθὼν, γαμεῖ τὴν Ἀλκμήνην, καὶ [8] Ἡρακλῆ διδάσκει τὴν τοξικήν. * Τὸν ᾅδην δεξιούμενον πάλαι.] ὁ Ἄδμητος εἶχε γυναῖκα Ἐρίβοιαν, ἣν καὶ συνέβη τελευτῆσαι, καὶ κατὰ τὸν καιρὸν τῆς τελευτῆς ἐξενοδοχήθη Ἡρακλῆς παρὰ τοῦ Ἀδμήτου, μὴ μαθὼν τὴν τελευτὴν τῆς εἰρημένης, καὶ παιανίζειν ἀρξάμενος, μία τῶν δούλων προσελθοῦσα αὐτῷ, καὶ εἶπε τὸ γεγονός· σὺ δὲ εἰπόντος, τί γελᾷ πλεῖς; καὶ μαθὼν, ἐκάθισεν ἐπὶ τοῦ μνήματος, καὶ ἐξελθόντος τοῦ Ἅδου ἅψασθαι θυσιῶν, ἐκράτησεν αὐτὸν σφοδρῶς, μέχρις ἂν τὴν γυναῖκα ἀπέδωκε. * [9] φησὶ γοῦν ὅτι ἀξίφῳ δόλῳ, ὅτε τῷ φαρμάκῳ τῆς Ὕδρας, ἀνεῖλεν ὁ Νέσσος τὸν Ἡρακλῆ, τὸν πάλαι χειρωσάμενον τὸν Ἅδην, * ὡς * καὶ Ὅμηρος·

Τλῆ δ' Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστόν.

52. Λεύσσω σε τλῆμον δεύτερον πυρουμένην] πρώτην μὲν γὰρ ὑφ' Ἡρακλέος πορθηθεῖσα, πυρὶ [10] παρεδόθης, καὶ νῦν μέλλεις καυθῆναι ταῖς Αἰακείαις χερσὶν, ἤτοι τοῦ Ἐπειοῦ, ἢ Νεοπτολέμου, Αἰακοῦ γὰρ δεύτεροι ἔκγονοι καὶ ἀμφότεροι, ὡς μαθήσῃ. τούτοις οὖν, φησὶ, μέλλεις καυθῆναι, καὶ τοῖς ὀστέοις τοῦ Πέλοπος, τοῖς κειμένοις περὶ τὴν Λαίτρωναν, πόλιν Ἤλιδος. ὁ δὲ Πέλοψ υἱὸς Ταντάλου καὶ Εὐρυανάσσης τῆς Πακτωλοῦ. τὰς δὲ συντάξεις οὐ δεῖ γράφειν, ἀλλὰ διὰ γράμματα ἄλφα, καὶ βῆτα, καὶ λοιπὰ, [11] ταύτας διαχωρίζειν· μᾶλλον δὲ μόνας ἐκείνας τὰς προσεννοουμένας, καὶ δυνάς.

53. Αἰακείοις χερσίν.] Αἰακοῦ καὶ Ἐνδηΐδος, Πηλεὺς καὶ Τελαμών· ἐκ Ψαμάθης δὲ τῆς Νηρηΐδος, Φῶκος. Πηλέως καὶ Θέτιδος, Ἀχιλλεύς. Ἀχιλλέως καὶ Δηϊδαμείας τῆς Λυκομήδους θυγατρὸς, Πύρρος, ὁ καὶ Νεοπτόλεμος. Τελαμῶνος δὲ καὶ [12] Περιβοίας, Αἴας· ἐκ δ' Ἡσιόνης, Τεῦκρος. Αἴαντος καὶ Λυσιδίκης τῆς Κορώνου, Φίλαιος· ἐκ Τεκμήσσης δὲ τῆς αἰχμαλωτίδος, Εὐρυσάκης. Φώκου πάλιν καὶ Ἀστερίας, Κρῖσος καὶ Πανοπεύς. Πανοπέως δὲ, ὁ Ἐπειὸς, ὁ τὸν Δούρειον ἵππον κατασκευάσας, δι' οὗ καὶ τὸ Ἴλιον ἐπορθήθη. * Ἀλλ' εἴπερ ὁ Τζέτζης θελήσω γράφειν τὰς ἱστορίας πλατείας, καὶ τοὺς ἀκροατὰς ἀντὶ σαφηνείας μᾶλλον θολώσω, καὶ βιβλιοθήκας ἂν Πτολεμαίου ἐν χρείᾳ γενοίμεθ', ὡς ἐναποθεῖναι τὰ γραφησόμενα· καὶ τὸ μεῖζον, καὶ δυσχερέστερον πάντων, καὶ τὸ ἡμέτερον πόνημα, οὐχ ὡς ἡμέτερον δόξει, ἀλλ' ὡς Λυκόφρονος σχόλια. ὅθεν τὸ κατὰ τὸ δυνατὸν συντεμόντες τὰ λοιπὰ διεξέλθωμεν * * Αἰακείοις χερσίν.] * ταῖς τοῦ Νεοπτολέμου χερσὶ, καὶ τοῦ Ἐπειοῦ διὰ τὸν Δούρειον ἵππον. κατάγει δὲ τὸ γένος Ἐπειὸς ἀπὸ Αἰακοῦ. Ταντάλου παιδὸς.] τοῦ υἱοῦ τοῦ Ταντάλου, Πέλοπος.

54. Λαίτρωναν οἰκουροῦσι.] τοῖς κειμένοις ὀστοῖς περὶ τὴν Λαίτρωναν ἔστι δὲ ἡ Λαίτρωνα πόλις Ἤλιδος, ἔγκειται δ' ἐν ταύτῃ τὰ τοῦ Πέλοπος ὀστᾶ, ἃ ἐδήλου ὁ χρησμὸς ὑποκομίσαι· καὶ τὰ Ἡρακλέους τόξα, ἅπερ Φιλοκτήτης εἶχε, εἰς τὴν Ἑλλάδα, καὶ Νεοπτόλεμον τὸν Ἀχιλλέως υἱόν. εἰ μὴ γὰρ οὕτω γένηται, οὐκ ἂν πορθηθείη τὸ Ἴλιον. Λειψάνοις πυρός.] ἅπερ κατέλειπε τὸ πῦρ ὀστᾶ, λείψανα λέγεται πυρός.

EMENDATIONES.

1 Ἁρμονίου *Sold.* Ἀρμονίου *Bar.* & *Grav.* Cæterum quidam Amalthæam aiunt filiam fuisse Hermonii, quidam Hæmonii Ætolorum regis. 2 Κονδύλῳ ex *Sold.* κονδύλῳ *Bar.* κορδύλῳ *Impressi*. 3 Εὔηνον pro Εὔνοον, ex omnibus *MSS.* Non enim Evoum. sed Evenum, Ætoliæ fluvium Nessi opera trajecit Hercules. *Lucanus*,

Et Meleagream maculatus sanguine Nessi
Evenus Calydona secat ———

4 Sic lego ex *Grav.* εἴπερ Ἡρακλέα νοήσεις *Impressi*: sed νοήσεις habent etiam uterque *Bar.* & *Sold.* 5 Κνησμῷ, ex omnibus *MSS.* pro κνισμῷ. 6 ἐν τῷ πλησίον ποταμῷ. ἐξ οὗ γεγόνασιν αἱ θερμοπύλαι in omnibus *MSS.* Codd. deest. & *Thavorino*, & quidem, ut mihi videtur, deesse debet. * Ex *Grav.* 7 ἐν Ὠκαλίᾳ *Bar.* & *Grav.* ἐν Ὠκαλέᾳ *Sold.* 8 Ἡρακλῆ, pro Ἡρακλεῖ, ex *Sold.* * Hæc hoc loco inserui ex *Bar.* & *Grav.* quæ *Euripides* latissime descripsit in *Alceslide*, tragœdiâ dicta ab Admeti uxore, quam non Eribœam, sed Alcestidem appellat. 9 Φησὶ γοῦν, pro φασὶν γὰρ, ex *Sold.* * Ex *Grav.* 10 Παρεδόθης reposui ex *Sold.* παρεδόθη *Bar.* & *Grav.* παρέδωκε *Impressi* Codd. 11 Ταύτας, pro ταῦτα, ex *Grav.* 12 Ἐριβοίας *Bar.* & *Grav.* Περιβοίας *Sold.* Et quidem Ajacis mater Ἐρίβοια dicitur ab Hygino fab. XCVII. Homeri Scholiaste Il. ζ. 14. & ipso Isaac. Tzetze alibi. Quin & eadem Περίβοια appellatur. vid. Apollodorus lib. III. & Pausanias Atticis. * Hæc inserui ex *Sold.* & sane non ovum ovo similius, quam hæc Tzetza. Monendus autem es, in hoc loco haberi in *Impressis* Codd. quæ supra inserui de Admeti uxore, & Hercule. * Hoc addo, ut sensus constet. Et quidem ea verba esse inserenda prius conjecerat *Gerielius*.

[a] Παιδὸς καταβροχθέντος αἰθάλῳ δέμας,	Reliquiis ignis Letrinam tenentibus,
Τοῖς [b] Τευταρείοις [c] βουκόλου πτερώμασι·	Et Teutari bubulci telis:
Τὰ πάντα πρὸς φῶς ἡ βαρύζηλος δάμαρ,	Quæ omnia in lucem uxor æmula,
Στείλασα κοῦρον τῆς κατήγορον χθονὸς,	Misso juvene terræ proditore,
Ἄξει, πατρὸς μομφαῖσιν [d] ἠγριωμένη,	Proferet, patris accusationibus exasperata,
[e] Λέκτρων θ' ἕκατι, τῶν τ' ἐπεισάκτων γάμων.	Cubiliumque causa, & peregrinarum nuptiarum.
Αὐτὴ δὲ φαρμακουργὸς οὐκ ἰάσιμον	At ipsa medica immedicabile
Ἕλκος δρακοῦσα τοῦ ξυνευνέτου λυγρὸν,	Vulnus mariti tetrum intuita
Γιγαντοραίστοις [f] ἄρδισι [g] τετρωμένου	Gigantiperdis ab adversario sagittis
Πρὸς ἀνδροπλίτου, ξυνὸν [h] ὀγχήσει μόρον,	Vulnerati, communem obibit mortem,
Πύργων ἀπ' ἄκρων πρὸς νεόδμητον νέκυν	Summis è turribus ad recens cadaver
Ῥοιζηδὸν ἐκβράσασα κύμβαχον δέμας·	Impetuosè corpus præceps projiciens:
Πόθῳ δὲ τοῦ θανόντος ἠγκιστρωμένη,	Mortuique stimulata desiderio,
Ψυχὴν [i] περισπαίροντι [k] φυσήσει νεκρῷ.	Animam in palpitans exspirabit cadaver.

VARIANTES LECTIONES.

a Παιδὸς καταβροχθέντος Bar. al. καταβροχθεῖσα. b Al. Τευταρείοις. al. Τευταρίοις. c Βουκόλοις Bar. d Al. ἠγριωμένη. e Al. λέκτρων. f Ἄρδεσι Bar. g Τετρωμένος Bar eandemque lectionem in Scholiis retinet. Tzetzes etiam eandem lectionis varietatem agnovit. h Al. ἐγχανεῖ al. ἐγχάνει Bar. habet οἰχήσει. Quid si legas ἰαχήσει? id certe valet βοήσει, qui voce utuntur Scholia lineis Baroccianis Cod. interpolata, ad explicandum suam οἰχήσει, eodemque modo explicant ἠχήσει, vers. xcvii. sequente, ἠχῶ autem & ἰαχῶ idem sunt. i Περισπαίροντι uterque MSS. k Al. φυσήσει.

55. Καταβροχθέντος.] καταποθέντος δηλονότι τοῦ Πέλοπος ἐν τῇ αἰθάλῃ καὶ τῇ σποδιᾷ, ὁπότε πρὸς σύγχυσιν τῶν θεῶν ὤφθη.

56. Τοῖς Τευταρείοις.] λείπει τὸ πτε, ἵν' ᾖ τοῖς πτε Τευτάρου πτερώμασιν, ἤτοι τοῖς βέλεσι τοῦ βουκόλου· τίς δ' ὁ Τεύταρος, προείπον.

57, 58, 59. Τὰ πάντα πρὸς φῶς ἄξει.] ἤτοι φανερώσει ἡ βαρύζηλος γυνὴ τοῦ Ἀλεξάνδρου, ἡ Οἰνώνη, ἥτις ἦν θυγάτηρ [1] Κεβρῆνος, ἡ Οἰνέως, ταύτην γὰρ πρὸ Ἑλένης εἶχεν Ἀλέξανδρος· ἐξ ἧς καὶ υἱὸς αὐτῷ Κόρυθος, ὃν Κόρυθον, ὀνειδιζομένη ὑπὲρ τοῦ πατρὸς αὐτῆς * διὰ τὸν ψόγον, καὶ τὴν μομφὴν τοῦ ἀνδρὸς αὐτῆς, * καὶ διὰ τοὺς τῆς Ἑλένης γάμους ἐπεισάκτους * ἀγριωθεῖσα, * ἔπεμψεν ἡγησόμενον τοῖς Ἕλλησι τῆς ἐπὶ Τροίαν ὁδοῦ.

61, 62. Αὐτὴ δὲ φαρμακουργός.] τετρωμένον δὲ τὸν Ἀλέξανδρον θεραπεῦσαι βουλομένη ἡ Οἰνώνη, ἐκωλύθη παρὰ τοῦ [2] αὐτῆς πατρός. τελευτήσαντος δὲ ἐκείνου, ἐπειδὴ ὕστερον προσενήνοχε τὰ φάρμακα, εὗρεν ἤδη ἐκπεπνευκότα, καὶ ἑαυτὴν συναναιρεῖ, ἢ κατὰ Κόιντον, ἑαυτὴν ἐμβαλοῦσα εἰς τὴν Ἀλεξάνδρου πυράν· ἢ κατὰ τὸν Δίκτυν, βρόχοις ἀπαγχθεῖσα· ἢ κατὰ τόνδε τὸν Λυκόφρονα, καταπεσοῦσα τοῦ πύργου. Οὐκ ἰάσιμον δὲ τὸ ἕλκος, ἢ ὅτι τεθνηκὼς ἦν ὁ Ἀλέξανδρος, καὶ ἰαθῆναι οὐκ ἐδύνατο· ἢ ὅτι [3] κεχρισμένα ἦν τὰ βέλη Φιλοκτήτου, οἷς Ἀλέξανδρος ἐτοξεύθη, τῷ ἰῷ τῆς Ὕδρας· ἢ ὅτι προληφθέντος τοῦ τραύματος, ὑστέρηκε τὰ φάρμακα. ἡ γὰρ Οἰνώνη, ἰατρικὴν καὶ μαντικὴν ᾔδει.

63. Γιγαντοραίστοις.] ἡ γῆ κατὰ Τιτάνων ἀγανακτήσασα, ἐν Φλέγραις τῆς Παλλήνης φύει δρακοντόποδας, καὶ βαθυγενείους, καὶ βαθυχαίτας γίγαντας, οἳ πέτρας καὶ δρῦς πεπυρακτωμένας ἠκόντιζον πρὸς τὸν οὐρανὸν· ὧν προέστησαν Πορφυρίων καὶ [4] Ἀλκυονεύς, οἳ καὶ ἀθάνατοι ἦσαν ἐς τ' ἂν ἐν τῇ γῇ, ᾗ ἐγεννήθησαν, ἐμάχοντο· συμμαχοῦντος δὲ Ἡρακλέους Διὶ, καὶ τούτους κατατοξεύοντος, ἀνῃρέθησαν. πρῶτον μὲν οὖν τοξεύει Ἀλκυονέα, ὃς πεσὼν ἐπὶ γῆν, μᾶλλον ἀνεθάλπετο· Ἀθηνᾶς δὲ βουλῇ Παλλήνης ἐξαγαγὼν, τοῦτον ἀνεῖλεν. Πορφυρίωνι δὲ Ζεὺς Ἥρας ἐπιθυμίαν ἐμβάλλει, καὶ τοῦτον Ἡρακλῆς ἐν τῷ καταρρηγνύειν Ἥρας τοὺς πέπλους τοξεύσας, καὶ τῷ Διὸς κεραυνῷ πληχθέντα, ἀναιρεῖ· καὶ τοὺς ἑτέρους δὲ ὁμοίως, πλὴν ὀλίγων, σὺν Διὶ ἀναιρεῖ. Ἄρδις.] τὸ βέλος, παρὰ τὸ ἀρδὴν καὶ βλάβας διδόναι. Τετρωμένου.] καταχρηστικῶς εἶπεν, ἀντὶ τοῦ βεβλημένου. καὶ [5] τετρωμένον καλῶς ἔχει· τετρωμένου μὲν τοῦ Ἀλεξάνδρου· τετρωμένον δὲ τὸ ἕλκος. Λυγρόν.] τὸ χαλεπὸν, παρὰ τὸ λίαν ὑγρὸν εἶναι, τουτέστιν ὀλέθριον· ἐκ γὰρ τῶν ὑγρῶν ἐπιγίνονται τὰ δεινότερα τῶν νοσημάτων, ὥσπερ αὖθις ἀπὸ τῶν θερμῶν τὰ καλά.

64. Ἀνδροπλίτου.] ἀντὶ τοῦ τοξότου. λέγει δὲ τὸν Φιλοκτήτην, παρ' ὅσον ἀμφότεροι τοξόται, ὅ, τε Ἀλέξανδρος, καὶ ὁ Φιλοκτήτης. ἀχθέντος γὰρ ἐκ Λήμνου τοῦ Φιλοκτήτου, τοξικῇ ἐμονομάχησαν, αὐτός τε καὶ ὁ Ἀλέξανδρος. καὶ πρῶτος μὲν ἀφεὶς Ἀλέξανδρος, ἥμαρτε Φιλοκτήτου· δεύτερον δὲ, τοξεύσας ὁ Φιλοκτήτης, βάλλει κατὰ χεῖρα λαιὰν τὸν Ἀλέξανδρον· αὖθις δεύτερον οἰστὸν ἀφεὶς, ἐκκόπτει τούτου καὶ τὸν δεξιὸν ὀφθαλμὸν, καὶ τρίτῳ βέλει κατὰ τὸ σφυρὸν πείρας αὐτὸν, ἀναιρεῖ.

EMENDATIONES.

1 Ita reposui ex Suid. quin & Κεβρῆνος est in Grav. Κυβρῆνος ἢ Οἰνέως Impressi Codd. Συκβρῆνος Bar. & Phavorin. Οἰνέως vero non omnino agnoscunt, ut neque Grav. Caeterum Oenone dicitur Cebrenis fuisse filia. Vide Notas. * Haec addo ex Grav. & Phavorino. * Ex Grav. 2 Αὐτῆς, pro ἑαυτῆς, ope Grav. 3 Κεχρισμένα reposui, pro κεχειρισμένα, ex Grav. Phavorinus habet κεχρισμένα. & paulo ante ἀπαγχθεῖσα, pro ἀπαγχεῖσα, quae σφάλματα hinc emendare poteris. 4 Ἀλκυονεὺς Grav. 5 Τετρωμένον, pro τετρωμένος, ex Grav. Nam cum ante legisset τετρωμένου, addit scribi etiam posse τετρωμένον.

Στένω, ᵃ στένω σε δισσὰ, καὶ τριπλᾶ, δορὸς	Defleo, defleo te bis terque, rursus
Αὖθις πρὸς ἀλκὴν, καὶ διαρπαγὰς δόμων,	Hastæ vim, & ædium direptiones
Καὶ πῦρ ᵇ ἐναυγάζουσαν αἰστωτήριον.	Spectantem, ignemque vastatorem.
Στένω σε, πάτρα, καὶ τάφους Ἀτλαντίδος	Defleo te, Patria, & sepulchra Electræ
Δύπτου κέλωρος, ὅς ποτ᾽ ἐν ῥαπτῷ ᶜ κύτει,	Filii, natatoris: qui olim in utre consuto,
Ὁποῖα πόρκος Ἰστριεὺς τετρασκελὴς,	Instar Istrii apri quadrupedis,
Ἀσκῷ μονήρης ἀμφελυτρώσας δέμας,	Singularis utri corpus involvens,
ᵈ Ῥειθυμνιάτης κέπφος ὡς ἐνήξατο,	Tanquam Rhithymnia fulica enatavit,
ᵉ Ζήρινθον ἄντρον τῆς ᶠ κυνοσφαγοῦς θεᾶς	Zerinthum canivoræ antrum Deæ
Λιπὼν, ἐρυμνὸν κτίσμα Κυρβάντων, Σάον·	Relinquens, Saum, munitum Corybantum ædificium:

VARIANTES LECTIONES.

a Al. τρίτον δισσά. Bar. habet δισσᾶ, sed eadem, ut videtur, manu superscribitur duplex σσ. b Al. ἐναυγάζοντα. c Κύτει Bar. aliique, Tzetzes utramque lectionem agnovit. d Ῥεθυμνιάτης Bar. al. Ῥυθυμνιάτης. e Al. Ζήρυνθον. f Al. κυνοσφάγου Θεῦ. κυνοσφάγους Seld. κυνοσφαγοῦς Bar. aliique.

69. Δισσὰ καὶ τριπλᾶ.] παρ᾽ ὅσον ὁ Ἴλιος τρίτον ἐπορθήθη· πρῶτον μὲν γὰρ, ὡς εἴπομεν, ὑπὸ Ἡρακλέους διὰ τοὺς ἵππους ἐπορθήθη τοῦ Λαομέδοντος, καὶ τὴν Ἡσιόνην. δεύτερον δὲ κατέδραμον ταύτην αἱ Ἀμαζόνες, ὥς τι καὶ ἐν τῷ γράμματι φησὶν Ὅμηρος, ὡς ὑπὸ Πελάμη,

—— Ὅτε τ᾽ ἦλθον Ἀμαζόνες ἀντιάνειραι.

Τρίτον δὲ, διὰ τὴν πολυθρύλλητον Ἑλένην, ὑπὸ τῶν Ἑλλήνων πορθηθεῖσα καὶ καυθεῖσα, τελέως ἠφανίσθη. * Ἡ ἑρμηνεία. Στενάζω σε, ὦ πόλις, δισσῶς, καὶ τριπλῶς, πάλιν πρὸς δόρατα, μάχιμον καὶ αἰχμαλωσίαν οἴκων ἐρχομένην, καὶ πῦρ ἄπληστον ἀφανιστικόν.*

72, 73. Στένω σε, ὦ πόλις, καὶ τοὺς ἐν σοὶ τάφους τῶν προγόνων ἡμῶν, τοῦ τε * θυγατρὸς Ἀτλαντος * Ἠλέκτρας, καὶ τοῦ υἱοῦ αὐτῆς Δαρδάνου· ὅς ποτε ἐπὶ τοῦ κατακλυσμοῦ ἐξηραμμένῳ δέρματι σκεπάσας τὸ σῶμα αὐτοῦ, καθάπερ τὸ περὶ τὸν Ἴστρον τετράπουν ζῶον εἰωθὲ ποιεῖν, ὅτε τὸ ἑαυτοῦ δέρμα ἀναφυσᾷ, καὶ παρὰ τὸν Δάνουβιν ποταμὸν, διαπεράσας ἐπὶ τὴν Ἴλιον, κατασκεύασας τὸ κατοικητήριον τῶν Κορυβάντων· τοῦτο δὲ ἐποίησε ποτὲ, ὅτε κατέκλυσε πᾶσαν τὴν γῆν ὁ Ζεὺς ἐπὶ τοῦ Δευκαλίωνος, καὶ πάντες οἱ ἄνθρωποι ἔπλεον ἐν τοῖς ὕδασι. καὶ τὰ τείχη κατέπιπτον, τῶν δένδρων δὲ καὶ ἀμπέλων τοὺς καρποὺς τὰ θαλάσσια ζῶα ἐνέμοντο, αἱ δελφῖνες, καὶ αἱ φῶκαι, αἱ ἀεὶ τὰς συνουσίας τῶν ἀνδρῶν ἐρῶσαι. Καὶ τάφους] ἀντὶ τοῦ τάφον τοῦ δύπτου καὶ κολυμβητοῦ κέλωρος καὶ υἱοῦ τῆς Ἀτλαντος θυγατρὸς Ἠλέκτρας, ὅσπερ ποτὲ ἐν τῷ ῥαπτῷ κύτει καὶ δέρματι, ἢ κύτει καὶ χαράγματι, ἐνήξατο καὶ ἔπλευσεν, ὥσπερ κέπφος Κρητικός. ἔπλευσε δὲ μονήρης, μονόκωπος, ἢ μόνος, ἀμφιλυτρώσας καὶ καλύψας τὸ σῶμα ἐν τῷ ἀσκῷ, ὁποῖα καὶ ὥσπερ πόρκος, ζῶον Ἴστριον τετρασκελές. Δάρδανος ὁ Διὸς καὶ Ἠλέκτρας τῆς Ἀτλαντος θυγατρὸς, καταλιπὼν τὴν Σαμοθρᾴκην ἐν τῷ κατακλυσμῷ, σχεδίαν κατασκευάσας, καὶ εἰς τὰ κατὰ τὴν Τροίαν μέρη ἐλθὼν, κτίζει τὴν Δαρδανίαν, κἀκεῖ τελευτᾷ, καὶ ὁ τάφος αὐτοῦ κεῖται παρὰ τὴν Τροίαν ἐν τῷ μέρει τῆς Δαρδανίας· ὕστερον γὰρ καὶ ἡ Δαρδανία, καὶ ἡ Ἴλιος, καὶ ἡ Τροία, μία πόλις γεγόνασι. Νυκτίμου δὲ τοῦ βασιλέως ἄρχοντος, ὁ κατακλυσμὸς, ὡς λέγουσι, γέγονε, καὶ διὰ τὴν Πέλοπος κρεουργίαν, πέμπτον δὲ τὸν Πέλοπα ἦγαγε γινώσκω ὑπὸ Δαρδάνου. διὰ τοῦτο γοῦν λέγουσι γενέσθαι τὸν κατακλυσμὸν, ὁ δὲ Ἀζᾶνα τὸν Λυκάονος, καὶ τὸ τῶν Λυκάονος παίδων ἀσέβημα, ὅτι τὸν Νύκτιμον κατατεμόντες, ἔθυσαν τῷ Διΐ· γέγονε δὲ καθ᾽ ἑτέρους ὁ κατακλυσμὸς οὕτω· περὶ Βορέαν καὶ Βορρᾶν τοὺς πόλους, ἀνέμων πνευσάντων ἐναντίων, συνέστη νέφος πολὺ, καὶ ἔβρεξεν ὑετὸς, καὶ ἐγένετο ὁ κατακλυσμός. Δύπτου δὲ εἶπε τοῦ συνεχῶς δύνοντος ἐν τῇ σχεδίᾳ διὰ τὸ χειμάζεσθαι, ἢ τοῦ κολυμβητοῦ, διὰ τὸ εἰς δύο ξύλα πήξαντα τὰς σχεδίας ὑπὸ Σαμοθρᾴκης πλεῦσαι, φεύγοντα τὸν ἐπὶ [1] Δευκαλίωνος κατακλυσμόν.

74, 75. Πόρκος.] ζῶον ἐστὶν παρὰ τὸν Ἴστρον ποταμὸν, τὸν καὶ Δάνουβιν καλούμενον, τετρασκελὲς, λεπτῷ περιεχόμενον δέρματι, ὃ φυσώμενον γίνεται ὡς ἀσκὸς, καὶ νήχεται ἕως λεπτυνθῇ· ἐξέρχεται δὲ ἐπὶ τὴν γῆν, καὶ νέμεται, καὶ [2] οὐδένα φευγόμενον ἀποθνήσκει. Μονήρη δὲ εἶπε τὸν Δάρδανον, διὰ τὸ μόνον κώπῃ αὐτὸν κεχρῆσθαι ἐν τῇ σχεδίᾳ. Τὸ δὲ ἑξῆς * οὕτως· * Ὡς πόρκος τῷ ἰδίῳ δέρματι, καθάπερ ἀσκῷ, ἐπισκεπάσας τὸ σῶμα νήχεται, οὕτω καὶ ὁ Δάρδανος ἐπὶ τῆς σχεδίας ἔπλευσε, τέσσαρας λίθους ἔχων, καὶ σκεπάζων αὐτοῦ τὸ σῶμα καθάπερ πόρκος.

76. Ῥείθυμνα.] πόλις Κρήτης. Κέπφος.] θαλάσσιον ὄρνεον λαροειδὲς, ὃ ὑπὸ ἀφροῦ θηρῶσιν οἱ παῖδες τῶν ἁλιέων.

77, 78. Ζήρινθον ἄντρον.] Θρᾳκικὸν σπήλαιον. Ἄντρον.] τὸ σπήλαιον, παρὰ τὸ [3] ἐνατετρῆσθαι, ἤγουν τετρυπημένον εἶναι. τὸ Θρᾳκικὸν καταλιπὼν σπήλαιον τῆς Ῥέας, ἢ τῆς Ἑκάτης, ὁ Δάρδανος· καὶ γὰρ καὶ ἡ Ῥέα, λέγουσιν, ἐποχουμένη, καὶ ἡ Ἑκάτη ξενοφιλὴς οὖσα, φοβεραί· θύουσι δὲ αὐταῖς κύνας, ὥς φησι Σώφρων ἐν Μίμοις, ὁ γὰρ κύων βαΰξας λύει τὰ φάσματα, ὡς καὶ χαλκὸς κροτηθεὶς, εἴτε τι τοιοῦτον. Σάον.] ὄνομα ὄρους Θρᾳκικοῦ, οὗ μέμνηται Νίκανδρος, οὕτω πως λέγων ἐν Θηριακοῖς,

Ἡ Σάος, [4] ἢ ὲ Μοσύχλη. ——

Τὸ Σάον σπήλαιον Θρᾳκικὸν, σπήλαιον τῆς Ῥέας, ἢ τῆς Ἑκάτης, τῆς δεχομένης εἰς θυσίαν τοὺς κύνας. οἱ Κορύβαντες, οἵτινες εἰσὶ δαίμονες, περὶ τὴν [5] Ῥέαν ἱδρύσαντο. ἀλλ᾽ οἱ μὲν Κύρβαντες, Δαναΐδος νύμφης Κρήτης καὶ Ἀπόλλωνος παῖδες· οἱ δὲ Κορύβαντες, Θαλείας καὶ Ἀπόλλωνος.

EMENDATIONES.

* Hæc inserui ex *Seld.* quibus sublatis Interpretatio esset mutila. * Et hoc ex eodem Codice addo. 1 Δευκαλίωνος pro Δευκαλίωνα, ex *Bar.* & *Grav.* 2 Ἀθρόως *Grav.* ἀθρόον *Phavorinus* * Ex *Bar.* & *Grav.* prius indistincte legebatur, τὸ δὲ ἑξῆς ὡς πόρκος &c. 3 Ἀπὸ τοῦ τετρῆσθαι *Grav.* & *Phavorinus*: sed recepta lectio potior videtur. 4 Ita emendavi ex *Nicandro*, nisi potius *Nicandrum* hinc corrigendum putes. ἢ Ἐμοσύχλη *Vulg.* ἢ Ἐμοσύλη *Bar.* & *Grav.* Vide Notas. 5 Ῥέαν pro Ῥέην, ex conjectura *Gerbelii*, cui fidem faciunt omnes *MSS. Codd.*

79. Ἠμάθιον.]

Οτ' ἠμάθυνε πᾶσαν [a] ὀμβρήσας χθόνα
Ζηνὸς καχλάζων νασμὸς, οἱ δὲ πρὸς πέδῳ
Πύργοι κατηρείποντο, τοὶ δὲ λοισθίαν
Νήχοντο μοῖραν προὐμμάτων δεδορκότες·
[b] Φηγὸν δὲ, καὶ δρύκαρπα, καὶ γλυκὺν βότρυν
[c] Φάλαι τε, καὶ δελφῖνες, αἵ τ' ἐπ' ἀρσένων
Φέρβοντο φῶκαι λέκτρα θουρῶσαι βροτῶν.
Λεύσσω θέοντα [d] γρουνὸν ἐπτερωμένον
Τρήρωνος εἰς ἅρπαγμα πεφνάσας κυνὸς,
Ην τόργος ὑγρόφοιτος ἐκλοχεύεται,

Quando cunctam vastabat humectans terram
Grandisonus Jovis imber, turribus quidem
In solum cadentibus, hominibus verò natantibus,
Ultimo ante oculos fato conspecto:
Glandes autem, fructusque, & uvas dulces
Balænis, delphinisque depascentibus, & phocis,
Quæ in humana virorum irruebant cubilia.
Video currentem grypem alatum,
Ad columbæ rapinam, canis necandæ:
Quam vultur undivagus genuit,

VARIANTES LECTIONES.

a Ομβρίτης Bar. b Al. φηγόεν. c Al. φάλλαι. d Γρυνὸν Bar. Sold. γρῦνον al.

79. Ημάθυνεν.] ἄμμον ἐποίησε, κατέκλυσε. ἄμαθος δὲ δι' ἑνὸς μ γράφεται, ἐκ τῆς ἀμαθὸς καὶ ἀμέτρητος εἶναι ἐτυμολογούμενον. καὶ ἄμμος κατὰ [1] συγκοπὴν γινόμενον, δι' ἑνὸς μ γράφεται. μόνοι δὲ τοῦτο οἱ Αἰολεῖς [2] διπλασιάζουσιν, ὡς καὶ τὰ λοιπά.

80. Καχλάζων.] ἤχῳ φερόμενος. Νασμός.] κατακλυσμός, ἐκ τοῦ νάω ῥήματος, ὅθεν καὶ ναίω.

81. Τοὶ δὲ.] ἐλλειπῶς, ἀντὶ τοῦ, οἱ ἄνθρωποι.

83. Φηγὸν.] τὴν βάλανον, παρὰ τὸ φάγω, φαγὸν καὶ φηγὸν λεγομένην. οἱ γὰρ ἀρχαῖοι πρὸ τοῦ τὸν σῖτον εὑρεῖν, βαλάνους ἤσθιον, καὶ ὀπώρας. Δρύκαρπα.] πᾶσαν ὀπώραν, ὥς πε φησὶν ἐν τῇ Δωδεκαετηρίδι Ορφεύς, Βάλλειν ἔρνεα τὰ πάντα, τά τε δρυὸς ἄκρα λέγεται.

84, 85. Φάλαινα.] ζωΰφιον ἐστὶν ταῖς λυχνίαις ἐπιπετόμενον, ὃ καὶ πυραυστόμορος, [3] καὶ ψύχη, καὶ ψῶρα καλεῖται. λέγεται δὲ φάλαινα, παρὰ τὸ εἰς φῶς ἅλλεσθαι. μακρὸν ἔχει τὸ α καὶ προσγραφόμενον, καὶ δι' ἑνὸς λ δεῖ γράφεσθαι, τὰ γὰρ ὀνόματα τῶν ῥημάτων βραχύτερα, ὡς τὸ θάλλω θαλός, ἀγγέλλω ἄγγελος. καὶ περὶ μὲν τῆς φαλαίνης, τοῦ χερσαίου ζωϋφίου, ὃ καὶ [4] κανθαροσβέστειραν ἰδιωτικῶς φασιν, εἴπομεν. ἔστι καὶ φάλαινα, κητώδης ἰχθύς, κατὰ ἀποκοπὴν γοῦν φάλαι εἶπεν. Αἵ τ' ἐπ' ἀρσένων.] αἱ φῶκαι τε, αἱ θουρῶσαι καὶ ἐρωτικῶς ὁρμῶσαι ἐπὶ τὰ λέκτρα τῶν ἀρρένων βροτῶν. ἡ φώκη θαλάσσιον κῆτος ἐστί, χερσαίῳ βοΐ, ἢ μᾶλλον βουβάλῳ παρόμοιον, ἐρᾷ δὲ συνουσίας ἀνδρῶν, ἔστι δὲ καὶ πρὸς μαγείαν ἐπιτήδειον.

86. Λεύσσω θέοντα γρυνόν.] τὸν λόγον περὶ Αλεξάνδρου ποιεῖται. λέγει γὰρ, ὅτι σπουδάζοντα τὸν Αλέξανδρον θεωρῶ περὶ τὴν ἁρπαγὴν τῆς Ελένης. γρυνὸς δὲ λέγεται, καὶ ὁ κορμός. καὶ Ομηρος,

Γρουνὸν μὲν δαίοντε, μέγας δ' Ηφαιστος ἀνέσχε.

Νῦν δὲ γρυνὸν, ἢ τὸ πλοῖον τοῦ Αλεξάνδρου λέγει, διὰ τὸ ἐκ τοῦ ξύλου πεποιῆσθαι, ἐπτερωμένον δὲ διὰ τὰ ἄρμενα, παρ' ὅσον τὴν πορείαν δι' αὐτῶν ποιεῖται, κατὰ μετωνυμίαν. ἢ γρυνὸν, τὸν Αλέξανδρον αὐτὸν, διὰ τὸ ὄναρ, ὃ εἶδεν Εκάβη, ὅτι δαλὸν ἔτικτε δαιόμενον, ὅστις κατέφλεξε πᾶσαν τὴν πόλιν, καὶ τὴν ἐν Ιδῃ ὕλην. τοῦτο τὸ ἐνύπνιον ἀκούσαντες οἱ μάντεις, καὶ οἱ περὶ τοὺς ὀνείρους δεινοὶ, εἶπον τὸ τεχθησόμενον παιδίον εὐθέως ῥιφθῆναι. τεχθέντα δὲ τὸν Αλέξανδρον ἐξέθεντο ἐν τῇ Ιδῃ. ὃν ποιμὴν ἐπαρκοῦσι σφόδρα ἀειδέστατον, ἀνελόμενος ἀνέθρεψεν. ἐπτερωμένον δὲ, διὰ τὸ μετὰ πλοίου πορεύεσθαι.

87. Τρήρωνος εἰς ἅρπαγμα.] εἰς τὴν ἁρπαγὴν τῆς λαγνιστάτης τρήρωνος, ἤτοι περιστερᾶς, τῆς ἀξίας φονευθῆναι κυνὸς, ἢ ἀπὸ * τόπου * τῆς Λακωνικῆς, ἢ τῆς δειλῆς, καὶ ταχείας, καὶ καταφερεῦς, (οἰκεῖον γὰρ Αφροδίτῃ τὸ ζῷον) ἢ τῆς αἰτίας φόνου πολλοῖς. λέγει δὲ τὴν Ελένην, ἐπεὶ καὶ τὸν Αλέξανδρον ἀετῷ εἴκασεν ἐπὶ τὴν ἁρπαγὴν ἐπειγόμενον. Τρήρωνα δὲ αὐτὴν, διὰ τὸ λάγνον, καλεῖ. καὶ γὰρ ἡ περιστερὰ μόνη τῶν πτηνῶν δι' ὅλου ἔτους ὀχεύεται, καὶ νεοττοὺς ποιεῖ. ὅθεν Αἰσχύλος φησὶ, Παντοβόφα πελειάδος. καὶ κυνὸς, διὰ τὸ ἀναιδὲς, κατὰ τὸν Ομηρον,

Εἵνεκ' ἐμεῖο κυνὸς κακομηχάνου. ——

88. Τόργος.] ὁ γὺψ κυρίως, νῦν δὲ τὸν κύκνον λέγει. ἔλαβε δὲ ζῷον ἀντὶ ζῴου· Ζεὺς γὰρ ὁμοιωθεὶς κύκνῳ, μίγνυται Νεμέσει, τῇ Ωκεανοῦ θυγατρί, εἰς χῆνα, ὡς λέγουσιν, αὐτῆς μεταβαλλούσης. ἡ δὲ τεκοῦσα ὠὸν, ἐν τῷ ἕλει τοῦτο κατέλιπε· ποιμὴν δὲ εὑρὼν, τῇ Λήδᾳ κομίζει. ἡ δὲ λάρνακι θεμένη, ἐφύλαττε. χρόνῳ δὲ τῷ καθήκοντι, Ελένη γεννᾶται ἐκ τοῦ ὠοῦ, ἣν ὡς ἰδίαν παῖδα ἡ Λήδα ἀνέτρεφε. τινὲς δὲ καὶ Κάστορα, καὶ Πολυδεύκην ἐκ τοῦ αὐτοῦ φασὶν ὠοῦ γεννηθῆναι, ἄλλοις δὲ τισιν [5] εὕρηνται ἱστορικοῖς, ὅτι ὁ Ζεὺς ἀετῷ εἰκασθεὶς, καὶ μιγεὶς Λήδᾳ, Κάστορα, καὶ Πολυδεύκην γεννᾷ, ὕστερον δὲ ὕπνος ὡς ἔρημον, τὴν Ελένην. ἕτεροι δὲ πάλιν φασὶν, ὅτι κύκνῳ ὁμοιωθεὶς, τῇ Λήδᾳ ἐμίγη, κατὰ τὴν αὐτὴν νύκτα καὶ ὁ Τυνδάρεως. ἡ δὲ, ἐκ μὲν Διὸς Πολυδεύκην καὶ Ελένην γεννᾷ, ἐκ Τυνδάρεω δὲ Κάστορα. ὅθεν καὶ θνητὸς ἦν ὁ Κάστωρ, ὁ δ' ἕτερος ἀθάνατος. τῇ δὲ τοῦ ἀδελφοῦ παρακλήσει ἀθάνατος καὶ αὐτὸς ἐγεγόνει, καθά φησι καὶ ὁ Πίνδαρος. τὰς δ' ἀλληγορίας ἴστιον, ὡς ἔφην. ἐπεὶ δὲ ποθεῖτε καὶ ταύτας μαθεῖν, ἀκούετε. Δίας οἱ παλαιοὶ πάντας ἐκάλουν τοὺς βασιλεῖς. τὶς γοῦν βασιλεὺς τῇ Λήδᾳ ἐμίγη μοιχικῶς περὶ τὸν Εὐρώταν ποταμόν, ὅπως ἐξ αὐτοῦ ἔγγυος γενομένη, μιᾷ γαστρὶ τρεῖς παῖδας γεννᾷ, Κάστορα, Πολυδεύκην, καὶ Ελένην. ἀφ' οὗ γοῦν παρεικάζει τὴν γαστέρα αὐτῆς, ὅτι ἦν ἐξ [6] αὐτῆς συνδέρμων ἐγεννήθη, ὃ δέρμα, καὶ φυλακτήριον αὐτοῖς ἐποίησαν. εἰς κύκνον δὲ λέγει τὸν Δία μεταβαλεῖν, ὅτι ὁ βασιλικῶς ἐμίγη αὐτῇ, ἀλλ' ἐν παρόχοις τόποις, καθάπερ οἱ κύκνοι.

EMENDATIONES.

1 Συγκοπὴν ex Sold pro ἀποκοπὴν. 2 Διπλασιάζουσιν, pro διπλασιοῦσι ex omnibus MSS. 3 Καὶ ψύχη, καὶ ψῶρα ex Sold. pro ψυχῆς ψῶρα. Cæterum ψυχῆς non omnino agnoscunt Bar & Grav. 4 Κανθαροσβέστειραν pro κανθαροσβέστειραν, ex Grav. * Ex Sold. 5 Εὕρηνται pro εὑρών, ex utroque MSS. 6 Αὐτῆς, ex omnibus MSS. pro αὐτῶν. Ibidem καὶ delevi, quod ante ὅτι legebatur, ex fide Grav.

Κελυφάνῳ στρόβιλον [a] ὠστρακωμένην.	Ovi testa rotundam circumtectam.
Καὶ δή σε ναύτην [b] Ἀχερουσία τρίβος	Te sanè, nauta timide, Acherusia
Καταιβάτης πύαργον, οὐ πατρὸς κόπρους	Declivis semita, non jam patris fimum
Στείβοντα ῥακτῶν βουστάθμων [c] ξενώσεται,	Asperorum bubilium calcantem excipiet,
Ὡς πρόσθε, κάλλους τὸν θυωρίτην τριπλοῦς·	Ut antè, formæ tribus judicem:
Ἀλλ' ὀρείμων μὲν ἀντὶ, Γαμφηλὰς ὄνου,	Sed pro stabulis quidem, Maleam,
Καὶ Λᾶν περήσεις· ἀντὶ δ' [d] εὐχείλου κάπης,	Et Lan trajicies: pro pabuloso verò præsepi,
Καὶ [e] μηλιαθμῶν, ἠδὲ χερσαίας πλάτης,	Ovilibusque, & remo terrestri,
Τρέμπις [f] σ' ὀχήσει, καὶ Φερέκλειοι πόδες	Navis te, & Phereclei pedes vehent
Διωτὰς σαλάμβας, κἀπὶ [g] Γυθίου πλάκας·	Ad ostia gemina, & Gythii æquora:
Ἐν αἷσι πρὸς κύνουρα [h] καμπύλους σχάσας	Ubi curvos ad petras ejiciens

VARIANTES LECTIONES.

a Al. ὀστρακωμένην. b Al. ἡ Ἀχερουσία. c Ξενώσεται Bar. al. χερσώσεται d Al. Εὐχήλου. al. εὐχύλου. e Μηλιαθμῶν Etymolog. in V. Μηλαθμός. al. μηλιανθμῶν. f Al. δ' ὀχήσει ut Bar. γ' ὀχήσει habet. g Al. Γυθίου. h Al. καμπύλου.

89. Κελυφάνῳ.] [1] ᾠοῦ λέπει. πάντα γὰρ τὰ λέπη, κελύφανα λέγεται. κυρίως δὲ κελύφανον λέγεται, τὸ ἔσωθεν τοῦ ὀστράκου τοῦ ᾠοῦ λεπτότατον δέρμα. Στρόβιλον.] στρογγύλον, στρογγυλοειδῆ. Ὠστρακωμένην.] τῷ ὀστράκῳ τοῦ ᾠοῦ ὀστρακωμένην, λέγει δὲ τὸ ᾠὸν, ὅπερ ἡ Νέμεσις τῷ Τυνδάρεῳ δέδωκεν, ὁ δὲ τῇ Λήδᾳ, ἐξ ἧς ἡ Ἑλένη.

90. Καὶ δή σε ναύτην.] ἀποστροφὴ τὸ σχῆμα. νῦν γὰρ πρὸς Ἀλέξανδρον ἀπέστρεψε τὸν λόγον· καί φησι· Καὶ δή σε, ὦ Ἀλέξανδρε, ἡ Ἀχερουσία καταιβάτις τρίβος δεξιώσεται. Ἀχερουσία δὲ τρίβος, ἡ ὁ ᾅδης, ὅτι διὰ τὴν Ἑλένην μέλλεις ἀποθανεῖν. ἢ τὸ Ταίναρ τῆς Λακωνικῆς, ἀντὶ τοῦ εἰπεῖν, ὅτι εἰς Λακεδαίμονα ἀφίξῃ, ἐν ᾗ ἐστὶν ἡ Ἀχερουσία τρίβος. δείκνυσι δὲ διὰ τούτου, ὅτι ἐκ ταύτης τῆς προφάσεως ἀφίξῃ, ὦ Ἀλέξανδρε, εἰς ᾅδου. ἔστι γὰρ τὸ Ταίναρ τῆς Λακωνικῆς στόμιον, ὅθεν καὶ ᾅδου κάθοδον αὐτὸ λέγουσιν, ὡς καὶ Μένανδρος φησί, Πύλη τίς ἐστι Ταινάρου πρὸς ἐσχάτοις.

91. Καταιβάτης.] κάτω φέρουσα. Πύαργον.] δειλὸν, ἢ αἰσχρὸν, ἢ ἅρπαγα. εἰσὶ γὰρ μελάμπυγοι, πύγαργοι, εἴδη ἀετῶν, κατ' Ἀρχίλοχον, ἀφ' οὗ ὁ ἅρπαξ πύγαργος. ὁ δὲ αἰσχρὸς καὶ συνουσιαστικὸς πύγαργος λέγεται κατ' ἀντίφρασιν, ὁ μὴ ἀργὴν ἔχων τὴν πυγὴν, ἀλλὰ κινῶν αὐτὴν ἐν τῷ συνουσιάζειν. ὁ δὲ δειλὸς πάλιν πύγαργος λέγεται, ὡς λευκὴν ἔχων τὴν πυγὴν, ἐκ τῆς ἐναντίας τῇ παροιμίᾳ τῇ λεγούσῃ, Οὔπω Μελαμπύγῳ τετύχηκας. ἐὰν γὰρ οἱ μελάμπυγοι γενναῖοι, καθάπερ ὁ Ἡρακλῆς, οἱ λευκόπυγοι πάντως ἀσθενεῖς, καὶ δειλοί, καὶ ἄνανδροι. Θεία δὲ, ἡ Ὠκεανοῦ, τοῖς ἰδίοις τοῦτο παισὶν εἶπε περὶ Ἡρακλέους, Οὔπω Μελαμπύγῳ ἐντετυχήκατε. Πατρὸς κόπρους.] ἐπαύλεις, μάνδρας.

92. Ῥακτῶν βουστάθμων.] τραχέων βουστασίων.

93. Κάλλους θυωρίτην.] τραπεζίτην, ἀργυρογνώμονα. νῦν δὲ κριτὴν Ἥρας, καὶ Ἀθηνᾶς, καὶ Ἀφροδίτης. ἔκρινε γὰρ αὐτὰς Ἀλέξανδρος, ἕνεκα τοῦ μήλου. ἐν γὰρ τῷ τῆς Θέτιδος γάμῳ, τῆς Ἔριδος μῆλον χρυσοῦν ἀνὰ μέσον τῶν θεῶν ῥιψάσης, ἐπιγεγραμμένον οὕτως, ΤΗ, ΚΑΛΗ, ΤΟ ΜΗΛΟΝ, Ἥρα, Ἀθηνᾶ τε, καὶ Ἀφροδίτη πρὸς ἀλλήλας ἤριζον ἐπὶ τῷ λαβεῖν τοῦτο. ὁ δὲ Ζεὺς Ἑρμῇ παραδοὺς αὐτὰς, πέμπει πρὸς Ἀλέξανδρον, ὥς τε κρῖναι αὐτάς. ὃς λαβὼν τὸ μῆλον, τῇ Ἀφροδίτῃ [2] προσήνεγκεν. ταύτης δὲ ἐπιταγῇ ναυπηγήσαντος αὐτῷ ναῦς Ἁρμονίδου, κατὰ δέ τινας Φερέκλου, ἦλθεν εἰς Λακεδαίμονα, ἔνθα τὴν Ἑλένην ὀφθαλμοβολήσας βληθεῖσαν καὶ αὐτὴν ὑπὸ τοῦ ἔρωτος, ἁρπάζει. δεύτερον δὲ ὁ Ἀλέξανδρος ἐντυχὼν αὐτῇ περὶ τὸν αἰγιαλὸν θυούσῃ νυκτὶ τῷ Βάκχῳ καὶ τῇ [3] Ἰνοῖ, ἁρπάξας αὐτὴν, εἰς Αἴγυπτον παρεγένετο, κἀκεῖ αὐτῇ συνεγένετο Θυωρὸς, ἡ τράπεζα, ἡ τὰ θύη καὶ θυμιάματα φέρουσα καὶ φυλάττουσα, ἐξ οὗ καὶ θυωρίτης, ὁ τραπεζίτης εἴρηται.

94. Ἀλλ' ὀρείμων.] ὄρη εἰσὶ Τροίας. Γαμφηλὰς ὄνου.] τὰς σιαγόνας τοῦ ὄνου. λέγει δὲ τὸν Μαλέαν ἀκρωτήριον Πελοποννήσου, διὰ τὸ ἐοικέναι σιαγόσιν ὄνου.

95. Λᾶν.] πόλιν Λακεδαίμονος, ἣν Ὅμηρος Λάαν φησίν. Εὐχείλου κάπης.] τῆς [4] εὐτρόφου φάτνης. ἢ τῆς καλὰ χείλη ἐχούσης· ὡς κρείττονος ὄντος τοῦ ποιμενικοῦ βίου, τοῦ ἁρπακτικοῦ, καὶ μαχίμου.

96. Μηλιαθμῶν.] μανδρῶν τῶν προβάτων, Ἀττικῶς. Χερσαίας πλάτης.] πτύου, ἢ τοῦ καλαύροπος. ἡ γὰρ καλαῦροψ, ῥάβδος ἐστὶ ποιμενική, μικρὸν ἑκατέρωθεν ὑπόκαμπος, ἣν ἀκοντίζουσιν ἐπὶ τὰ τῆς ἀγέλης ἀποσκιρτῶντα. Πλάτη.] κυρίως τὸ πλάτος τῆς κώπης.

97. Τρέμπις.] βαρβαρικὸν πλοῖον. Ὀχήσει.] βαστάξει, κομίσει, ἀπὸ μεταφορᾶς τῶν ἵππων. Φερέκλειοι πόδες.] ὁ Φέρεκλος, περιφραστικῶς. ἢ αἱ νῆες, ἃς ὁ Φέρεκλος εἰργάσατο· οὗτος γὰρ κατεσκεύασεν τῷ Ἀλεξάνδρῳ ναῦν πρὸς τὸν τῆς Ἑλλάδος [5] κατάπλουν.

98. Διωτὰς σαλάμβας.] δύο εἰσὶν ἄκρα ἐν Λακωνικῇ, Θυρίδες λεγόμεναι. σαλάμβαι δὲ, αἱ θύραι λέγονται, παρὰ τὸ ἐν σάλῳ βαίνειν· ἢ παρὰ τὸ σείειν, καὶ λαμβάνειν τοὺς βαίνοντας. σαλάμβαι δὲ, αἱ φωταγωγοὶ, ἤτοι αἱ φεγγῖται ἰδιωτικῶς, παρὰ τὸ σέλας δι' αὐτῶν βαίνειν. Γύθιον.] ἀκρωτήριον Λακωνικῆς. Πλάκας.] τόπους νῦν.

99. Ἐν αἷσι.] πλαξὶν, ἤτοι τόποις. Πρὸς κύνουρα.] παρὰ τὰς τραχείας πέτρας. Σχάσας.] καταβαλών.

EMENDATIONES.

1 ᾠοῦ λέπει, ex Bar. pro τοῦ ᾠοῦ λέπει. 2 Προσήνεγκε, pro ἤνεγκε, ex Seld. 3 Ἰνοῖ reposui pro Ἰνῷ, ex emendatione Nic. Gerbelii. 4 Εὐτρόφου, pro εὐτέρου, ex utroque MSS. 5 Κατάπλουν, pro κατάπλοον, ex omnibus MSS.

100. Πεύκης

Πεύκης ὀδόντας, ἔκτορας [a] πλημμυρίδος,	Navis dentes, æstum inhibentes,
Σκαρθμῶν ἰαύστης [b] ἐναφώσσωνα στόλον.	Jactationibus liberabis univelem classem:
Καὶ τὴν ἄνυμφον πόρτιν ἁρπάσας λύκος	Multiviramque rapiens lupus juvencam
Δυοῖν [c] πελειαῖν ὠρφανισμένην [d] γονῆς,	Duarum columbarum fœtu orbatam,
Καὶ δευτέραν εἰς ἄρκυν ὀθνείων βρόχων	Et in secunda externorum laqueorum retia
[e] Λῆϊτιν [f] ἐμπλαίσασαν ἰξευτοῦ πτερῷ,	Captivam impingentem aucupis penna,
[g] Θύστησιν ἀρμοῖ μηλάτων ἀπάργματα	Bacchis recens ovium libamina
Φλέγουσαν ἐν κρόκησι, καὶ Βύνῃ θεᾷ,	In litore adolentem, atque Leucotheæ Deæ,
Θρέξεις ὑπὲρ Σκάνδειαν, Αἰγίλου τ᾽ ἄκραν,	Curres ultra Scandeam, & Ægili promontorium,
Αἴθων ἐπακτὴρ καγχαλῶν ἀγρεύματι.	Exultans præda venator vehemens.
Νήσῳ δ᾽ ἐνὶ [h] Δράκοντος ἐκχέας πόθον,	Effuso autem cupidine in Draconis insula

VARIANTES LECTIONES.

a Al. πλημμυρίδος. b Ἐξεναφώσσωνα Bar. Al. ἐναφώσσοντα. al. ὄθνα φώσσωνα. c Πελειῶν Steph. d Γονῆς Bar. aliique. γοναῖς Steph. e Λῆτιν Bar. f Ἐμπταίσασαν Seld. & eandem lectionem in Scholiis retinet. ἐμπταίσασαν Bar. & in suis etiam Scholiis. al. ἐμπλήσασαν. g Al. Θύστησι. h Al. Δράκοντος.

100. Πεύκης ὀδόντας.] τὰς ἀγκύρας, αὗται γὰρ ἕκτορες καὶ φύλακές εἰσι τοῦ τῆς θαλάσσης στόλου, καὶ τῆς πλημμυρίδος. Ἕκτορας πλημμυρίδος.] κωλυτὰς τῶν κυμάτων.

101. Σκαρθμῶν ἰαύστης.] τῶν κινήσεων παύσεις. Ἐναφώσσωνα στόλον.] τὸν ἐννεάρμενον, ἢ τὸν μονάρμενον. ἢ ἐναφώσσωνα στόλον, τουτέστιν, ἀπὸ τῶν κινημάτων ἰαύστης καὶ παύσεις εἰς τὸν αἰγιαλὸν τὸν στόλον καὶ τὴν πορείαν σου τὴν φώσσωνα, ἤτοι τὴν δι᾽ ἀρμένων.

102. Καὶ τὴν ἄνυμφον πόρτιν.] καὶ τὴν πολύανδρον δάμαλιν. [1] Ἁρπάσας λύκος.] ἤτοι ἅρπαξ.

103. Δυοῖν πελειαῖν.] ὀρφανὴν καὶ ἔρημον οὖσαν τῆς γονῆς τῶν δύο περιστερῶν, ἤτοι Ἰφιγενείας, ἣν ἔσχεν ἐκ Θησέως, ὥς φησι Δοῦρις ὁ Σάμιος, καὶ Ἑρμιόνης, ἣν ἐκ Μενελάου γεννᾷ. ἥρπασε γὰρ ταύτην Θησεὺς πρῶτον ἁρπάσας, μετὰ τὸ τεκεῖν ἐξ αὐτῆς Ἰφιγένειαν, ἀφῃρέθη αὐτήν. δεύτερον ὁ Ἀλέξανδρος ἐντυχὼν αὐτῇ περὶ τὸν αἰγιαλὸν [2] θυσιάσῃ νεωστὶ ταῖς Βάκχαις καὶ τῇ Ἰνοῖ, ἁρπάσας αὐτήν, εἰς Αἴγυπτον ᾤχετο, κἀκεῖ αὐτῇ συνεγένετο.

104. Δευτέραν ἄρκυν.] εἰς δεύτερον δίκτυον. ἄρκυς δὲ κυρίως, δίκτυον πρὸς ἄρκτων θήραν ἁρμόδιον. Ὀθνείων βρόχων.] ξένων ἀγρευμάτων, ἑρμηνευτικαί εἰσιν αὗται αἱ λέξεις, ἄρκυς μὲν, ὅθεν ἕρκος λεγόμενον. βρόχος δὲ, ἀπὸ τῶν βρόχων, οἷς θηρεύουσι πέρδικας, καὶ ὄρνεις ἑτέρους.

105. Λῇτιν ἐμπλαίσασαν.] αἰχμάλωτον ἐξαρπάσασαν. Ἰξευτοῦ πτερῷ.] τῇ ταχύτητι τοῦ Ἀλεξάνδρου, ἢ τῷ πλοίῳ.

106. Θύστησι.] ταῖς Βάκχαις, παρὰ τὸ θύω, τὸ ὁρμῶ, Θύσταις λεγομέναις. Ἀρμοῖ.] νεωστί, ταχέως, ἀπὸ τοῦ ἅρμα, ἀρμοῖ. καὶ Αἰσχύλος ἐν Προμηθεῖ,

Ἀρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους.

Μηλάτων ἀπάργματα.] ἀπαρχὰς καὶ θυσίας προβάτων. μῆλον δὲ, τὸ πρόβατον, [3] Αἰολικῶς, παρὰ τὸ μέλω, τὸ φροντίζω, λεγόμενον, ποιμενικὸν γὰρ, καὶ γεωργικὸν ἔζων βίον οἱ παλαιοί.

107. Κρόκησι.] κρόκαις, αἰγιαλοῖς. κρόκη δὲ λέγεται ὁ αἰγιαλὸς, ἀπὸ τοῦ κάρω, τὸ κόπτω, καρόκη καὶ κρόκη, παρὰ τὸ θραύεσθαι καὶ κλᾶσθαι τὰ κύματα. Βύνῃ.] τῇ θεᾷ Λευκοθέᾳ, τῇ Ἰνοῖ, παρὰ τὸ δύω, τὸ κολυμβῶ, ὥς τινες φασίν· ἐγὼ δὲ, παρὰ τὸ βύω, τὸ κρύπτω, ὅθεν καὶ βυθὸς, καὶ Βυνώ. ἡ δὲ τῆς Ἰνοῦς ἱστορία τοιαύτη. πεσοῦσα μετὰ τοῦ παιδὸς αὐτῆς Παλαίμονος εἰς θάλασσαν, διὰ τὸ διώκεσθαι ὑπ᾽ Ἀθάμαντος, ἀπεπνίγη. ἐξεβλήθη δὲ περὶ Κόρινθον, [4] παρὰ [5] Σχοινοῦντα, ὑπὸ δελφῖνος. Ἀμφίμαχος δὲ, καὶ Δονακῖνος, ἀνελόμενοι τὰ σώματα, ἄγουσιν εἰς Κόρινθον. Σίσυφος δὲ, ἀδελφὸς ὢν Ἀθάμαντος, βασιλεύων Κορινθίων, ἀγῶνα, καὶ θυσίαν ἐπ᾽ αὐτῶν ἐτησίους ἐκέλευσε γίνεσθαι, ὅθεν καὶ θεοὺς αὐτοὺς κεκλήκασι, καὶ Λευκοθέαν ἀπὸ τοῦ τῆς θαλάσσης ἀφροῦ, τὴν Ἰνώ. ἣν δὲ Ἰνοῦς θυγάτηρ Εὐρυάλεια.

108. Θρέξεις.] [6] κυρίως θρέξαι, τὸ συμπῆξαι γάλα πρὸς τὸ τυροποιῆσαι λέγεται· νῦν δὲ ἀντὶ τοῦ πηδήσεις, ἢ ἄξεις. Σκάνδειαν.] πόλις Κυθήρων. [7] Αἰγίλου ἄκραν.] Πελοποννήσου ἀκρωτήριον.

109. Αἴθων ἐπακτήρ.] διάπυρος, ὀξὺς κυνηγὸς. Καγχαλῶν ἀγρεύματι.] τῇ θήρᾳ χαίρων. λέγει δὲ ἄγρευμα, τὴν Ἑλένην.

110. Νήσῳ δ᾽ ἐνὶ Δράκοντος.] νῆσον Δράκοντος τὴν Σαλαμῖνα λέγει· τὴν γὰρ Σαλαμῖνα πρότερον Δράκων κατεῖχεν, ἢ θεῖος, ἢ κύριον ὄνομα βασιλέως, ἢ Ἀσωπὸς κατά τινας ἐκ Θηβῶν ἐλθών. Κυχρεὺς δὲ, ὁ Ποσειδῶνος καὶ Σαλαμῖνος υἱὸς, ὥς φησιν Εὐφορίων, ἀνεῖλε τὸν Δράκοντα, καὶ τὴν Σαλαμῖνος βασιλείαν κατέσχεν. ἔτι γοῦν τὴν Σαλαμῖνα Δράκοντος εἴρηκε νῆσον, ἐν ᾗ φησιν, ἤτοι ἐν τῇ [8] Ἀττικῇ, ἐκχέας τὸν πόθον, ἤτοι μιγεὶς μετὰ τῆς Ἑλένης, τὸν ὅλον καὶ χθεσινὴν Κύπριν καὶ συνουσίαν ἐκ δευτέρου δευτέραν, ἅπαξ γὰρ αὐτῇ ἐν τῇ Ἀττικῇ συνεγένετο. ἁρπάσας δὲ αὐτὴν, οὐκ εὐθὺς εἰς τὴν Τροίαν ἀπέπλευσεν, ἀλλὰ δοκεῖ ὑπὸ τῶν Λακεδαιμονίων διωχθεὶς, καὶ ἐπὶ τὴν Αἴγυπτον ἔπλευσεν, ἔνθα ὑπὸ Πρωτέως αὐτὴν ἀφῃρέθη. ὁ δὲ Ἀλέξανδρος λαβὼν αὐτῆς εἴδωλον, ἐπὶ τὴν Τροίαν εἰσῆλθεν. τὴν δὲ σύνταξιν βλέπε εἰς τὸ [9] διάγραμμα.

EMENDATIONES.

1 Prius scriptum fuit, ἁρπάσας σὺ ὁ λύκος. 2 Prius scriptum fuit θυσιάσῃ αὐτῇ. 3 Αἰολικῶς pro Αἰτωλικῶς, ex Bar. & Grav. 4 Παρὰ pro περί, ex Seld. 5 Σχοινοῦντα, ex emendatione Nic. Gerbelii. Σχοινοῦντιαν impressi. Σχοινοῦντας MSS. Codd. 6 Ita emendavi, ex fide omnium MSS. Codd. & Thavorini: qui deinde pro ἄξεις, habet ἥξεις, ut etiam Grav. Cæterum prius ita scriptum erat, κυρίως θρέξαι τὸ συμπῆξαι &c. 7 Αἰγίλου pro Αἰγιαλοῦ. 8 Post Ἀττικῇ distinctionis notam sustuli. Prius autem legebatur ad Ἀττικῇ, deinde novæ periodus initium habuit hoc modo, ἐν τῇ Ἀττικῇ. Ἐκχέας τὸν πόθον] ἤτοι &c. 9 Ita emendavi monente Gerbelio, cum prius continuata oratione scriptum esset, διάγραμμα, καὶ ἐξῆς &c.

Ἀκτῆς διμόρφου γηγενοῦς σκηπτουχίας,
Τὴν δ' αὐτέραν ἕωλον οὐκ ὄψει Κύπριν,
Ψυχρὸν παραγκάλισμα, ᵃ κἐξ ὀνειράτων
Κεναῖς ἀφάσσων ὠλέναισι δέμνια.
Ὁ γάρ σε συλλέκτροιο Φλεγραίας ᵇ πόσις
Στυγνὸς Τορώνης, ᾧ γέλως ἀπέχθεται,
Καὶ δάκρυ· νῆις δ' ἐστὶ, καὶ τητώμενος
Ἀμφοῖν, ὁ Θρήκης ἔκ ποτ' εἰς ἐπακτίαν,
Τρίτωνος ἐκβολαῖσιν ἠλοκισμένην

Atticæ, quod eſt biformis terrigenæ regnum,
Alteram vanam non experière Venerem, *
Inane amplexamentum, & vacuis
E ſomno palpans ulnis cubile.
Nam te inviſus Phlegrææ conjugis
Maritus Toronæ, qui riſu abſtinet,
Et lacrymis, expers & carens
Utroque: qui è Thracia quondam in littoralem,
Nili ſulcatam excurſibus

VARIANTES LECTIONES.

a Κἐξ Bar. Seld. aliique. b Hæc in Seld. hoc modo diſtinguuntur, Πόσις στυγνὸς, Τορώνης ᾧ γέλως ἀπέχθεται.

111. Ἀκτῆς.] τῆς Ἀττικῆς τῶν Ἀθηνῶν. Ἀκτὴ δὲ λέγεται αἱ Ἀθῆναι, ὅτι Ἀκταῖος αὐτῆς ἐβασίλευσεν, ἢ ὅτι ἀκτή ἐστι, τουτέστι περιβεβλημένη, καὶ κειμένη τὸ πλεῖον μέρος εἰς θάλασσαν. τῆς Ἀττικῆς δὲ νῆσος ἡ Σαλαμίς. Διμόρφου γηγενοῦς σκηπτουχίας.] ἡ Ἀττικὴ γὰρ βασιλεία ἦν τοῦ Κέκροπος. ἐλθὼν γὰρ ἀπὸ * Σαΐεως, * πόλεως Αἰγύπτου τὰς Ἀθήνας συνῴκισε. Σάϊς δὲ κατ' Αἰγυπτίους ἡ Ἀθηνᾶ λέγεται, ὥς φησι Χάραξ. δίμορφον δὲ λέγουσι καὶ διφυῆ τὸν Κέκροπα, ἢ διὰ τὸ ἐκ τῶν τοῦ Δράκοντος ὀδόντων ἐξελθεῖν (οὗτος δὲ ἦν βασιλεὺς Ἀθηναίων) ἢ διὰ τὸ δύο ἀνδρῶν φυὴν καὶ μέγεθος ἔχειν. ἢ διὰ τὸ δύο φωνὰς ἐπίστασθαι, Αἰγυπτίαν, καὶ Ἑλληνίδα. ἢ ὡς λυρῳδοῦσιν, ὅτι τὰ ἄνω ἀνθρώπου, τὰ δὲ κάτω δράκοντος εἶχεν. ὁ ἀλληγορῶν ὁ Δημοσθένης φησὶν, ὅτι τὴν ἀλκὴν ὅμοιος τῷ δράκοντι, ἀνθρώπῳ δέ γε τὴν φρόνησιν. ἐγὼ δὲ οὕτως ἀλληγορῶ, ὅτι ἀγαθὸς βασιλεὺς γεγονὼς, πᾶσαν θηριωδίαν ἐθνῶν οὕτως ὑπέταξεν, ὡς μίαν σύμπνοιαν πάντας ἔχειν αὐτὸν καὶ ἀγαθὸν ἡγεμόνα καὶ αὐτοκράτορα. διὰ ταῦτα γοῦν αὐτὸν λέγουσι διφυῆ. ἢ ὡς εὗρον ἐν Ἰωάννῃ Ἀντιοχεῖ, ὅτι πρότερον αἱ καθ' Ἑλλάδα γυναῖκες θηριωδῶς, ὥσπερ τὰ ἄλογα, καὶ οὐ κατὰ συζυγίαν, ἐμίγνυντο. οἱ παῖδες τότε μονοφυεῖς ἦσαν, μητέρα γὰρ μόνην, πατέρα δ' οὐκ ἐπεγίνωσκον. βασιλεύσας δ' ὁ Κέκροψ τῆς Ἀττικῆς, κατέπαυσε τὸ θηριῶδες τῆς μίξεως, καὶ ἀνδράσι νομίμως ἐποίησε τὰς γυναῖκας συνάπτεσθαι. ἐπεὶ γοῦν ἐκ τούτου οἱ παῖδες πατέρα καὶ μητέρα ἐγνώρισαν, τοὺς αἰτίους αὐτῶν τῆς γεννήσεως, δύο τυγχάνοντας φύσεων, διφυὴς καὶ ὁ Κέκροψ ἐκλήθη, ὡς τοῦτο ποιήσας [1] αὐτοῖς. * Γηγενοῦς σκηπτουχίας.] γηγενεῖς λέγει τοὺς Ἀθηναίους, ἐπειδὴ ἐκ τῶν Ἐριχθονιδῶν ἔχουσι τὸ γένος. τὸν γὰρ Κάδμον φασὶ σπείραντα ἐν τῇ γῇ δρακοντείους ὀδόντας, καὶ ἀναφῦναι τοὺς Ἐριχθονίδας. * Γηγενοῦς.] ὅτι ὁ Ἐριχθόνιος ἐκ τῆς Γῆς, ὥς φασιν, ἀνεδόθη. Ἀθηνᾶς γὰρ ἐλθούσης πρὸς Ἥφαιστον, ἕνεκεν ὅπλων κατασκευῆς, ἐρασθεὶς Ἥφαιστος ἐδίωκε. καταλαβὼν δὲ, ὡς ἀντέπιπτεν αὐτῷ, περὶ τοὺς μηροὺς αὐτῆς ἀπεσπέρμηνεν, ἡ δὲ μυσαχθεῖσα, ἐρίῳ εἰς γῆν τὸν γόνον ἀπέξεσεν, ἀνεδόθη δὲ ὁ Ἐριχθόνιος, ἀπὸ τοῦ ἐρίου κληθεὶς καὶ τῆς χθονὸς, ὅθεν πάντας Ἀθηναίους γηγενεῖς φάσκουσιν ἀπὸ τούτου. ἄλλοι δὲ φασὶν, ὅτι λυπρόγεως ἡ Ἀττική, καὶ οὐδέποτε ὑφ' ἑτέρων ἐθνῶν ἐξηλάθησαν οἱ ἐν αὐτῇ, διὰ τὸ ἄζηλον τῆς αὐτῶν χώρας, ὅθεν αὐτοὺς αὐτόχθονας καὶ γηγενεῖς ἔφασαν. Καὶ τὸ περὶ Ἀθηνᾶς καὶ Ἡφαίστου οὕτως ἐστίν· Ἀθηνᾷ τινὶ βασιλίδι, τῇ καὶ Βελονίκῃ λεγομένῃ, θυγατρὶ δὲ [2] Βρεττίου ὑπαρχούσῃ, Ἥφαιστος γάμῳ μιγεὶς, γεννᾷ Ἐριχθόνιον, ὃς ἐβασίλευσεν Ἀττικῆς. πολλαὶ γὰρ ἦσαν καὶ Ἀθηναῖ, καὶ Ἀφροδῖται, καὶ ἡ μία. τοῦτο δὲ μυθικὸν, ὡς καὶ τὰ λοιπὰ τῶν ὀνομάτων.

113, 114. Ψυχρὸν παραγκάλισμα.] διὰ ψυχρὰν περιπλοκὴν καὶ [3] ὀνειρώδη ματαίαις ὠλέναις ἀφάσσων καὶ ψηλαφῶν τὴν κοίτην. λέγουσι γὰρ, ὅτι διερχομένῳ Ἀλεξάνδρῳ διὰ Αἰγύπτου ὁ Πρωτεὺς Ἑλένην ἀφελόμενος, εἴδωλον Ἑλένης [4] αὐτῷ δέδωκεν, * καὶ οὕτως ἔπλευσεν εἰς Τροίαν, * ὥς φησι Στησίχορος·

Τρῶες, οἳ τότ' [5] ἦσαν Ἑλένης εἴδωλον ἔχοντες.

115, 116. Φλεγραίας.] Θρᾳκικῆς, ὅτι ἐκεῖσε οἱ γίγαντες ἐφλέχθησαν. Πόσις στυγνὸς Τορώνης.] ἀνὴρ κατηφὴς, καὶ ἀγέλαστος τῆς Τορώνης. ἡ Τορώνη δὲ, γυνὴ Πρωτέως. ἡ δὲ σύνταξις καθ' ὑπέρβατον, ἀπὸ τοῦ, Ὁ γάρ σε συλλέκτροιο, μέχρι τοῦ, Λίπτοντα χάρωνς ἐκβαλὼν πελειάδος· συνταχθήσονται δὲ τὰ διαγράμματα. Ὧ γέλως ἀπέχθεται, καὶ δάκρυ.] ᾧ τινι Πρωτεῖ καὶ ὁ γέλως μισεῖται, καὶ τὸ δάκρυον.

117. Νῆις.] ἄπειρος ἐστὶ, καὶ τητώμενος καὶ [6] στερισκόμενος ἀμφοῖν, ἤτοι γέλωτος, καὶ δακρύου.

118. Ὁ Θρήκης ἔκ ποτε.] ὁ ἐκ τῆς Θρᾴκης περάσας ποτὲ εἰς τὴν ἐπακτίαν, καὶ [7] αὐξανομένην χέρσον. λέγει δὲ τὴν Αἴγυπτον, αὔξεται γὰρ ὑπὸ τῆς καλασυρομένης ἰλύος τοῦ Νείλου.

119. Τρίτωνος ἐκβολαῖσι.] τοῦ Νείλου ταῖς ἐκχύσεσι, καὶ ταῖς ἀναβάσεσιν. Τρίτων, ὁ Νεῖλος, ὅτι τρεῖς μετωνομάσθη. πρότερον γὰρ Ὠκεανὸς ἂν ἐκαλεῖτο· δεύτερον ἀετὸς, ὅτι ὀξέως ἐπιρρέουσι· τρίτον Αἴγυπτος. τὸ δὲ Νεῖλος νέον ἐστὶ, ἐτυμολογούμενον ἀπὸ [8] τοῦ νέαν κατάγειν ἰλὺν, καὶ χερσοῦν τὸ πέλαγος, * γέγονε Νέϊλος κατὰ συναίρεσιν Νεῖλος. ἢ ὥσπερ ἀπὸ τοῦ πίθος γίνεται πίθηλος, καὶ ἀπὸ τοῦ Τρὼς Τρώϊλος, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ νέος, Νέϊλος, καὶ Νεῖλος. ἢ ἐπειδὴ οἱ Δωριεῖς γράφουσι διὰ τοῦ η, τὰς γὰρ ει δίφθογγα οἱ Δωριεῖς εἰς η τρέπουσιν, οἷον, πλειῶν πληῶν, μειῶν μηῶν. ἢ πρὸς ἀναλογίαν ἡμερῶν τοῦ ἐνιαυτοῦ, οἱ γὰρ περὶ Νεῖλον οἰκοῦντες ἐφεῦρον, φασὶν, τὴν ψῆφον τῶν ἡμερῶν τοῦ ἐνιαυτοῦ. * Ἠλοκισμένην.] οἱ μὲν λοιποὶ ἀρδευομένην εἶπον. ἐγὼ δὲ χαυνουμένην καὶ χερσουμένην, ὡς εἶπον, ὑπὸ τῆς καλασυρομένης ἰλύος. ἡ γὰρ Αἴγυπτος, ὥς φησι Διόδωρος, καὶ Ἡρόδοτος, καὶ πάντες, πέλαγος ἦν. οὕτω δὲ ἐχερσώθη, καὶ χερσοῦται ταῖς ἐκβολαῖς τῆς ἰλύος. οὕτω ἐγὼ τὸ ἠλοκισμένην λέγω, ἀντὶ τοῦ χαυνωμένην. ἄλοξ γὰρ, ἡ αὖλαξ, ἤτοι ἡ γῆ.

EMENDATIONES.

* Ex omnibus MSS. 1 Αὐτοῖς, pro αὐτῆς, ex Bar. & Grav. * Ex Seld. 2 Βρεττίου Grav. 3 Ὀνειρώδη, pro ὀνειρώδην, ex Seld. 4 Αὐτῷ, pro αὐτοῦ, Ex Grav. * Ex Bar. & Grav. 5 Ἦσαν, pro ἴσαν, ex Grav. 6 Στερισκόμενος, pro στεριστκόμενος, ex omnibus MSS. 7 Ita reſtitui ex Seld. αὐξανομένην χέρσον, λέγει δὲ &c Bar. αὐξανομένην. Χέρσον.] λέγει δὲ τὴν Αἴγυπτον Impreſſi. 8 Τοῦ νέαν, pro τοῦ νέος, ex utroque MSS. & Thaverno. * Hæc addo ex Seld.

120. Οὐχ'

Χέρσον περάσας, οὐχὶ [a] ναυάτῃ στόλῳ,	Terram trajecit, non navali profectione,
Ἀλλ' ἀστίβητον οἶμον, οἷά τις [b] σιφνεύς,	Sed invia via, sicut talpa,
Κευθμῶνος ἐν σήραγγι [c] τετρήνας μυχούς,	In hiatu cavernæ perforatis sinubus,
[d] Νέρθε θαλάσσης ἀτραποὺς διλινύσας,	Subter mare iter faciens,
Τέκνων ἀλύξας τὰς ξενοκτόνους πάλας,	Liberorum hospicidas fugiendo luctas,
Καὶ πατρὶ πέμψας τὰς ἐπηκόους λιτάς,	Patrique preces fundendo impetrabiles,
Στῆσαι παλίμπουν εἰς πάτραν, ὅθεν πλάνης	Ut se reducem sisteret in patriam, ex qua erro
[e] Παλληνίαν ἐπῆλθε, γηγενῶν τροφόν.	In Palleniam venerat, nutricem gigantum:
Κεῖνός σε, Γουνεὺς [f] ὥσπερ ἐργάτης δίκης,	Ille te, tanquam Guneus justitiæ minister,
Τῆς θ' Ἡλίου θυγατρὸς Ἰχναίας βραβεύς,	Et Ichnææ, Solis filiæ, præses,
[g] Ἐπεσβολήσας λυγρά, νοσφιεῖ γάμων,	Acerbè conviciatus, nuptiis privabit,
Λίπτοντα [h] χάσσης ἐκβαλὼν πελειάδος·	Prurientem à meretrice columba depellens:
Ὅς [h] τοὺς Λύκου τε, καὶ Χιμαιρέως τάφους	Qui nec Lyci, & Chimærei sepulcra
Χρησμοῖσι κυδαίνοντας οὐκ αἰδούμενος,	Ex oraculis venerantes veritus,

VARIANTES LECTIONES.

a Ναυβάτῃ Bar. b Σιφνεὺς Seld. c Τετρήνας μυχὸς Νέρθε θαλάσσης. ἀτραποὺς διλινύσας Seld. διλινύσας etiam habent Bar. aliique. d Al. Νέρθεν cum ν finali. e Παλληνίαν τ' ἐπῆλθε Seld. f Al. ὥσπερ. g Ἐπεσβολήσας λυγρῶς νοσφιεῖ γάμων Bar. h Κάσσης ἐμβαλὼν corrupte legit Barinus Camers. i Τοῦ Λύκου τε Seld. aliique.

120. Οὐχὶ ναυάτῃ στόλῳ.] οὐ τῇ πλοίων πορείᾳ.

121. Ἀλλ' ἀστίβητον οἶμον.] ἀλλ' ὥς τις διελύσει καὶ ἐπορεύθη ἀτραποὺς καὶ ὁδούς.

122. Κευθμῶνος ἐν σήραγγι τετρήνας μυχούς.] [1] ἐν τῷ τοῦ κρυπτοῦ καὶ καταδύσεως τόπου σήραγγι περὶ κοίλῳ τόπῳ τετρήσας σπήλαια.

123. Νέρθεν θαλάσσης.] ἤτοι [2] ὑποκάτωθεν, ὄντα θαυμαστικὸν ἀστίβητον οἶμον, οἷά τις σιφνεύς, ὥσπερ τις ἀσπάλαξ, ὅπερ ἐστὶ ζῷον ὅμοιον μυΐ, ἀνορύσσων δὲ τὴν γῆν, καὶ κοιλαίνων αὐτήν. τὸ δὲ νέρθε χωρὶς τοῦ ν δεῖ γράφειν, κατὰ τὸν κανόνα, ὃν πρώην ἐδίδαξα. ἔστι δὲ κοινὴ συλλαβὴ, καὶ δέχεται μακρόν.

124. Ἀλύξας.] ἐκφυγὼν τὰς ξενοκτόνους παλαίστρας τῶν [3] αὐτοῦ τέκνων. ἡ δὲ ἱστορία ἐστὶν αὕτη. Πρωτεὺς Ποσειδῶνος υἱὸς, τὸ γένος Αἰγύπτιος, εἰς Φλέγρας τῆς Παλλήνης [4] καὶ Θρᾴκης ἐλθὼν ἐξ Αἰγύπτου, Τορώνην γαμεῖ, ἐξ ἧς αὐτῷ παῖδες, [5] Τμῶλος καὶ Τηλέγονος, οἱ καταπαλαίοντες τοὺς ξένους ἀνῄρουν. ὧν τὴν ξενοκτονίαν μὴ φέρων Πρωτεὺς, ηὔξατο τῷ αὐτοῦ πατρὶ Ποσειδῶνι, πάλιν καταστῆσαι αὐτὸν εἰς τὴν Αἴγυπτον. ὁ δὲ ὑποχώσας αὐτῷ, σπήλαια ἐκ τοῦ χάσματος τῆς Παλλήνης ποιήσας ὑποκάτω τῆς θαλάσσης, οὕτως διήγαγεν αὐτὸν ἀβρόχως μέχρι Αἰγύπτου. Ἡρακλῆς δὲ ἐπὶ Θρᾴκην διερχόμενος, καὶ καταπαλαίσας, ἀνεῖλε τὸν Τμῶλον καὶ τὸν Τηλέγονον. ὅπερ μαθὼν ὁ Πρωτεὺς, ὁ τούτων πατὴρ, οὐ γελᾷ μὲν, ὅτι παῖδες ἦσαν [6] αὐτοῦ· ὅτι δὲ ξενοκτόνοι, οὐδὲ δακρύει. τὸ δ' ἀληθὲς οὕτως ἔχει· μὴ φέρων ὁ Πρωτεὺς τὰς ξενοκτονίας αὐτῶν, ἔξεψεν αὐτὸν κατά τι χάσμα τῆς Παλλήνης, καὶ ἀναχθεὶς, οὔτε δακρύει, οὔτε γελᾷ. τὰ δὲ λοιπὰ εἰς μῦθον ἐξεπλάσθησαν.

125, 126, 127. Πατρὶ πέμψας τὰς ἐπηκόους λιτάς.] τῷ Ποσειδῶνι πέμψας τὰς εὐχὰς, ἃς ἐπήκουε, τὸ στῆσαι αὐτὸν παλίμπουν καὶ ὑποστρέψαντα εἰς πάτραν, ἤτοι τὴν Αἴγυπτον, ὅθεν, ἀπὸ τῆς Αἰγύπτου, πρώην πλάνης καὶ πλανώμενος ἐπῆλθεν εἰς τὴν Παλληνίαν καὶ εἰς τὴν Παλλήνην, τὴν τροφὸν τῶν γιγάντων, ὡς εἶπον.

128. Κεῖνός σε, Γουνεύς.] τὸ ἑξῆς οὕτως· ἐκεῖνος ὁ Πρωτεὺς, ὥσπερ ὁ τῆς δίκης ἐργάτης Γουνεὺς, στερήσει σε τῶν γάμων τῆς συλλέκτρου Ἑλένης. ὁ δὲ Γουνεὺς οὗτος, Ἀρκὰς ἦν τὸ γένος, πάνυ δικαστὴς δικαιότατος, καὶ τοὺς ἀρπακτῆρας μισῶν καὶ τιμωρῶν, ὅστις διὰ δικαιοσύνην στασιάζοντας ποτὲ τοὺς Βαβυλωνίους καὶ Φοίνικας, ἐλθὼν [7] μετήλλαξεν αὐτοὺς, κληθεὶς ὑπὸ Σεμιράμιδος. τούτῳ γοῦν τῷ Γουνεῖ εἰκότως παρεικάζει τὸν Πρωτέα, ὡς δικαίως τὴν Ἑλένην ἀφελόμενον ἀπὸ Ἀλεξάνδρου.

129. Ἰχναίας.] ἡ Θέμις Ἡλίου θυγάτηρ, διότι καὶ αὐτὸς πάντας ἐφορᾷ, καὶ πάντων ἐπακούει, ὅθεν Ἰχναία, διὰ τὸ κατ' ἴχνος καὶ κατὰ πόδας τῶν γιγάντων ἕπεσθαι, καὶ λάμπειν δίκην Ἡλίου. ἢ διὰ τὸ λαμπρὸν τοὺς αὐτὴν κεκλημένους, διότι εἰς γῆν ἀνεπέθησαν.

131. Λίπτοντα.] ἐπιθυμοῦντα. Κάσσης ἐκβαλὼν πελειάδος.] τῆς πόρνης χωρίσας σε περιστερᾶς, λέγει δὲ τὴν Ἑλένην.

132, 133, 134. Εἰπὼν ἄνω ὅτι δικαίως ἀφείλετο τὴν Ἑλένην ὁ Πρωτεὺς παρὰ Ἀλεξάνδρου, νῦν λέγει τὴν ἀδικίαν τοῦ Ἀλεξάνδρου, καὶ φησὶν, ὅτι οὐκ αἰδούμενος τοὺς Λάκωνας, τοὺς τιμήσαντας κατὰ χρησμὸν τοὺς τάφους τῶν συγγενῶν ὑμῶν, Λύκου τε, καὶ Χιμαιρέως, οὐδὲ τὸν Αἰθίοπος τοὺς ἔρωτας, ὅν τε νῦν ἀνελὼν, διεσώθη ὑπὸ τοῦ Μενελάου· οὐδὲ τὸν [8] Αἰγαίωνος πάγον, τὸν ξένιον σύνδεσμον, ἐκαρτέρησας ἐν τῇ δίκῃ τῶν θεῶν ἁμαρτεῖν, καὶ τὴν Ἑλένην αἱρετίσασθαι. λέγει δὲ δίκην

EMENDATIONES.

1 Ita Seld. ἐν τῷ τοῦ κρυπτοῦ καὶ καταδύσεως σήραγγι Bar. & Grav. ἐν τῷ τοῦ κρυπτοῦ καὶ κοιλοτάτου τόπου, σήραγγι Impressi. 2 Ὑποκάτωθεν, pro ὑπὸ κάτωθεν, ex Grav. 3 Αὐτοῦ, pro αὐτῶν, ex utroque MSS. 4 Καὶ Θρᾴκης, pro ἐκ Θρᾴκης, ex omnibus MSS. 5 Τμῶλος, pro Τμύλος ex Grav. paulo post, Τμῶλον reposui, pro Τμύλον. Protei enim filio nomen Tmolo erat. 6 Αὐτοῦ, pro αὐτῶν, ex omnibus MSS. 7 Κατήλλαξε Grav. quod rectius videtur. 8 Αἰγαίωνος πάγον, pro Ἀλεξάνδρου, sensu id exigente.

Οὐδ' Ἀνθέως ἔρωτας, οὐδὲ τὸν ξένοις	Nec amores Anthei, nec hospitum
Συνδόρπον, Αἰγαίωνος ἁγνίτην πάγον,	Convivam, Neptunium, purum salem,
Ἔτλης θεῶν ἀλοιτὸς ἐκβῆναι [a] δίκην,	Ausus es divinum, scelestè, jus transgredi,
Λάξας τράπεζαν, [b] κἀνακυπώσας θέμιν,	Percellens jus mensæ, & justitiam evertens,
Ἄρκτου τιθηνῆς ἐκμεμαγμένος τρόπους.	Ursæ nutricis mores exprimendo.
[c] Τοιγὰρ ψαλάξεις εἰς κενὸν νευρᾶς κτύπον,	Frustrà igitur chordarum ciebis strepitum,
Ἄσιτα κἀδώρητα φορμίζων μέλη·	Jejuna modulans, & irremunerata carmina:
Κλαίων δὲ πάτραν, τὴν πρὶν ἠθαλωμένην,	Sed lacrymans in patriam antè combustam
Ἵξῃ, χεροῖν εἴδωλον ἠγκαλισμένος·	Redibis, imaginem ferens manibus

VARIANTES LECTIONES.

a Al. δίκης. b Al. κἀνακυκώσας. c Al. Τοίγαρ. at Bar. habet τοὶ γάρ. d Al. ἴξῃ.

τῶν μαλλομένων θεῶν, Ἥρας, Ἀθηνᾶς, Ἀφροδίτης, διὰ τὸ μῆλον. ἡ δὲ ἱστορία ἐστὶν οὕτως. Τοὺς Λύκον τε καὶ Χιμαιρέας.] οὗτοι παῖδες ἦσαν τῆς Ἄτλαντος θυγατρὸς [1] Κελαινοῦς, καὶ Προμηθέως, ἔκειντο δὲ ἐν τῇ Τροίᾳ. λοιμοῦ δὲ κατασχόντος Λακεδαιμονίους, καὶ μαντευομένων αὐτῶν, ἔχρησεν ὁ Ἀπόλλων θεὸς, μὴ παυθῆναι τὸν λοιμὸν, εἰ μὴ εὐγενὴς Λακεδαιμονίων ἀπελθὼν ἐν τῇ Τροίᾳ θύσει [2] ἐν τοῖς τάφοις αὐτῶν. οἱ δὲ ἀπέστειλαν Μενέλαον ἐκτελέσοντα τὸν χρησμόν. ἀπελθόντος δὲ, καὶ θύοντος τοῦ Μενελάου, ἐξενώθη Ἀλεξάνδρῳ. ἀκούσας δὲ Ἀλέξανδρος πλήξας παιγνίῳ καὶ ἀνελὼν [3] Ἀνθέα, υἱὸν ὡραῖον Ἀντήνορος, ὃν ἦν ἐρῶν Ἀλέξανδρος αὐτός τε καὶ Δηΐφοβος, καὶ φοβηθεὶς, ἀπῄει μετὰ Μενελάου εἰς τὴν Σπάρτην, καὶ συμφαγὼν αὐτῷ τὸν νενομισμένον ἅλα παρατίθεσθαι ταῖς ξενίαις τραπέζαις, ἁρπάσας τὴν Ἑλένην μετὰ καὶ [4] τινῶν ταλάντων χρημάτων, καὶ πέντε θεραπαινίδων γυναικῶν, (ὧν μία ἦν Αἴθρα, ἡ μήτηρ Θησέως) διὰ Σιδῶνος καὶ Αἰγύπτου ποιησάμενος τὸν ἀπόπλουν, ὁλοκλήρῳ τῷ χρόνῳ εἰς τὴν Τροίαν [5] κατῆρεν. ὀνειδίζει οὖν Ἀλέξανδρον, ὡς ἀντὶ τῆς εὐεργεσίας κακὰ διαπραξάμενον τῷ Μενελάῳ. ἅλα δὲ ἐτίθουν οἱ παλαιοὶ ἐν ταῖς τῶν ξενίων καταρχαῖς, συμβολικῶς ἐπευχόμενοι, ὥσπερ ἅλς ἐκ δύο φύσεων, τῆς ὑδατώδους καὶ γεηρᾶς, εἰς μίαν φύσιν ἐπάγεται τοῦ ἁλὸς, οὕτω παγιῶσαι καὶ τούτους εἰς μίαν ὁμόνοιαν * καὶ φιλίαν *.

135. Αἰγαίωνος.] τοῦ Ποσειδῶνος, ἀπὸ τοῦ ἐν Αἰγαῖς, πόλει τῆς Ἀχαΐας, καὶ ἐν τῷ Αἰγαίῳ πελάγει τιμᾶσθαι. Αἰγαῖον δὲ τὸ πέλαγος ἐκλήθη, ὅτι δίκην αἰγὸς ἅλματα τῶν κυμάτων) Ἁγνίτην πάγον.] τὸν ἅλα, διὰ τὸ πιθανῶς ἐν ἀρχαῖς τῶν ξενίων, καὶ ἁγνίζειν καὶ καθαίρειν τοὺς φιλουμένους. ἢ ὅτι τὸ ἁλυκὸν καὶ θαλάσσιον ὕδωρ καθαρτικώτερον φύσει τοῦ γλυκέος, καθάπερ ἄλλοις δοκεῖ, καὶ οὐκ ἔμοιγε. ἢ διὰ τὸ ἀφανίζειν. καὶ παροιμία,

Θάλασσα κλύζει πάντα τ' ἀνθρώπων κακά.

Πάγον δὲ, διὰ τὸ πεπῆχθαι ἐξ ὕδατος· ὁ γὰρ Ποσειδῶν ἐστὶ τῆς θαλάσσης ἔφορος, ἧς πηγνυμένης οἱ ἅλες γίνονται), ὅθεν ὁ πάγος.

136. Ἔτλης θεῶν.] ἐγὼ μὲν οὕτω φημὶ, ὅς γε σὺ οὐκ αἰδεσθεὶς τοὺς τιμήσαντας τοὺς τάφους Λύκου, καὶ Χιμαιρέως, (λέγει δὲ Μενέλαον, καὶ τοὺς μετ' αὐτοῦ Λάκωνας) οὔτε τοὺς Ἀνθέως ἔρωτας, καὶ τόδε, καὶ τόδε ἔτλης, [6] ὑπέμεινας ὁ ἀλοιτὸς καὶ ἁμαρτωλὸς, ἐκβῆναι καὶ πατῆσαι τὴν δίκην τῶν θεῶν, ἤγουν ἠδίκησας τὸν Μενέλαον, τὸν καθάραντά σε τοῦ φόνου, καὶ ξενίσαντα, ἀφελόμενος τὴν ἐκείνου γυναῖκα. οἱ δὲ λοιποὶ δίκη χωρὶς τοῦ ν γράφουσι, λέγοντες οὕτω, ὡς τόδε, καὶ τόδε ποιήσας, ἔτλης ἐκβῆναι ἀλοιτὸς καὶ ἁμαρτωλὸς, ὅτι παρ' ἐκείνων γέγονας ἐν τῇ δίκῃ τῶν θεῶν, Ἥρας φημὶ, Ἀφροδίτης, καὶ Ἀθηνᾶς. Τοῦτο δὲ ἀνοίας ἀνάμεστον, μετὰ γὰρ τὸ φαγεῖν ἐν τοῖς [7] οἴκοις Μενελάου, οὐκ ἔκρινεν Ἀλέξανδρος τὰς θεὰς, ἀλλὰ πρότερον.

137. Λάξας τράπεζαν.] λακτίσας ὡς ὄνος τὴν τράπεζαν τοῦ Μενελάου, τουτέστι καταφρονήσας τῶν νόμων τῶν [8] κειμένων, καὶ ἐθῶν, τῶν δηλούντων μὴ κακουργεῖν τοὺς ὁμοτραπέζους, καὶ συνεστίους. σὺ γὰρ ξενωθεὶς, καὶ συμφαγὼν αὐτῷ, ἀφεῖλες καὶ τὴν γυναῖκα. Κἀνακυπώσας θέμιν.] καὶ ἀναστρέψας τὸ δίκαιον. κατὰ τὸ μυθικὸν, ἡ Θέμις θεὰ δικαιοσύνης ἔφορος.

138. Ἄρκτου τιθηνῆς.] τρόπους ἄρκτου θηλαζούσης ἀναμαξάμενος, ὅπερ λαβών. ὅτι γὰρ θηλάζουσι τὰ θηρία, φυλακῇ τῶν τέκνων ἀγριώτερα γίνονται. ἢ οὕτω, τοὺς ἄρκτου τῆς θηλασάσης σε λαβὼν τοὺς τρόπους, τουτέστι θηριώδης καὶ ἄδικος φανεὶς περὶ τὸν Μενέλαον. φασὶ γὰρ, ὅτι μετὰ τὸ φανέντα ὄνειρον τῇ Ἑκάβῃ περὶ Ἀλεξάνδρου, Ἀρχελάῳ οἰκέτῃ Πρίαμος δίδωσιν ἐκθεῖναι τὸν Ἀλέξανδρον ἐν Ἴδῃ. πέντε δὲ ἡμέρας τοῦτον ἄρκτος ἐθήλαζεν [9] ἐκκείμενον, εἶτα πάλιν ὁ Ἀρχέλαος τοῦτον ἀνελόμενος ἐπὶ τῆς χώρας ὡς ἴδιον ἔτρεφε, Πάριν κατονομάσας. ὕστερον δὲ ποιμνίοις ἀλεξήσας ἀπὸ λῃστῶν, Ἀλέξανδρος ἐκλήθη.

139. Τοιγὰρ ψαλάξεις.] διὰ τοῦτο, τοιγαροῦν, διὰ τὸ ἄδικον γενέσθαι σε, εἰς κενὸν ψαλάξεις καὶ κινήσεις. Νευρᾶς κτύπον.] τουτέστι τὸ μέλος. ἔστι δὲ τὸ σχῆμα σεμνότερον, λέγεται δὲ [10] ἀπὸ παροιμίας κιθαριστῶν ἀσίτως καὶ ἀδώρως κιθαριζόντων, ὅπερ ἐστὶν αὕτη, Εἰς κενὸν κρούεις τὰς χορδάς.

141. * Κλαίων δὲ πάτραν.*] κλαίων δὲ ἵξῃ καὶ παραγενήσῃ εἰς τὴν πατρίδα σου Τροίαν, τὴν πρὶν ὑφ' Ἡρακλέους καυθεῖσαν ἕνεκεν τῆς ὑποσχέσεως, καὶ τῆς ἀπάτης τῶν ἵππων τοῦ Λαομέδοντος.

142. Χεροῖν εἴδωλον ἠγκαλισμένος.] ἐν ταῖς χερσὶ κατέχων τὸ εἴδωλον τῆς Ἑλένης, ὃ ὁ Πρωτεύς σοι δοὺς, τὴν Ἑλένην κατέσχε.

EMENDATIONES.

1 Sic lego cum *Seld.* Κελαινοῦς *Bar.* & *Grav.* Κελαινὰς *Impressi.* 2 Ἐν τοῖς τάφοις, pro τοῖς τάφοις, ex *Seld.* 3 Ἀνθέα, υἱὸν ὡραῖον Ἀντήνορος reposui, pro Ἀνθέα ὡραῖον, υἱὸν δὲ Ἀντήνορος, praeeunte utroque *MSS.* Ἀνθέας υἱὸν ὡραῖον *Grav.* 4 Τῶν ἱκανῶν *Grav.* 5 Κατῆρεν, pro ἀνῆγεν, ex omnibus *MSS.* * Ex *Grav.* 6 Ὑπέμεινας, pro ἐπέμεινας, ex *Grav.* 7 Οἴκοις substitui, pro ἔργοις, ex *Grav.* 8 Κειμένων, pro κεκρημένων, & linea sequente, συνεστίους, pro συνεστίας, ex *Grav.* 9 Ἐκκείμενον, pro ἐγκείμενον, ex *Grav.* 10 Ἀπὸ παροιμίας, pro ὑπὸ παροιμίας, ex omnibus *MSS.* * Ex utroque *MSS.*

Τῆς πενταλέκτρου Θυάδος Πλευρωνίας.
Γυιαὶ γὰρ ἀναστῆρες ἄμναμοι τριπλαῖς
Πηναῖς κατεκλώσαντο δειναιᾶς Ἁλός,
Νυμφεῖα πεντάγαμβρα δαίσασθαι γάμων.
Δοιὼ μὲν ἁρπακτῆρας αὐγάσαι λύκους,
Πτηνοὺς τριόρχας αἰετοὺς ὀφθαλμίας.
[a] Τὸν ἐκ Πλυνοῦ τε, κἀπὸ Καρικῶν ποτῶν

Quinqueviræ Bacchæ Pleuroniæ.
Claudæ namque Maris antiqui filiæ
Triplicibus nevere ſtaminibus, ut à maritis
Quinque celebrarentur nuptiarum ſponſalia.
Ac duos quidem videat raptores lupos,
Volatiles triorchas aquilas oculatas:
Alium verò ex Plyni, & Caricorum laticum

VARIANTES LECTIONES.

a Τὸν δ' *Sold.* aliique. Τὸν τ' *Bar.* quam lectionem in *Scholiis* uterque MSS. habet.

143. Πενταλέκτρου τῆς Θυάδος, ἤτοι τῆς Βάκχης, τὴν Ἑλένην καλεῖ. πέντε γὰρ ταύτην ἔγημαν ἄνδρες· πρῶτος Θησεὺς ἐπλάσατο ταύτην ἁρπάσας, καθά φησι Δοῦρις ὁ Σάμιος, ἀφαιρεθεὶς δὲ αὐτὴν ἐν τῷ ἐπιδημῆσαι ὑπὸ Πολυδεύκους καὶ Κάστορος, τῶν αὐτῆς ἀδελφῶν, ἐν Ἀφίδναις, [1] πολιχνίῳ τῶν Ἀθηνῶν, γεννήσασαν Ἰφιγένειαν, ἣν Ἰφιγένειαν καὶ θετὴν παῖδα ἡ Κλυταιμνήστρα ποιεῖται. εἷς μὲν οὖν νυμφίος Ἑλένης, ὡς ἔφημεν, ὁ Θησεύς. δεύτερος Μενέλαος, νομίμως ταύτην ἐκ κλήρου λαβών. τρίτος Ἀλέξανδρος, ἁρπάσας αὐτήν. τέταρτος μετὰ θάνατον Ἀλεξάνδρου, Δηΐφοβος, ὁ αὐτοῦ ἀδελφὸς, ἀριστεύσας κατὰ πόλεμον, καὶ ταύτην ὡς ἀριστεῖον καλά τινες λαβών, ἢ βίᾳ, κατ' Εὐριπίδην. πέμπτος Ἀχιλλεὺς, μετὰ Δηΐφοβον ὀνείρῳ ταύτῃ μιγεὶς, ὡς ληροῦσι. ἔθος εἶχον οἱ παλαιοὶ, ὡς καὶ Καλλίμαχος ἱστορεῖ, μετὰ κιθάρας περὶ τὰς ἅλας ἰέναι, καὶ ἀνυμνεῖν, καὶ ἐγκωμιάζειν. Θυάδος.] Βάκχης, παρὰ τὸ θύω, τὸ ὁρμῶ. αἱ δὲ Βάκχαι γυναῖκες ἦσαν ἱεραὶ, [2] περίπολοι Διονύσου. αἵτινες περὶ τὰ ὄρη σὺν αὐτῷ ἀναστρεφόμεναι, [3] περιῆγον οἰκείαις χερσὶ λέοντας, καὶ ἕτερα θηρία, καὶ ὠμὰ ταῦτα ἤσθιον, καὶ νάρθηξι τὴν γῆν, καὶ τὰς πέτρας παίουσαι, ὁπότε διψῷεν, γάλα, καὶ μέλι, καὶ οἶνον ἐποίουν ἀναβλύζειν. δράκοντας δὲ περὶ τὰς κόμας εἶχον [4] ἐσπειραμένους. Πλευρωνίας.] [5] ἀντὶ τοπικῶς, τῆς Ἀργείας· Πλευρὼν γὰρ, πόλις Πελοποννήσου, καὶ Θεράπνη ὁμοίως. ὅθεν Ὀρφεὺς, καὶ Τρυφιόδωρος Θεραπναίαν καλοῦσι τὴν Ἑλένην, οὗτος δὲ ὁ Λυκόφρων Πλευρωνίαν, ὁ δὲ Ὅμηρος Ἀργείαν.

144. Γυιαὶ γάρ.] αἱ χωλαὶ, ἢ κατ' ἐμὲ, αἱ χωλοποιοὶ, καὶ βλαπτικαὶ Μοῖραι, αἱ ἄμναμοι καὶ ἀπόγονοι τῆς Τηθύος, ἤτοι τῆς θαλάσσης, ἐν τοῖς τρισὶν ἀτράκτοις κατεκλώσαντο καὶ ἐπεμοίρασαν τοὺς εὐναστῆρας τοὺς τῆς Ἑλένης γάμων, πεντάγαμβρα νυμφεύματα μερίσασθαι. ἄμναμοι δὲ, αἱ ἀπόγονοι, Κυρηναϊκῶς, κυρίως δὲ ἄμναμοι, οἱ τῶν ἀμνῶν ἀπόγονοι. Θαλάσσης δὲ κόρας, τὰς Μοίρας λέγει, διὰ τὸ ἄγριον, καὶ ἀμετάτρεπτον. Νυκτὸς [6] δὲ παῖδές εἰσι, καθ' Ἡσίοδον. καὶ τοῦτο δὲ ὅμοιον, διὰ τὸ ἀοράτως ἐπέρχεσθαι [7] τὰ εἱμαρμένα. τρεῖς δὲ εἰσιν αἱ Μοῖραι, Κλωθὼ, Λάχεσις, καὶ Ἄτροπος. καὶ ταῦτα δὲ τὰ ὀνόματα πεπλάκασιν, ἀπὸ τοῦ ὡσανεὶ ἐπικεκλωσμένον εἶναι, τὸ λαχεῖν ἐξ εἱμαρμένης μέλλον τινὶ, καὶ ἀπὸ τοῦ ἄτρεπτον καὶ ἀμετάτρεπτον εἶναι.

145. Πηναῖς.] ἀτράκτοις, νήμασι, παρὰ τὸ πῆνος, τὸ ἐνέργημα. πῆνα δὲ τὸ ζῶον, παρὰ τὸ πῆνος, ὃ σημαίνει τὸν ῥύπον. Δειναιᾶς.] τὸ πολυχρόνιον, καὶ ἐξ αὐτοῦ δηναιὸς, καὶ δηναιά. πολυχρονίαν δὲ καὶ παλαιὰν τὴν θάλασσαν λέγει, διὰ τὸ πρῶτον εἶναι στοιχεῖον, κατὰ Φερεκύδην, καὶ Θαλῆν.

147. Δοιὼ μὲν ἁρπακτῆρας αὐγάσαι καὶ ἰδεῖν λύκους, ὑπὸ κοινοῦ δὲ τὸ κατεκλώσαντο, λέγει Θησέα καὶ Ἀλέξανδρον. ἅρπαγας δὲ λύκους, καὶ πτερωτοὺς ἀετοὺς, τριόρχας, ὀφθαλμίας καὶ ὀξυωπεστάτους τοὺς αὐτοὺς λέγει. μιγνύει δὲ τὰ ἄμικτα, λύκους ἀετοὺς [7] πτερωτοὺς λέγων, κατὰ μίμησιν τῆς μαινομένης Κασσάνδρας.

148. Πτηνούς.] ὅτι μετὰ πλοίων αὐτὴν ἁρπάσαντες ἔφυγον. πτερὰ [8] γὰρ τῶν πλοίων, τὰ λαίφη. Τρίορχος, καὶ τριόρχης, καὶ μορφνὸς, καὶ μελανέτης, ὁ μέλας, καὶ ἁλιαίετος, καὶ φήνης, εἴδη ἀετῶν. Ὀφθαλμίας.] τουτέστιν ἀετοὺς ὀφθαλμίας καὶ ὀξυωπεῖς. μόνοι γὰρ τῶν ἄλλων ὀρνέων οἱ ἀετοὶ πρὸς τὰς ἡλίου ἀκτῖνας ἀντιβλέπουσιν. ἢ ἅρπαγας τῆς ὀφθαλμίας, ἤτοι εὐοφθάλμου Ἑλένης. εἰ μὲν ἐπὶ τῶν ἀετῶν λέγοιτο τὸ ὀφθαλμίας, δηλοῖ τὴν ὀξυδορκίαν αὐτῶν· λέγουσι γὰρ τοὺς νεοσσοὺς αὐτῶν οὕτως δοκιμάζειν· οἱ μὲν γὰρ πρὸς τὸν ἥλιον ἀφορῶσιν ὀξυδορκοῦντες, τούτους δὲ οἰκείους κρίναντες φιλοῦσιν· εἰ δ' οὐκ ὀξυδορκοῦσι, τούτους ταχὺ ῥίπτουσιν, ὡς ἀλλοτρίους. εἰ δὲ ἐπὶ τῆς Ἑλένης λέγοιτο, λέγει τὴν ὀξυδορκοῦσαν, καὶ πρὸς λαγνείαν ἀφορῶσαν. πρώτους δὲ τῶν νομίμων τοὺς ἅρπαγας εἶπεν, οὐ προκρίνων αὐτοὺς, ἀλλὰ κατὰ ῥητορικῆς δεινότητος μέθοδον, ὡς μᾶλλον τὰ τούτων παραδραμεῖν, ἐμβραδῦναι δὲ τῇ τῶν νομίμων νυμφίων ὑποθέσει. ὥσπερ καὶ Ἔφορος ὁ ἱστορικὸς, καὶ ὁ Διόδωρος ποιεῖ, ὑπὸ τῶν βαρβαρικῶν πρῶτον κατὰ παραδρομὴν ἀρξάμενοι γράφειν, ἐν δὲ τοῖς Ἑλληνικοῖς ὕστερον τὴν ἱστορίαν πλατύνοντες.

149. Τὸν δ' ἐκ Πλυνοῦ.] τὸν Μενέλαόν τι, τὸν γεννηθέντα ἐκ τῆς ῥίζης τῶν ἀνθρώπων ἐκείνων, οἵτινες ὑπῆρχον ἀπὸ Πλυνοῦ, πόλεως Λιβύης, καὶ οἵτινες ὑπῆρχον ἀπὸ τῶν Καρικῶν ποτῶν, τουτέστι τῆς Λακεδαιμονίας· Κάρικος γὰρ, ποταμὸς, καὶ τόπος Λακωνικῆς. ὁ Μενέλαος δὲ καὶ Λίβυς, καὶ Λάκων ἦν, οὕτως, Πλυνὸς πόλις Λιβύης, ὅθεν ἦν Ἄτλας. Πληϊόνης καὶ Ἄτλαντος ἑπτὰ θυγατέρες, ὧν μία καὶ [9] ἡ Στερόπη. Στερόπης τῆς Ὑπερόχης, ἢ Ἀρπίνης τῆς Ἀσωποῦ θυγατρὸς, καὶ Ἄρεος, Οἰνόμαος. Οἰνομάου δὲ Ἱπποδάμεια, ἧς καὶ Πέλοπος, Ἀτρεὺς, ὃς ἐν Λακωνικῇ κατῴκησεν. Ἀτρέως καὶ Ἀερόπης, Ἀγαμέμνων, καὶ Μενέλαος. ἡ δὲ Ἀερόπη θυγάτηρ ἦν Κατρέως τοῦ Κρητὸς, ὅθεν τὸν Μενέλαον ἡμίκρητα εἶπε.

EMENDATIONES.

1 Πολιχνίῳ reposui, pro πολλῇ μιχνίῳ, ex *Sold.* & *Grav.* Πολιχνιου habet *Bar.* 2 Περίπολοι *Sold. Bar.* & *Phavorinus.* 3 *MSS.* omnes hanc vocem variant: *Φέροντες Grav. Φέροντα Sold. Φέροντες Bar. Φέροντες Phavorinus.* 4 Ἐσπειραμένους *Bar. Grav.* & *Phavorinus.* 5 *Τοπικῶς ἀντὶ τοῦ Ἀργείας Sold.* quod forsan rectius. 6 *Δέ,* pro *γάρ,* ex *Grav.* 7 *Πτερωτούς,* pro *πτερωτάς,* ex *Sold.* 8 *Γάρ,* pro *δέ,* ex *Grav.* 9 *Ἀστερόπη Bar.* & *Grav.* *Στερόπη Sold.* Dein pro *Στερόπης καὶ Ὑπερόχης* lego *Στερόπης τῆς Ὑπερόχης,* ex emendatione *Tho. Munckeri* in *Hygin.* p. 230.

150. Βάρβαρον]

Βλαστόντα ῥίζης, ἡμικρῆτα βάρβαρον,	Stirpe progenitum, semicretem barbarum,
[a] Επειὸν, οὐκ Αργεῖον ἀκραιφνῆ γοναῖς.	Eleum, nec Argivum sincerum ortu.
Οὗ πάππον ἐν γαμφαῖσιν Ενναία ποτὲ,	Cujus avum Ennæa quondam, Hercynna,
[b] Ερκυνν', [c] Ερινὺς, θουρία, [d] ξιφηφόρος	Erinnys, furibunda, ensifera fartim
Ασαρκα [e] μισύλλασ' ἐτύμβευσε [f] τάφῳ,	Maxillis dissecans, condidit sepulchro,
Τὸν ὠλενίτην χόνδρον [g] ἐνδατουμένη·	Humeralem mandens cartilaginem:

VARIANTES LECTIONES.

a Επεὶ Bar. eandemque lectionem in Scholiis, una cum Seld. retinet. al. Επειὸν b Ερκυν MSS. utrque. c Al. Εριννύς. d Ξιφηφόρος Bar. e Μισύλλουσα τύμβευσε Seld. al. μισύλλασ' f Φάρῳ Etymologus, cujus hæc sunt verba, Επύμβευσε φάρῳ, ἀντὶ τοῦ φάρυγγι. g Al. Ενδατουμένη.

150. Βάρβαρον.] ὅτι ὁ Πέλοψ κατά τινας μὲν Λυδὸς, κατά τινας δὲ Παφλαγών. βάρβαροι δὲ, οἵ τε Λυδοὶ, καὶ οἱ Παφλαγόνες.

151. Επειὸν, οὐκ Αργεῖον.] ἐγὼ μὲν οὕτω φημὶ τὸν [1] Επειὸν, ἤτοι τὸν Ηλεῖον, τὸν οὐκ ἀκραιφνῆ καὶ καθαρὸν Αργεῖον. Επειοὶ γὰρ, οἱ Ηλεῖοι, ἀπό τινος Επειοῦ παλαιοτάτου. ἄλλοι δὲ οὕτω φασὶ τὸν Επειὸν, ἤτοι Ηλεῖον, τὸν οὐκ Αργεῖον ἀκραιφνῆ ἐν ταῖς γοναῖς. λέγουσι δὲ καὶ σχῆμα τοῦτο ἀπὸ κοινοῦ· οὐκ ἔστι δὲ ἀπὸ κοινοῦ, ἀλλὰ συνεκδοχή. τὸ γὰρ ἀπὸ κοινοῦ σχῆμα ἐν τῷ πρώτῳ λόγῳ ἔχει τὴν ἀπόδοσιν, ἐν δὲ τῷ δευτέρῳ ἀπὸ κοινοῦ λαμβάνεται, οἷον, φιλῶ σε, ἐμοὶ καὶ σὺ ἐμέ, νοεῖται ἀπὸ κοινοῦ τὸ φιλεῖς. ἡ δὲ συνεκδοχὴ ἐναντία ἐστὶ τῷ ἀπὸ κοινοῦ, ἐν γὰρ τῷ δευτέρῳ ἔχει τὴν ἀπόδοσιν, ἐν τῷ πρώτῳ λόγῳ μὴ ἔχουσα μᾶλλον, ὡς τὸ, [2] Επειὸν, οὐκ Αργεῖον ἀκραιφνῆ, ἰδοὺ τὸ οὐκ Αργεῖον ἀκραιφνῆ, δεύτερον ὂν τοῦ Επειὸν, ἔχει τὴν ἀπόδοσιν, συνεκδεχόμεθα ταύτην καὶ ἐν τῷ Επειὸν, λέγοντες Επειὸν, οὐκ Αργεῖον ἀκραιφνῆ, ὥσπερ ἔχει καὶ τὸ, ὃ ὄντος ἐστίν. ἐν γὰρ τῷ δευτέρῳ ἔχει τὴν ἀπόδοσιν, ἐν τῷ πρώτῳ λόγῳ μὴ ἔχουσα μᾶλλον, ἰδὲ ἐν τῷ δευτέρῳ ἔχει προσκείμενον τὸ, ὃ λέγω, ἀλλ' ὅμως συνεκδεχόμεθα αὐτὸ καὶ ἐν τῷ πρώτῳ. Ακραιφνὴς δὲ, ὁ [3] ἀκεραιοφανής τις ὤν.

152, 153. Οὗ πάππον.] Τάνταλος καλέσας τοὺς θεοὺς εἰς εὐωχίαν, παρέθηκε τὸν υἱὸν αὐτοῦ Πέλοπα θύσας, ἵνα φάγωσι, τὸ φιλόξενον αὐτοῦ ἐνδεικνύμενος. οἱ δὲ γνόντες, ἀπέσχοντο, μόνη δὲ ἡ Δημήτηρ οὐκ ἔγνω, διὰ τὸ μεμηνέναι αὐτὴν διὰ τὴν ἁρπαγὴν τῆς Κόρης, ὅθεν λαβοῦσα τὴν ὠμοπλάτην ἔφαγεν. οἱ δὲ θεοὶ κατοικτείραντες τοῦτον, [4] ἀφεψῶσιν ἐν λέβητι βαλόντες, καὶ ὑγιῆ, καὶ ἀκέραιον ἀποκαθιστῶσιν. ἀντὶ δὲ τῆς βρωθείσης ὠμοπλάτης, ἐλεφάντινον ἐνέθεντο, ὃ κατὰ γένος τοῖς Πελοπίδαις ἐτύγχανε γνώρισμα, καθάπερ καὶ τοῖς Σπαρτοῖς λόγχη. ἀλλὰ τὸ μὲν μυθῶδες τοῦ λόγου τοιοῦτον, τὸ δ' ἀληθὲς οὕτως ἡμεῖς ἐκλυόμεθα. ὁ Τάνταλος εὐσεβὴς, καὶ θεοσέπτωρ ὢν ἱερεὺς, κἂν φιλανθρωπίᾳ τὰ τῶν θεῶν μυστήρια τοῖς ἀμυήτοις ὕστερον εἰπὼν, ἐξεβλήθη τοῦ ἱεροῦ [5] καταλόγου· [6] τοῦτον τὸν παῖδα τὸν Πέλοπα, παντὸς σώματος [7] νοσήσαντος, πάρεσι καὶ τομαῖς, καὶ καυτῆρσι, καὶ ἰατρῶν χειρουργήμασι παντοίοις τμηθέντα, καὶ μόλις ὑγιῆ γεγονότα, ὃν καὶ λείψανον τὴν καυτήρων ἔχειν, καὶ τὴν τομὴν τὴν ὠμοπλάτην τὸν ἡμίτμητον, καὶ πολλὴν, καὶ ἀπολευκαίνουσαν, διὰ τὴν τῆς σαρκὸς ἀσθένειαν, [8] ἔφασαν, ὡς ὁ πατὴρ τοῖς θεοῖς ὑποξενωθεῖσι, τοῦτον κατέτεμεν, ἤτοι τῆς εἱμαρμένης τοιαύτης νοσώδεις ἐλθούσης αὐτῷ, (θεὸς γὰρ καὶ ἡ Εἱμαρμένη) κατέτεμεν αὐτὸν ὁ πατὴρ τῶν ἰατρῶν τομαῖς, εἶτα καυτῆρσιν, οἷς καὶ ἰάθη. ἐπεὶ δὲ σαπέν τι τῆς ὠμοπλάτης γέγονε γῆ, καὶ ἐτάφη, ὅθεν καὶ [9] πολιὰ λευκὴ, καὶ ἀπολευκαίνουσα, ἐμυθεύσαντο ὡς ἡ Δήμητρα βέβρωκε ταύτην. Γαμφαῖσιν.] γαμφηλαῖς, σιαγόσιν. [10] Ενναία, καὶ Ερκυνα, καὶ Ερινὺς, ἐπώνυμα Δημήτρος. καὶ Καλλίμαχος Ερινὺν καλεῖ τὴν Δήμητραν, λέγων, Ερινύος [11] Τελφουσίης. Ερινὺς μὲν λέγεται, ἢ φθορὰ τὸ τὰς ἀρὰς ἀνύειν, καὶ πληροῦν. ἢ πηγὴ τὸ ἐν τῷ ὄρει, καὶ ἐν τῇ γῇ ναίειν, ὡς καὶ τὸ Ενναία. ἢ ὅτι Ερινὺς ὁμοιωθεῖσα μίγνυται Ποσειδῶνι, καὶ γεννᾷ τὸν [12] Αρείονα ἵππον. Ερκυνα δὲ, ἡ Τροφωνίου θυγάτηρ, ἐν Λεβάδῃ τῆς Βοιωτίας ἱδρύσατο τὴν θεὸν, καὶ ἀφ' ἑαυτῆς ὠνόμασεν Ερκυναν. ἢ οὕτως· λέγουσι γὰρ, ὅτι Ποσειδῶνος ἐρασθέντος αὐτῆς, αὐτὴ εἰς ἵππον μεταβληθεῖσα, καὶ μεταξὺ ἀγέλης ἱππικῆς εἰσφρήσασα, τοὺς ἵππους ὑπέραξε, διὰ τὸ ἀθρόον ξένην ἵππον θηλείας. ἔφη ἂν ὁ ἱπποφορβὸς, πόθεν αὕτη ἡ Ερινύς; ἀλλὰ καὶ Αρκάδες οὕτως αὐτὴν τιμῶσι. Θουρία.] ἡ ὁρμητικὴ, καὶ ἔνθους, διὰ τὴν τῆς Κόρης ἁρπαγὴν, ὡς λυσσῶσα· τὸ δὲ ἀληθὲς, ὅτι πᾶσιν ἀνθρώποις πολεμεῖ, καὶ ὥσπερ ξιφήρης ἀναιρεῖ ἡμᾶς. καὶ καὶ ξιφηφόρον αὐτὴν φασὶ καλεῖν, ὅτι ἐν τῇ Βοιωτίᾳ ἵδρυται ἡ Δημήτηρ ξίφος ἔχουσα.

154. Ασαρκα.] πολύσαρκα. Μισύλλουσα.] κατακόπτουσα εἰς μικρὰ, ἐκ τοῦ μείον, ὥς φασι, καὶ τοῦ τίλλω, τὸ κόπτω, καὶ τροπῇ τοῦ διχρόνου εἰς δίχρονον. Επύμβευσε τάφῳ.] ἔθαψεν ἐν τῷ τάφῳ, συμβολικῶς ἀντὶ τοῦ εἰπεῖν, ἔφαγε. τάφον δὲ καλεῖ νῦν τὴν ἐκείνης γαστέρα. τὸ ἐτύμβευσε δίχα τοῦ τ, καὶ δὲ ἔστι μακρὸν, ὡς λέγων εἰς μέρος λόγου· κοινὴ γὰρ ἐστὶ συλλαβή.

155. Τὸν ὠλενίτην.] τὸν τῆς ὠμοπλάτης χόνδρον. Ενδατουμένη.] ἤτοι φαγοῦσα. χόνδρος δέ ἐστιν ὀστοῦ μὲν νευρωδέστερον, νεύρου δὲ ὀστωδέστερον. * Οστοῦν, νεῦρον, χόνδρος διαφέρει. τὸ γὰρ ὀστοῦν ἐστι σκληρότερον τοῦ χόνδρου, ὁ δὲ χόνδρος πάλιν σκληρότερος τοῦ νεύρου. *

EMENDATIONES.

1 Επειὸν ἤτοι τὸν Ηλεῖον, pro ὁ τὸν Ηλεῖον, ex omnibus MSS. & postea particulam negativam bis omisi. 2 Επειὸν, pro ἐπεί, ex Grav. 3 Ακεραιοφανής. pro ἀκέραιος φανής, ex utroque MSS. ἀκεραιοφανὴς Grav 4 Αφεψῶσιν. pro ἀφ' ὑψοῦσιν, ex omnibus MSS. 5 Καταλόγου, pro κατὰ λόγου, ex Grav. 6 Τοῦτο, pro τοῦτον, ex utroque MSS. 7 Νοσήσαντος Bar. & Grav. 8 Εφασαν repositi. pro ἔφασαν, ex omnibus MSS. 9 Ita emendavi hunc locum, ex fide Bar & Grav. cum quibus consentit Seld. nisi quod in hoc καὶ deest. Impressi vero corrupte legebant, πολιὰν καὶ ὑπολευκαίνουσα. 10 Ενναία hic, & paulo post reposui, pro Εννία, ex utroque MSS. 11 Τιλφωσίῃ Grav. 12 Αρίονα Grav. * Hæc addo ex Seld.

156, 157. Οὐ]

[a] Ὃν δὴ δὶς ἡβάσαντα, καὶ βαρὺν πόθον	Quem bis renatum, & gravem cupidinem
Φυγόντα [b] Ναυμέδοντος ἁρπακτήριον,	Naumedontis rapacem fugientem,

VARIANTES LECTIONES.

a Ὃν δὶς ἡβήσαντα, Seld. ἡβήσαντα etiam habet Bar. b Al. Λαυμέδοντος, perperam, ut observat Tzetzes.

156, 157. Ὃν.] ὅντινα Πέλοπα, δὶς ἀκμάσαντα, καὶ φυγόντα τὸν ἁρπακτικὸν πόθον τοῦ Ναυμέδοντος, ἤτοι τοῦ Ποσειδῶνος, τοῦ τῶν νεῶν μέδοντος (κἂν τινες μεταχαρακτῆρα πταῖσμα Λαυμέδοντος ἔχωσιν) ἔστεψεν ὁ Ἐριχθεύς, ὁ Ζεύς, ἢ ὁ Ποσειδῶν, παρὰ τὸ ἐρέχθω, τὸ κινῶ λεγόμενος, ὅστις ἀπό; ἐς τὰς Λακεναίας, ἢ τὰς Λακεναίας γύας, ἤτοι τοὺς τόπους καὶ τὰ χωράφια, ὡς τι πολεμήσαι, καὶ νικῆσαι, καὶ φθεῖραι τὸν [1] γαμβροκτόνον Οἰνόμαον. δὶς δὲ ἡβῆσαί φησι τὸν Πέλοπα, ἐπεὶ πρῶτον ἤκμασε τὴν φυσικὴν ἡλικίαν. δεύτερον δὲ κρεωκοπηθεὶς, καὶ τεθεὶς, ὡς φασι, τοῖς θεοῖς ἀφηψήθη, καὶ ἤκμασεν. ἠράσθη δὲ τούτου μετὰ τὴν [2] ἀφέψησιν ὁ Ποσειδῶν, παρ' οὗ ὁ Πέλοψ ἵππους πτερωτοὺς λαβὼν σὺν τῷ ὀχήματι, ἀπελθὼν εἰς Ἦλιν, νικᾷ τὸν μνηστηροκτόνον Οἰνόμαον, καὶ ἀναιρεῖ τὸν ιβ' πρότερον νυμφίους ἀνῃρηκότα. οὕτω δὲ τοῦτον ἀναιρεῖ· Ἱπποδάμεια, ἡ Οἰνομάου θυγάτηρ, καὶ Εὐρυθόης, τῆς Δαναοῦ θυγατρὸς, ἢ καὶ παρὰ τοῦ ἰδίου πατρὸς ἐρωμένη, καὶ διὰ τοῦτο μὴ ἐκδιδομένη πρὸς γάμον, καθὼς οἱ ἀκριβέστεροι τῶν ἱστορικῶν γράφουσιν, ἠρᾶτο καὶ παρὰ Μυρτίλου, τοῦ ἡνιοχοῦντος τῷ ταύτης πατρί, υἱοῦ δὲ τυγχάνοντος Ἑρμοῦ καὶ Κλεοβούλης, τῆς Αἰόλου ἢ Αἰπόλου θυγατρός. αὕτη τὸν Πέλοπα ὡραῖον ἰδοῦσα μετὰ τὴν τῶν ιβ' νυμφίων ἀναίρεσιν, ἔρωτι τούτου κατείχετο, καὶ τῷ Μυρτίλῳ φησὶ συνεργῆσαι τῷ νεανίᾳ εἰς τὴν κατὰ πατρὸς νίκην. ὁ δὲ ταῖς χοινικίσι τῶν τροχῶν τοὺς ἥλους [3] οὐκ ἐμβαλὼν, ἐποίησε τὸν Οἰνόμαον ἐν τῷ τρέχειν ἐκπεσεῖν, καὶ ἀναιρεθῆναι παρὰ τοῦ Πέλοπος, ἐκπεσόντων τῶν τροχῶν. ἢ ὡς τινες λέγουσιν, ἀντὶ σιδηρείων ἥλων ἐμβαλὼν τῷ ἄξονι τοῦ ἅρματος κηρίνους, καὶ οὕτως ἐνίκησε Πέλοψ Οἰνόμαον. ἐδίδου γὰρ ὁ Οἰνόμαος τοῖς μνηστῆρσι τὴν Ἱπποδάμειαν ἐπὶ τῶν οἰκείων ἔχειν ἁρμάτων, θεὶς πέρας τοῦ δρόμου, καὶ ἔπαθλον τοῦ γάμου, τὸν Κορίνθιον Ἰσθμὸν, εἰ δυνηθεῖεν ἀφικέσθαι μέχρι τούτου. αὐτὸς δὲ ὄπισθεν ἐλαύνων μετὰ δόρατος, καταλαμβάνων αὐτοὺς ἀνῄρει. τότε δὲ οὕτω νικηθεὶς ἀπώλετο, καὶ ἀναιρούμενος, κατηράσατο τῷ Μυρτίλῳ, γνοὺς τὴν ἐπιβουλὴν, ἵνα ὑπὸ Πέλοπος [4] ἀπόληται, ὃ καὶ γέγονεν ὕστερον. λαβὼν γὰρ Πέλοψ Ἱπποδάμειαν, καὶ διερχόμενος ἐν τόπῳ τινὶ, διψώσης αὐτῆς, ἀνεχώρησεν ἵνα ὕδωρ αὐτῇ κομίσῃ· ἀναχωρήσαντος δὲ τοῦ Πέλοπος, Μυρτίλος ἐπεχείρει βιάζειν Ἱπποδάμειαν. ἐλθόντος δὲ Πέλοπος, καὶ διαβληθεὶς παρ' Ἱπποδαμείας, ὡς βιάζων αὐτὴν, ἢ, ὡς οἱ πολλοί φασι, πειράζων αὐτὴν, ῥίπτεται παρὰ Πέλοπος περὶ Γεραιστὸν ἀκρωτήριον· ὁ δὲ τελευτῶν, ἀρὰς ἀρᾶται τοῖς Πελοπίδαις δεινὰς, αἳ καὶ ἐπληρώθησαν ὕστερον, [5] φυτευθείσης τῆς μαλλὸν χρυσοῦ ἀρνὸς Ἑρμοῦ βουλαῖς, τοῦ Μυρτίλου πατρὸς, ἐν τοῖς Ἀτρέως ποιμνίοις, ὅθεν τὰ δεινὰ τῆς τραγῳδίας ἔπι. ὁ δὲ Γεραιστὸς, ἀποθανόντος ἐκεῖ τοῦ Μυρτίλου, Μυρτῷον πέλαγος ὀνομάσθη. ὁ δὲ Πέλοψ εἰς Ὠκεανὸν ἐλθὼν, καὶ Ἡφαίστῳ ἁγνισθεὶς, λαβὼν Πῖσαν, τὴν Οἰνομάου βασιλείαν, καὶ τὴν Ἀπίαν, Πελασγίαν λεγομένην, Πελοπόννησον ὠνόμασε. περὶ δὲ τοῦ, ὅτι ὁ Ποσειδῶν ἠράσθη Πέλοπος μετὰ τὴν ἀφέψησιν, οὕτω μυθικῶς καὶ ὁ Πίνδαρος φησί,

——— [6] Τοῦ μεγασθενὴς
Ἐράσσατο χρυσότριαινος Ποσειδᾶν,
Ἐπεί νιν καθαροῦ λέβητος ἔξελε
Κλωθώ, ἐλέφαντι φαίδιμον
Ὦμον κεκαδμένον.

Καὶ πάλιν, ὡς ἀπὸ τοῦ Πέλοπος λέγει,

[7] Ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων
Ἐς Ἆλιν, κράτει δὲ πέλασον.
Ἐπεὶ τρεῖς γε καὶ δέκ' ἄνδρας ὀλέσαις
Ἐρῶντας, ἀναβάλλεται γάμον
Θυγατρός ———

Καὶ ταῦτα μὲν ὁ Πίνδαρος περὶ τοῦ, ὅτι ὁ Ποσειδῶν Πέλοπος ἠράσθη, φησὶ μυθικῶς. Ἀπολλώνιος δὲ ὁ Ῥόδιος καὶ περὶ τοῦ τρόπου τοῦ δρόμου φησί, γράφων,

Ἐν δὲ δύω δίφροι [8] πεπονήατο δηριόωντες,
Καὶ τὸν μὲν προπάροιθε Πέλοψ ἴθυνε τινάσσων
Ἡνία, σὺν δέ οἱ ἔσκε παραιβάτις Ἱπποδάμεια.
[9] Τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἤλασεν ἵππους,
Σὺν τῷ δ' Οἰνόμαος, [10] προτενὲς δόρυ χειρὶ μεμαρπώς,
Ἄξονος ἐν πλήμνῃσι [11] παρακλιδὸν ἀγνυμένοιο
Πῖπτεν, ἐπεσσύμενος Πελοπήϊα νῶτα δαΐξαι.

Τὸ δὲ, ὅτι ὁ Ποσειδῶν μετὰ τὴν [12] ἀφέψησιν ἠράσθη Πέλοπος, ὑπόνοια, ἤτοι ἀλληγορία ἐστίν. ὁ γὰρ Πέλοψ, ὡς πρότερον ἐρρέθη, πολύνοσος καὶ πάρετος ἦν. ἐπεὶ δὲ ἀφεψήθη, τουτέστιν ἀνέζησε, καὶ ἰάθη, ὡς ἐρρέθη, ἠράσθη τούτου ὁ Ποσειδῶν, τουτέστι θυμικὸς καὶ ἀνδρεῖος ἐγένετο· τοὺς γὰρ θυμικοὺς καὶ ἀνδρείους, Ποσειδῶνος καλοῦσι παῖδας, καὶ ἐραστὰς, καὶ εἴ τι τοιοῦτον· τὸ δὲ δοθὲν αὐτῷ παρὰ Ποσειδῶνος ἅρμα, πλοῖον ἦν, πτερὰ ἔχον τὰ λαίφη. μεθ' οὗ ἀπελθὼν, ἔχων ἐν αὐτῷ τῷ πλοίῳ καὶ τὸ ἴδιον ἅρμα, ἐξελθὼν νικᾷ τὸν Οἰνόμαον. Ἀλλ', ὦ φίλε, μὴ Τζέτζου κίνει φρένας, [13] λέγων τὰ πάντα σοὶ πλατυτέρως γράφειν· ἀντὶ συμμετρίας γὰρ τῷ πλήθει ἀσάφειαν ποιοῖ, λεπτολογῶν πᾶσαν ἱστορίαν, καὶ ἀλληγορίαν ἐπάγων ἐν οὐκ ἀλληγορουμένοις μύθοις Λυκόφρονος. Πόθον ἁρπακτήριον.] ἐπεὶ, ὡς φασὶ μυθικῶς, ἐρασθεὶς ὁ Ποσειδῶν ἥρπασεν αὐτόν.

EMENDATIONES.

1 Γαμβροκτόνον reposui, pro γαμβροκτόνον, ex fide omnium MSS. 2 Ἀφέψησιν, pro ἀφαίρεσιν, ex Grav. 3 Οὐκ ἐμβαλὼν reposui, pro οὐκ ἐκβαλὼν, ex fide Bar. μὴ ἐμβαλὼν Grav. ἐκβαλὼν, ἢ οὐκ ἐμβαλὼν Seld. quæ lectio non est vituperanda. 4 Ἀπόληται reposui, pro ἀπόλοιτο. ἀπόληται Seld. ἀπόληται Bar. & Grav. 5 Prius scriptum fuit, γεννηθείσης μᾶλλον ἢ τοῦ χρυσοῦ ἀρνός· ego reposui φυτευθείσης τῆς μαλλὸν χρυσοῦ ἀρνός. Vult enim Scholiastes, ex Myrtili imprecationibus, Mercurii operâ natum fuisse agnum aureo vellere, qui tot tantorumque malorum Pelopis posteris causa dicitur; de quo vide Notas. 6 Ita hæc restitui, & in ordinem digessi, ex Ode prima Olympionicarum Pindari. Cæterum prius ita scripta erant. Τοῦ χρυσότριαινος ἐράσατο Ποσειδῶν, ἐπεὶ νιν καθαροῦ λέβητος ἐξεῖλε κλωθώ. ἐλέφαντι φαίδιμον ὦμον κεκαδμένον. ubi pro ἐράσατο, Bar habet ἠράσατο, Seld. & Grav. ἠράσατο. pro ἐξεῖλε, Bar. & Grav. legunt ἔξελε. Seld. ἐξεῖλεν. pro κεκαδμένον Bar. habet κεκασμένον. 7 Hæc etiam ex eadem Ode restitui, quæ prius ita legebantur, ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων. ἐς Ἆλιν. κράτει δὲ πέλασον· ἐπεὶ τρεῖς τε καὶ δέκ' ἄνδρας ὀλέσαις ἐρῶντας, ἀναβάλλεται γάμον θυγατρός. ubi pro πόρευσον, Seld. legit πορεῦσαι. pro ἐς Ἆλιν, idem legit ἐς Ἦλιν. pro ἀναβάλλεται, Bar. scribitur ἀνεβάλλετο. 8 Πεπονήατο reposui, pro πεπονήαται, ex Apollonii Rhodii Argon. α' v. DCCLII. Bar. habet πεπονήατο. 9 Ita restitui ex Apollonio. Τῷ δ' ἐπὶ Μυρτίλος ἐν τάχει γέγραπται ἤλασεν ἵππους Impressi Codd. & Grav. nisi quod ἐν τάχει pro ἐν τάχει habeat. Τῷ δ' ἐπὶ Μυρτίλος ἐν τάχει γέγραπται ἤλασεν ἵππους Bar. Τῷ δ' ἐπὶ Μυρτίλος ἐν τάχει γέγραπται ἤλασεν ἵππους Seld. 10 Προτενὲς, pro προτενής, ex eodem Auctore. 11 Παρακλιδὸν, pro παρὰ κλιδόν, ex eodem, & utroque MSS. 12 Ἀφέψησιν, pro ἀφαίρεσιν, ex omnibus MSS. 13 Λέγων, pro λέγοντα, ex utroque MSS.

[a] Ἔπεμψ' Ἐρεχθεὺς ἐς Λαπερσαίους γύας,	Misit Erechtheus in Letrinæos agros,
Λευρὰν [b] ἀλετρεύσοντα Μόλπιδος πέτραν,	Politum triturum Molpidis lapidem
Τοῦ Ζηνὶ δαιτρευθέντος [c] ὀμβρίῳ δέμας,	Jovi Pluvio sacrificati,
Γαμβροκτόνον [d] ῥαίσοντα πενθεροφθόροις	Genericidamque perditurum socerιperdis
Βουλαῖς ἀνάγνοις, ἃς ὁ Καδμίλου γόνος	Dolis impiis, quos Cadmili filius
[e] Ἤρτυσε, ὃς [f] δὲ λοίσθιον ἐκπιὼν σκύφον,	Paravit, qui ultimo haustu poculo,
Φερωνύμους ἔδυψε Νηρέως τάφους,	Cognomina subiit Nerei sepulcra,
Πανώλεθρον [g] χηλῖδα θωΰξας γένει,	Perniciosas imprecatus generi diras,
Ὁ τὴν ποδάργον Ψύλλαν ἡνιοστροφῶν,	Velocis moderator Psyllæ,
Καὶ τῆς [h] ὁπλαῖς [i] Ἅρπινναν [k] Ἁρπυίαις ἴσην.	Harpinnæque ungulas æqualis Harpyiis.
Τὸν δ' αὖ τέταρτον, [l] αὐθόμαιμον ὄψεται	Quartum porrò videbit, fratrem
Κίρκου [m] καταρράκτηρος, ὅν τε [n] συγγόνων	Accipitris rapacis, quemque inter fratres
Τὰ [o] δευτερεῖα τῆς δυσσφάλτου πάλης	Secunda lubricæ luctæ præmia

VARIANTES LECTIONES.

a Ἔπεμψε Ῥεχθεὺς ἐς Λαπερσαίους γύας *Seld.* εἰς Λαπερσαίας *Bar.* & ex *Impressis* quidam. al. Λαπερσαίας. al. γύας. b Ἀλετρεύσοντα *Bar.* aliique; ἀλετρεύσαντος *Seld.* c Ἀγρίῳ *Bar.* aliique. d Ῥαίσοντα *Bar.* *Seld.* aliique. e Ἤρτυσε *Bar.* *Seld.* aliique. f Δὲ non agnoscit *Bar.* g Κηλῖδα *Bar.* al. κηλῖδα. h Ὁπλαῖς *Eustath.* Comment. in Iliad. χ'. Vide Notas meas. i Al. Ἅρπινναν. k Ἁρπυίαις *Eustath.* loc. cit. l Al. αὐθομαίμονα. m Al. καταρράκτηρος. n Al. συγγόνου. o Al. δευτερεῖα.

158. Ἐρεχθεύς.] ὁ Ποσειδῶν, ἢ ὁ Ζεὺς, παρὰ τὸ ἐρέχθω, τὸ κινῶ, ἔπεμψεν αὐτὸν εἰς τὴν Λαπερσαν, ὅπερ ἐστὶ χωρίον τῆς Ἤλιδος· ἔπεμψε δὲ αὐτὸν ὁ Ἐρεχθεὺς, ἤτοι ἡ Εἱμαρμένη, ἢ ἡ θάλασσα, ὁ καὶ Ποσειδῶν, πολεμῆσαι Οἰνομάῳ. ἔπεμψε δὲ αὐτὸν ἀπὸ Λυδίας, ἢ ἀπὸ Παφλαγονίας, κατά τινας. Γύας.] τὸ γυ κἂν [1] προσγεγραμμένην ἔχῃ, ὅμως βραχύ ἐστι, διὰ τὴν [1] σύγκρισιν τῶν φωνηέντων κατὰ χασμῳδίαν. τὰ γὰρ τοιαῦτα πάντα κοιναί εἰσι συλλαβαί.

159, 160. Λευράν.] λείαν, εὐρεῖαν, καὶ πλατεῖαν. Ἀλετρεύσοντα.] ἀραμεῖν μέλλοντα. Μόλπιδος πέτραν.] τὴν Ἦλιν. Μόλπις γὰρ τὶς Ἠλεῖος εὐγενὴς, αὐχμοῦ κατασχόντος τὴν Ἦλιν, ἐκ χρησμοῦ ἀκούσας παύσασθαι τὸν αὐχμὸν, εἰ θύσοι τὶς σφαγιασθέντος Διὶ, αὐτὸς ἑαυτὸν ἔδωκεν εἰς τὴν σφαγὴν, καὶ εὐθέως σφαγιασθέντος, ἐξέχυθη ὑετός. Ἠλεῖοι δὲ ἱερὸν ὀμβρίου Διὸς ἐποίησαν, ἐν ᾧ ἵστανται καὶ ἀνδριὰς Μόλπιδος. Μόλπιδος οὖν πέτραν, ὡς ἔφην, τὴν Ἦλιν λέγει· ὅτι ὁ Οἰνόμαος μετὰ τῶν μνηστήρων τῆς θυγατρὸς αὐτοῦ Ἱπποδαμείας ἠγωνίζετο, καὶ νικῶν αὐτοὺς, καὶ ἀναιρῶν, ἐκ τῶν κρανίων ἐκείνων ναὸν ἔμελλε κατασκευάσειν, ὥσπερ καὶ Ἀνταῖος, καὶ [2] Εὔηνος, καὶ Φόρβας, καὶ Διομήδης ὁ Θρᾷξ, καὶ Κύκνος, ὁ ὑφ' Ἡρακλέους ἀναιρεθείς.

161. Γαμβροκτόνον ῥαίσοντα.] τὸν Οἰνόμαον φθείροντα. γαμβροκτόνον δὲ λέγει τὸν Οἰνόμαον, διὰ τὸ ἀναιρεῖν τοὺς μνηστῆρας τῆς θυγατρός. καὶ γαμβροκτόνος μὲν, ὁ κτείνων τοὺς γαμβρούς· γαμβρόκτονος, ὁ κτανθεὶς ὑπὸ γαμβροῦ. καὶ τὸ πενθεροκτόνος καὶ πενθερόκτονος, καὶ τὰ λοιπὰ ὁμοίως. τὰ γὰρ τοιαῦτα πάντα δύο τόνους ἐπιδέχονται, τὰ μὲν ἐνεργητικὰ τὴν παροξύτονον, οἷον τὸ γαμβροκτόνος, ὁ κτείνων τοὺς γαμβρούς· τὰ δὲ παθητικὰ τὴν προπαροξύτονον, οἷον τὸ γαμβρόκτονος, ὁ κτανθεὶς ὑπὸ γαμβροῦ.

162. Καδμίλος.] ὁ Ἑρμῆς Βοιωτικῶς, [3] ὁ καὶ Κλεοβούλης υἱὸς, ὁ Μυρτίλος, ὁ Οἰνομάου ἡνίοχος.

163, 164. Ἤρτυσε.] κατεσκεύασε. τῆς ἱστορίας ὕστερον εἰς πλάτος εἴπομεν. Τὸν δὲ λοίσθιον ἐκπιὼν σκύφον καὶ τὸ ποτήριον τοῦ Νηρέως· ὃς τὸν δὲ λοίσθιον ἐκπιὼν σκύφον, ἔδυψε καὶ ἐκολύμβησεν εἰς τοὺς τάφους τοῦ Νηρέως, τοὺς φερωνύμους, ἤτοι εἰς τὸ ἀπ' αὐτοῦ Μυρτῷον πέλαγος, ὡς καὶ ἔφην· τὸ δὲ σχῆμα, χαριεντισμός ἐστι καὶ ἀστεϊσμός. ὁ δὲ Νηρεὺς, μυθικῶς μὲν δαίμων ἐστὶν [4] θαλάσσιος, ὃς καὶ Δωρίδος, τῆς Ὠκεανοῦ θυγατρὸς, αἱ Νηρηΐδες. ἀλληγορικῶς δὲ Νηρεὺς, [5] ἡ θάλασσα, παρὰ τὸ νήχειν, [*] τὸ κολυμβᾶν.[*]

165. Πανώλεθρον κηλῖδα.] πρὶν τοῦτο ἐῤῥίφθη, ὅτε ἐῤῥιπτόμενος εἰς τὸ πέλαγος, κατηράσατο τῷ γένει τῆς Ἱπποδαμείας. Θωΰξας.] κυρίως συρίξας, νῦν δὲ καταρασάμενος.

166, 167. Ψύλλα καὶ Ἅρπιννα, ἵπποι Οἰνομάου, ὧν ἦν Μυρτίλος ἡνίοχος. Ὁπλαῖς.] τοῖς ὄνυξιν, ἴσην Ἁρπυίαις· κακῶς δὲ εἶπε τὸ ἀπὸ μέρους σχῆμα. [6] ποσὶ γὰρ ὤφειλεν εἰπεῖν ἴσην Ἁρπυίαις, ὁπλαῖς εἶπεν. Ἅρπυιαι δὲ μυθικῶς δαίμονές τινες, τὰ δὲ ὀνόματα αὐτῶν, Ἀελλὼ, καὶ Ὠκυπέτη, καὶ Κελαινὼ, [illegible] ἀδελφαὶ, θυγατέρες Θαύμαντος καὶ Ἠλέκτρας, τῆς Ὠκεανοῦ θυγατρός. Ἅρπυιαι δὲ λέγονται καὶ ὄρνεα τινὰ ἁρπακτικὰ, ὅθεν ἐμυθεύσαντο καὶ τὰς τοῦ Φινέως θυγατέρας, Ἐράσειαν καὶ Ἁρπύρειαν, ὄρνεα εἶναι, ἁρπάζοντα τὴν τροφὴν ἀπὸ τοῦ στόματος τοῦ γέροντος. Ἅρπυιαι δὲ ἀλληγορικῶς οἱ ἄνεμοι, ὡς καὶ νῦν, παρὰ τὸ ἐν τῷ ἀέρι πέτασθαι. Ἴσην δὲ, τὸ ἴωτα, ἀλλαχοῦ μὲν μακρὸν, νῦν δὲ βραχύ ἐστιν. εἰ καὶ μακρὸν δὲ ληφθῇ, οὐκ ἔστιν ἐσφαλμένος ὁ στίχος, ἀλλ' ἔχει πάθος, τὸ λεγόμενον χωλίαμβον. τῷ γὰρ ἰαμβικοῦ μέτρῳ, ὡς καὶ τοῦ [7] ἡρωϊκοῦ, εἰσὶ πάθη διάφορα.

168, 169, 170. Τὸν δ' αὖ τέταρτον.] τὸν δὲ τέταρτον νυμφίον ὄψεται τὸν αὐθόμαιμον καὶ ἀδελφὸν, τὸν τοῦ κίρκου καὶ ἱερα-

EMENDATIONES.

[*] Hoc debuisse adjici contextus indicat. [1] Σύγκρισιν *MSS.* omnes. [2] Εὔηνος *Grav.* [3] Οὗ καὶ Κλεοβούλης υἱὸς reposui, pro ὁ καὶ Κλεοβούλης υἱὸς, ex fide omnium *MSS.* [4] Θαλάσσιος reposui, ex omnibus *MSS.* pro θεὸς. [5] Ἡ θάλασσα, pro ὁ θαλάσσιος, ex *Seld.* [*] Ex *Seld.* [6] Ita restitui ex omnibus *MSS.* prius vero ita scriptum ferebatur, Ποσὶ γὰρ ὤφειλεν εἰπεῖν, ἀντὶ ἁρπυίαις ὁπλαῖς εἶπε. [7] Ἡρωϊκοῦ rescripsi, pro ἱερόν, ex omnibus *MSS.*

Λαβόντα κηρύξουσιν. Ἐν δὲ δεμνίοις
Τὸν ἐξ ὀνείρων πέμπτον ἐπτοημένον,
Εἰδωλοπλάστῳ προσκαταξανεῖ ῥέθει,
Τὸν [a] μελλόνυμφον αὐθέντην Κυταϊκῆς,
Τῆς ξεινοβάκχης, ὅν ποτ' Οἰνώνης φυγὰς,

Adeptum prædicabunt. Quintum denique
In cubili ex insomniis turbatum
Imaginoso agitabit corpore,
Sponsum futurum conjugem Cytaicæ,
Hospites depereuntis: quem aliquando ab Oenone exulans,

VARIANTES LECTIONES.

[a] Μελλόνυμφον *Bar.* eandemque lectionem in *Scholiis* retinet.

χου, τοῦ καλαξαντῆρος καὶ ἀναιρετικοῦ Ἕκτορος. λέγει δὲ τὸν Δηΐφοβον, ὅν τινα κηρύξουσι καὶ ὑμνήσουσι λαβόντα τὰ δευτερεῖα τῆς δυσσφάλτου παλαίσμης, καὶ οἱ μὲν δύσσφαλτον [1] πάλην τὴν Ἑλένην λέγουσιν, ἀντὶ τοῦ, ἧς ἕνεκα πολλοῖς σφάλμασι καὶ ἀτυχήμασι περιέπεσον. ἐγὼ δὲ τὰ σφαλλόμενα καὶ μεταπίπτοντα παλαίσματα τοῦ πολέμου, οἷον ἀντὶ τοῦ, Ὅν τινα τὸν Δηΐφοβον κηρύξουσι τὰ δευτερεῖα ἔχειν τῶν πολεμικῶν παλαισμάτων μετὰ τὸν Ἕκτορα. καὶ τοῦτο δὲ ψεῦσμα τοῦ ποιητοῦ, μετὰ γὰρ τὸν Ἕκτορα Τρωΐλος, ὁ ἕτερος ἀδελφὸς, καὶ οὐχὶ ὁ Δηΐφοβος ἐν τοῖς πολεμικοῖς ἐδευτέρευε. ἢ οὕτως, ἤγουν δεύτερος αὐτὸς γαμεῖ τὴν Ἑλένην μετὰ τὸν Ἀλέξανδρον. ἢ ἴσως καὶ δύσσφαλτον πάλην καλῶς ἔχει λέγειν τὴν Ἑλένην, κίρναν δὲ καλαξαντῆρα καὶ [2] ἅρπαγα τὸν Ἀλέξανδρον. μετὰ γὰρ τὸ ἀχθῆναι Φιλοκτήτην ἀπὸ Λήμνου, καὶ τοξευθῆναι ὑπ' αὐτοῦ, καὶ ἀναιρεθῆναι τὸν Ἀλέξανδρον, Δηΐφοβος τὴν Ἑλένην ἔγημεν. ἢ καὶ τὴν Πριάμου αὐτὴν ἆθλον τεθῆναι τῷ ἀριστεύσαντι κατὰ πόλεμον, καὶ λαβὼν ταύτην αὐτὸς, ὡς ἀριστεύσας· ἢ κληθέντων ἄλλων φασὶ, ἣν μόνος αὐτὴν ἀφελόμενος, ὡς Εὐριπίδης ἐν Τρῳάσι φησί·

Βίᾳ δ' ὁ καινός μ' ἐξαρπάσας πόσις,
Δηΐφοβος ἄλοχον εἶχεν ἀκόντων Φρυγῶν.

171, 172. [3] Ἐν δὲ δεμνίοις.] τὸν πέμπτον εἰδωλοπλάστῳ προσκαταξανεῖ ῥέθει καὶ σώματι, ἐξ ὀνείρων ἐπτοημένον· τουτέστι, ποιήσει αὐτὸν ἐν ὀνείροις φάσμα αὐτῆς βλέποντα, κνίζεσθαι καὶ ταλαιπωρεῖσθαι, [4] ὥσπερ συνουσιάζοντα αὐτῇ, (λέγει δὲ τὸν Ἀχιλλέα) τῷ δι' ὀνείρων ἔρωτι, καὶ τῷ εἰδωλοπλάστῳ κάλλει αὐτῆς προσταλαιπωροῦσα αὐτόν.

173. Ῥέθει.] νῦν μὲν τῷ ὅλῳ σώματι, κυρίως δὲ μόνῳ τῷ προσώπῳ, παρὰ τὸ ἔξω τὰ ἤθη ψυχῆς δι' αὐτοῦ φαίνεσθαι.

174. Τὸν μελλόνυμφον.] τὸν Ἀχιλλέα, τὸν ἐν ᾅδῃ γῆμαι μέλλοντα τὴν Μήδειαν. μυθεύονται γὰρ ἔτι [5] ἐν Μακάρων νήσοις αὐτὴν γῆμαι, θυγατέρα οὖσαν Αἰήτου καὶ Εἰδυίας, τῆς Ὠκεανοῦ θυγατρός. Κύταια δὲ πόλις Κολχίδος, ὅθεν αὐτὴν Κυταϊκὴν ἔφη. οἱ δὲ Κόλχοι, Ἰνδικοὶ Σκύθαι εἰσίν, [6] οἳ καὶ Λαζοὶ καλέονται, πλησίον οἰκοῦντες Ἀλανῶν, τῶν πρὶν Μασσαγετῶν, ὧν Κολχῶν τὰ φάρμακα αὐθημερὸν ἀναιροῦσι. εἰς δὲ Κόλχους Αἰήτης ἀφίκετο, ὡς μὴ [7] ἀρεσθεὶς τῇ τῆς Κορίνθου βασιλείᾳ. Αἰήτης γὰρ καὶ Ἀλωεὺς Ἡλίου παῖδες καὶ Πέρσης, τῆς Ὠκεανοῦ θυγατρός. διεῖλε δὲ Ἥλιος τοῖς παισὶ τὴν βασιλείαν, καὶ τὴν μὲν Ἀρκαδίαν Ἀλωεῖ δέδωκε, τὴν δὲ Κόρινθον Αἰήτῃ. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ Κορίνθῳ, παρέθετο ταύτην φυλάττειν Βούνῳ, Ἑρμοῦ καὶ Νύμφης υἱῷ. αὐτὸς δ' εἰς Κόλχους ἀφίκετο, ἐντειλάμενος Βούνῳ φυλάττειν τὴν τῆς Κορίνθου βασιλείαν, ἕως ἂν ἢ αὐτὸς, ἢ τις τῶν ἐξ αὐτοῦ ἥκοιτο. ἐν Κόλχοις δὲ αὐτὸς γήμας Εἰδυῖαν, τὴν Ὠκεανοῦ θυγατέρα ἐν Κυταίᾳ πόλει, Μήδειαν καὶ Ἄψυρτον γεννᾷ. ἀδελφαὶ δὲ Αἰήτου καὶ Ἀλωέως, ἤτοι Ἡλίου θυγατέρες, Κίρκη καὶ Πασιφάη, καθ' ἑτέρους καὶ Καλυψώ. περὶ δὲ τῆς Ἡλίου βασιλείας, τῆς εἰς αὐτοῦ παῖδας Αἰήτην καὶ Ἀλωέα, διαιρέσεως, Θεόπομπος ὁ Χῖος Εὐμήλου, τοῦ Κορινθίου ἱστορικοῦ ποιητοῦ, μέμνηται λέγοντος·

Ἀλλ' ὅτε δ' Αἰήτης, καὶ Ἀλωεὺς ἐξεγένοντο
Ἠελίου τε καὶ Ἀντιόπης, τότε δ' ἄνδιχα χώρην
Δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός.
Ἣν μὲν ἔχεν Ἀσωπὸς, τὴν πόρε δίῳ Ἀλωεῖ,
Ἣν δ' Ἐφύρη κτεάτεσσ' Αἰήτῃ δῶκεν ἅπασαν.
Αἰήτης δ' ἄρ' ἑκὼν Βούνῳ παρέδωκε φυλάσσειν,
Εἰσόκεν αὐτὸς ἀνὴρ εἰς ὕστερον αὖθις ἵκοιτο,
Ἢ ἐξ [8] αὐτοῖό τις ἄλλ'· ᾤχετο Κολχίδα γαῖαν.

Σημείωσαι δὲ τοῦτο, ὅτι οἱ μὲν λοιποὶ τῶν ἱστορικῶν Πέρσης καὶ Ἡλίου παῖδας φασὶ τὸν Αἰήτην καὶ Ἀλωέα, ὁ δὲ Εὔμηλος ἀπὸ Ἀντιόπης καὶ Ἡλίου. * Τοῦτο διττῶς ἱστορεῖται. Οἱ μὲν γάρ φασιν, ὅτι κατ' ὄναρ ὁ Ἀχιλλεὺς μιγεὶς τῇ Ἑλένῃ, ἰδεῖν αὐτὴν ἐπεθύμησεν, ἐρωτικῶς ἔχων ἀπὸ τοῦ ὀνείρου, καὶ ἠξίωσεν ἐλθεῖν ἐπὶ τοῦ τείχους, ὁ δὲ ἰδὼν αὐτὴν, ἐπὶ πλεῖον ἔρωτι ἐτάθη. Οἱ δὲ οὕτως, ὅτι ἰδὼν αὐτὴν περιοῦσαν ἐπὶ τοῦ τείχους, ἔρωτι συνεσχέθη, καὶ ἠξίωσε τὴν μητέρα αὐτοῦ συμπρᾶξαι αὐτῷ εἰς τὸ συμμιχθῆναι αὐτῇ. ἡ δὲ κατ' ὄναρ ἐποίησεν, ὡς δοκεῖν αὐτὸν αὐτῇ συνέρχεσθαι, καὶ οὕτως παραμυθηθῆναι. *

175. Ξεινοβάκχης.] τῆς Μηδείας, ὅτι ξένῳ ὄντι τῷ Ἰάσονι ἐφιλιώθη καὶ ἐξεβακχεύθη, καὶ διὰ τὸν αὐτοῦ ἔρωτα καὶ Ἄψυρτον κατέτεμε μελῃδὸν, τὸν αὐτῆς ἀδελφόν. ἡ δὲ ἱστορία παρὰ Ἀπολλωνίῳ τῷ Ῥοδίῳ κεῖται. μέμνηται καὶ Πίνδαρος λέγων·

—— Θέσφατον ἦν Πελίαν
Ἐξ ἀγαυῶν θανέμεν Αἰολιδᾶν,
Χείρεσιν, ἢ βουλαῖς ἀκνάμπτοις.

Τὸ δὲ πλάτος τῆς ἱστορίας κατὰ Φερεκύδην, καὶ ἑτέρους, οὕτως ἔχει. Σαλμωνέως καὶ Ἀλκιδίκης θυγάτηρ ὑπάρχει [9] Τυρὼ, παρὰ Κρηθεῖ τρεφομένη, τῷ Σαλμωνέως ἀδελφῷ. ταύτῃ μιγεὶς Ποσειδῶν, διδύμους παῖδας γεννᾷ, Πελίαν καὶ Νηλέα, οὓς ἡ μήτηρ ἐκτίθησιν ἱπποφορβίοις. τραφέντες δὲ ἀνέγνων τὴν μητέρα, καὶ τὴν ἐκείνης μητρυιὰν κτείνουσι Σιδηρώ, καίπερ φυγοῦσαν ἐν τῷ τῆς Ἥρας τεμένει. Νηλεὺς δὲ στασιάσας μετὰ Πελίου ἥκει εἰς [10] Μεσσήνην, καὶ κτίζει Πύλον. Πελίας δὲ ἐν Θεσσαλίᾳ οἰκῶν, ἐξ Ἀναξιβίας τῆς Βίαντος, ἢ Φιλομάχης τῆς Ἀμφίονος, ἔσχεν Ἄκαστον, Πεισιδίκην, Πελόπειαν, Ἱπποθόην, Ἄλκηστιν. Κρηθεὺς δὲ κτίσας Ἰωλκὸν, ἐκ Τυροῦς, τῆς αὐτοῦ ἀδελφιδῆς, γεννᾷ Αἴσονα, Ἀμυθάονα, Φέρητα. μετὰ δὲ

EMENDATIONES.

[1] Πάλην, pro πάλιν, ut paulò ante πάλην, pro ὅτι. [2] Ἅρπαγα, pro ὅρπαγα, ex omnibus MSS. [3] Sequuntur in *Impressis Codd.* quædam de Achille, quem Poeta noster alterum Helenæ maritum fuisse narrat; quæ quidem in *Bar.* desunt, in *Seld.* verum paulo inferius reperiuntur, quo, tanquam ad proprium locum, transferenda curavi. [4] Ita emendavi hunc locum, ex *Grav.* quem vulgg. editi hoc modo habebant: ὥσπερ συνουσιάζοντα αὐτῇ, λέγει δὲ τὸν Ἀχιλλέα, εἰδωλοπλάστῳ.] τῷ δι' ὀνείρων &c. [5] Ἐν ᾅδῃ μακάρων νήσοις habent *Impressi*. Ego ἔρωτι delevi, ex fide omnium *MSS.* quod tanquam interpretamentum margini adscriptum, in textum irrepsisse videtur. [6] Οἳ καὶ Λαζοὶ (Ἀζοὶ *Grav.*) καλοῦνται, πλησίον οἰκοῦντες Ἀβρτῶν, (Ἀβασγῶν *Seld.*) ὧν Κολχῶν &c. *MSS.* omnes. [7] Malui hic, & paulo post, ἀρεσθεὶς, pro ἀρεσθεὶς, cum *Bar.* priusquam vidissem ἀρεσθεὶς legi in Scholiis ad Pindarum, quæ dicuntur τῶν νεωτέρων. sed procul dubio ad Tzetzen nostrum aliqua saltem ex parte referri debent. Nam ubi Medeæ fabulam explicavit eodem, quo hic reperitur, modo, addit: Εὐμήλου δὲ τῆς ἱστορίας ... ἐν τῷ τῶν Αὐτοκράτους παραμέμφεται. Quæ procul dubio huc spectant. Vid. Olymp. Od. ιγ'. p. 156. Edit. Oxon. Ibidem pro ἀρεσθεὶς, quod hic habetur, ἀχθόμενος legitur. [8] Αὐτῶν, pro αὐτῶ, ex *Seld.* * Hæc sunt quæ ex alieno loco in suum transtuli secutus *Seld.* [9] Τυρὼ, pro τυρὼ, ex omnibus *MSS.* & paulo post. [10] Μεσσήνην, pro Μεσήνην, ex *Seld.*

Κρηθέως, Πελίας ἐβασίλευσεν Ἰωλκοῦ, ᾧ χρησμὸς ἦν, ὑπό τινος τῶν ἐξ Αἰόλου θανεῖν. ὧν εἷς ἦν καὶ Ἰάσων, παῖς Αἴσονος ὑπάρχων καὶ Πολυμήδης, τῆς Αὐτολύκου. ὡς γοῦν πάντας ἀνῄρει τοὺς Αἰολίδας ὁ Πελίας, ἔμελλε δὲ καὶ τὸν Ἰάσονα ἔτι βρέφος ὄντα, ὡς Αἰολίδην, ἀπολέσαι, νύκτα βαθεῖαν οἱ τούτου συντηρήσαντες συγγενεῖς, συρῷ τοῦτον βαλόντες, μετὰ θρήνων ἐξάγουσιν ὡς ἤδη θανόντα· ἀπαγαγόντες δὲ εἰς τὸ Χείρωνος ἄντρον, δεδώκασιν αὐτὸν ἀναθρέψαι καὶ παιδεῦσαι, καθά πῃ καὶ τοῦτο Πίνδαρος λέγει. Αὔξην δὲ λαβὼν ἡλικίας κατῆλθε ἐκ τοῦ ἄντρου, καὶ κατὰ μὲν Ἀπολλώνιον, καὶ λοιπούς, περὶ τὸν Ἄναυρον ῥεῖθρα ποταμόν. ὁ δὲ Πελίας καὶ πάλιν χρησμὸν λαβὼν, ἤκουσεν, Ἀπὸ μονοπέδιλου φυλάττεσθαι, καθὰ καὶ Πίνδαρος ἔλεγε,

> Τὸν μονοκρήπιδα πάντως
>
> Ἐν φυλακαῖσι σχεθέμεν μεγάλαις.

Τοῦτον γοῦν μαθὼν τὸν χρησμὸν, θύσας τῷ Ποσειδῶνι, πάντας ἐπὶ τὴν θυσίαν καλέσας, εἶδε τὸν Ἰάσονα μονοκρήπιδα. διαπεραιούμενος γὰρ τὸν Ἄναυρον ποταμὸν,

> Ἄλλο μὲν ἐξεσάωσεν ὑπ' ἰλύος, ἄλλο δ' ἔνερθε
>
> Κάλλιπεν αὖθι πέδιλον, ἐνισχόμενον προχοῇσι·

καθάπερ φησὶν Ἀπολλώνιος. ἰδὼν γοῦν ὁ Πελίας αὐτὸν μονοπέδιλον, ἤρετο, Σὺ τί ἂν ἐποίησας, εἴ σοι ἦν χρησμὸς, ὑπό τινος ἀναιρεθῆναί σε. ὁ δὲ βουλῇ τῆς Ἥρας φησὶν, Ἐπὶ τὸ ἀγαγεῖν τὸ χρυσόμαλλον δέρας ἔστειλα ἂν αὐτόν. τὸ δὲ χρυσόμαλλον τοῦτο δέρας ἦν τοῦ κριοῦ, ὃς τὸν Φρίξον εἰς Κολχίδα διεπέρασεν, ἐκεῖ δὲ τοῦτον, ὡς φασὶν, ἔθυσε Φυξίῳ Διῒ, καὶ ἐν Ἄρεος ἄλσει περί τινα δρῦν τοῦτο ἀπεκρέμασεν· ἐφύλαττε δὲ τοῦτο δράκων, ὅστις πεντηκόντορος ναῦς μάκει τε, πάχει τε, ὡς φησὶ Πίνδαρος. κατὰ γοῦν τὴν αὐτοῦ κρίσιν ὁ Πελίας κελεύει αὐτὸν τὸν Ἰάσονα ἀπελθεῖν, καὶ κομίσαι τὸ δέρας [1] αὐτῷ. ὁ δὲ τῆς Ἀργοῦς ἐπιβὰς, ἣ τῆς λαλιστάτην εἶχε τὴν [2] τρόπιν, ἐκ τῆς Δωδωναίας δρυὸς ὑπάρχουσαν, καὶ σὺν αὐτῷ ὀνομαστοὺς ἄνδρας μεθ' ἑαυτοῦ λαβὼν, ὡς εἶναι τοὺς πάντας ν', κατέπλευσεν εἰς τὴν Κολχίδα, καὶ παρεκάλει Αἰήτην δοῦναι αὐτοῖς τὸ δέρας. ὁ δὲ ἔφη δοῦναι, ἂν τοὺς Ἡφαιστείους πυρπνόους χαλκόποδας ζεύξῃ ταύρους, καὶ σπείρῃ τοὺς δράκοντος ὀδόντας, οὓς εἶχεν αὐτὸς ὁ Αἰήτης, τῆς Ἀθηνᾶς δούσης αὐτῷ μέρος ἐκ τῶν ἐν Θήβαις σπαρέντων τῷ Κάδμῳ. Μήδεια δὲ, ἡ Αἰήτου θυγάτηρ, ἐρασθεῖσα Ἰάσονος, φαρμάκοις αὐτὸν χρίσασα, καὶ τῆς πυρὸς τῶν ταύρων διεφύλαξε, καὶ νυκτὸς πρὸς τὸ δέρας τοῦτον [3] ἀπάγει, καὶ γοητεύσασα τὸν δράκοντα, τοῦτο ἀφείλατο, καὶ τοῖς Ἀργοναύταις συναπέπλευσε, λαβοῦσα μεθ' ἑαυτῆς καὶ τὸν αὐτῆς ἀδελφὸν Ἄψυρτον. διώκοντος δὲ Αἰήτου, μεληδὸν τὸν Ἄψυρτον τέμνουσα, ἔῤῥιπτεν εἰς τὴν θάλασσαν. συλλέγων δὲ ὁ Αἰήτης τὰ τοῦ παιδὸς μέλη, τὴν δίωξιν ὑστέριζεν, εἶτα Κόλχους ἀπέστειλεν εἰς δίωξιν αὐτῶν. Αὐτοὶ δὲ Ἠριδανὸν, καὶ Σύρτιδας νήσους, καὶ [4] Σειρῆνας παρέπλευσαν, Ὀρφέως ἀντᾴδοντος, [5] Βούτης δὲ μόνος ἐξῆλθε πρὸς αὐτάς. μετὰ Σειρῆνας, παραπλεύσας Χάρυβδιν, Σκύλλαν, Κυανέας, πλαγκτὰς πέτρας, Θέτιδος δὲ αὐτοὺς διαβιβασάσης Ἥρας προστάξει. Θρινακίαν δὲ παραπλεύσαντες, ἔνθα βόες Ἡλίου, εἰς Φαιακίαν ἦλθον, πρὸς Ἀλκίνοον βασιλέα. Τῶν δὲ διωκόντων αὐτοὺς Κόλχων, οἱ μὲν ἐν τοῖς Κεραυνίοις ὄρεσι παρῴκησαν, οἱ δὲ εἰς τὴν Ἰλλυρίδα, καὶ τὰς Ἀψυρτίδας νήσους, τινὲς δὲ εἰς Φαιακίαν. Ἀρήτη δὲ Ἰάσονα καὶ Μήδειαν συνέζευξε, καὶ ιβ' θεραπαινίδας αὐτοῖς παρέσχεν. οἱ δὲ Κρήτην παραπλεύσαντες, Αἴγιναν, Εὔβοιαν, καὶ Λοκρίδα, εἰς Ἰωλκὸν ἵκοντο, τὸν πάντα πλοῦν [6] δυοὶ μησὶν ἀνύσαντες. Πελίας ἀπεγνωκὼς τὴν ἄφιξιν τῶν Ἀργοναυτῶν, Αἴσονα ἀνελεῖν ἤθελεν. ὁ δὲ θύων, ταύρου αἷμα πιὼν, ἀπέθανεν. ἡ δὲ Ἰάσονος μήτηρ ἑαυτὴν ἀνήρτησε, νήπιον παῖδα Πρόμαχον ἀπολιποῦσα· καὶ τοῦτον δὲ Πελίας ἀνεῖλεν, ὁ δὲ Ἰάσων τὸ δέρας δοὺς, εἰς τὸν Ἰσθμὸν πλεύσας, Ποσειδῶνι τὴν Ἀργὼ ἱερoῖ. Μήδειαν δὲ παρακαλεῖ μετελθεῖν Πελίαν, ἕνεκεν τοῦ φόνου τῶν αὐτῆς συγγενῶν. ἡ δὲ κριὸν ἀφεψήσασα, ἄρνα ποιεῖ. καὶ αἱ τοῦ Πελίου θυγατέρες ὁμοίως ἀφεψῆσαι θέλουσαι τὸν Πελίαν, ἀνεῖλον αὐτόν. Ἄκαστος δὲ διώκει Ἰωλκοῦ Μήδειαν καὶ Ἰάσονα, καὶ δέκα χρόνους ἐν Κορίνθῳ διέτριβον. Ἰάσων δὲ λαβὼν Γλαύκην, τὴν Κρέοντος, οὐ μικροῦ τὴν Μήδειαν ἐλύπησεν, ἣ φαρμάκοις Γλαύκην ἀπώλεσε, καὶ Κρέοντα· καὶ τοὺς ἰδίους παῖδας, [7] Μέρμερον καὶ Φέρητα, ξίφει διαχειρισαμένη, ἐφ' ἅρματος δρακόντων πτερωτῶν εἰς Ἀθήνας ἀποδημεῖ, καὶ συνοικήσασα Αἰγεῖ, τῷ Πανδίονος, γεννᾷ Μῆδον. ὕστερον δὲ τῷ Θησεῖ ἐπιβουλεύουσα, [8] ἐκβάλλεται τῆς Ἀττικῆς μετὰ τοῦ παιδὸς, ὃς βαρβάρων κρατήσας, τὴν ὑπ' αὐτὸν Μηδείαν ἐκάλεσεν, καὶ στρατεύσας Ἰνδοῖς τελευτᾷ. Μήδεια δὲ ἄγνωστος εἰς Κόλχους ἥκει, καὶ τῷ πατρὶ τὴν βασιλείαν δίδωσι πάλιν, Πέρσην ἀνελοῦσα, τὸν ἀδελφὸν ἐκείνου, τὸν αὐτὸν ἐκβαλόντα τῆς βασιλείας. Οὕτω μὲν οἱ πολλοὶ τῶν ἱστορικῶν, τὸν τῶν Ἀργοναυτῶν ἀπόπλουν εἰς Κόλχους γενέσθαι φασὶ, τοῦ Ἰάσονος εἰπόντος Πελίᾳ, ὅτι, Εἰ [9] ἔγνων τὸν ἐμὲ μέλλοντα ἀνελεῖν, ἀπέσταλκα ἂν αὐτὸν τὸ χρυσοῦν δέρας ἀποκομίσαι μοι, καὶ τοῦ Πελίου κατὰ τὴν [10] αὐτοῦ κρίσιν αὐτῷ ἐπιτάξαντος τοῦτο ἀποκομίσαι. ὁ δὲ Πίνδαρός φησιν, ὅτι κατελθὼν ὁ Ἰάσων ἀπὸ τοῦ Χείρωνος ἄντρου, καὶ γνωρισθεὶς τῷ πατρὶ, καὶ τοῖς συγγενέσιν, ἀριστοποιήσας καὶ συνευωχηθεὶς αὐτοῖς, εἶτα πρὸς Πελίαν ἀπελθὼν, τραχέως μετὰ ὄχλου πολλοῦ τὴν τῶν προγόνων βασιλείαν ἀπῄτει. ὁ δὲ Πελίας ὑπέσχετο δοῦναι αὐτῷ, πρότερον εἰπὼν ἀπελθεῖν αὐτὸν εἰς Κολχίδα, καὶ τὴν Φρίξου ψυχὴν ἀνακαλέσασθαι πρὸς κατὰ τὸν νόμον. ἔφη γὰρ, [11] ὑπὸ δειμάτων νυκτερινῶν θορυβεῖσθαι διὰ τὸν Φρίξον. [12] Εἰ γοῦν ἀπέλθῃς, φησὶ, καὶ οὕτω ποιήσεις, καὶ τὸ δέρας κομίσεις (νέος γὰρ εἶ, ἐγὼ δὲ γέρων) δίδωμί σοι τὴν βασιλείαν. τοῦτο δὲ εἶπεν, ὡς ἀπελθὼν ἀναιρεθῇ ὑπὸ τοῦ δράκοντος. Τὰ δὲ τοῦ Πινδάρου ῥητὰ οὕτως ἔχουσιν·

> Ἐστάθη γνώμας ἀταρβάκτοιο πειρώμενος,
>
> Ἐν ἀγορᾷ πλήθοντος ὄχλου.

Καὶ μετ' ὀλίγον πάλιν φησίν·

> Οὐ πρέπει νῷν χαλκοτόροισι ξίφεσιν,
>
> Οὐδ' ἀκόντεσσι μεγάλαν προγόνων
>
> Τιμὰν δάσασθαι. ———

Οἰνώνης φυγάς.] ὁ Πηλεύς. Αἰακοῦ γὰρ καὶ Ἐνδηΐδος παῖδες, Τελαμὼν καὶ Πηλεὺς, καὶ Φῶκος ἀδελφὸς αὐτῶν ἐκ [13] Ψαμάθης, μιᾶς τῶν Νηρηΐδων, ὃν Φῶκον ἐν γυμνασίᾳ Πηλεὺς δίσκῳ πλήττει, Τελαμὼν δὲ τὸ μετάφρενον πλήξας ξίφει, ἀνεῖλεν αὐτὸν, ὅθεν παρ' Αἰακοῦ διώκονται τῆς Αἰγίνης. καὶ ὁ μὲν Τελαμὼν τὴν Σαλαμῖνα νῆσον οἰκεῖ· Κεγχρεὺς δὲ, ὁ Ποσειδῶνος καὶ Σαλαμῖνος, τῆς Ἀσωποῦ, κτείνας ὄφιν τὴν νῆσον λυμαινόμενον, ἐβασίλευσεν αὐτῆς· ἄπαις δὲ τελευτῶν, τὴν βασι-

EMENDATIONES.

1 Αὐτῷ, reposui pro αὐτοῦ, ex fide omnium *MSS.* 2 Τρόπιν reposui, pro τροπὶν, ex *Bar.* *Scholiastes* enim de carina navis Argûs loquitur, quam vocalem fuisse dicit. 3 Ἀπάγει, pro ἀπάγεν, ex *Bar.* & *Grav.* 4 Σειρῆνας posui, pro Σειρῆνες, ex utroque *MSS.* idemque feci paulo post. 5 Βούτης posui, pro Αἰήτης, non enim Æetes, sed Butes dictus est, qui Sirenum cantu delinitus, ad eas se contulit, desertus Argonautis, ut patet ex *Apollonio*, Argon. δ'. v. 913.

> ——— οἷος ἑταίρων
>
> Πρόσθορε μὲν ξεστοῖο καλὸν ζυγοῦ, ἐσθλὸς παῖς
>
> Βούτης, Σειρήνων λιγυρῇ ἐπὶ θυμὸν ἰανθείς.

Cæterum Βούτης habent *Bar.* & *Grav.* Βούτης *Seld.* 6 Τέτρασι *Grav.* 7 Mallem Μέρμερον, cum *Seld.* 8 Ἐκβάλλεται τῆς Ἀττικῆς reposui, pro ἐκβάλλεται πατρίδος, nixus auctoritate omnium *MSS.* Medea enim ob structas Theseo insidias, ab Ægeo Thesei patre, cui nupsisset, ex Attica ejecta est, narrante *Plutarcho*, in Vita Thesei. 9 Ἔγνων reposui, pro ἔγνω, ex fide utriusque *MSS.* 10 Αὐτοῦ, pro αὐτῷ, ex *Grav.* 11 Ὑπὸ δειμάτων posui, pro ὑποδειγμάτων, itaque emendandum esse ipsa verba clamant. Atque sic legi reperio in *Grav.* 12 Εἰ γοῦν, pro εἰ γὰρ, ex omnibus *MSS.* 13 Ψαμάθης, μιᾶς τῶν Νηρηΐδων rescripsi, pro Ψαμάθης μιᾶς τῶν ἑταιρῶν, fretus auctoritate *Seld.*

λείαν

Μύρμων τὸν ἐξάπεζον ἀνδρώσας στρατὸν,
Πελασγικὸν Τυφῶνα γείνατο πατὴρ,

Cum sexpeda formicarum in viros mutasset agmina,
Procreavit pater Typhonem Pelasgicum,

λείαν Τελαμῶνι κατέλειψε, φυγόντι πρὸς αὐτόν. ὁ δὲ Πηλεὺς κατὰ Φερεκύδην καθαίρεται ὑπ' Εὐρύτου, τοῦ Ἄκτορος, οὗ θυγατέρα Ἀντιγόνην λαμβάνει· ἀπαρτηθείσης δὲ ἐκείνης, ᾤχετο εἰς Φθίαν, καὶ Θέτιν [1] ἄγει, ἐπὶ τῆς ἵππου ὄχει ἐν [2] Φαρσάλῳ, καὶ [3] Θετιδείῳ, ὃ καλεῖται ἀπὸ τῆς Θέτιδος ἡ πόλις· κατὰ μὲν Φίλαρχον, ὅτι ὁπλισαμένη τὰ ὅπλα ἔφυγε πρὸς τὸν Ἥφαιστον, μὴ πληρώσασα [4] τούτῳ τὸν ἔρωτα, πληγεῖσα τὸν πόδα ὑπ' αὐτοῦ σφύρᾳ, ἐν Θετταλίᾳ ἵσταται, ἐν τῷ ἀπ' αὐτῆς κληθέντι Θετιδείῳ. κατὰ δὲ Εὐριπίδην, ὅτι διωκομένη ἡ Θέτις ὑπὸ Πηλέως, μετήλλαττεν ἑαυτὴν, ὡς ὁ Πρωτεὺς, εἰς διαφόρους [5] εἰδέας. ἐπεὶ δὲ κατέσχεν αὐτὴν ἐν σηπίας μορφῇ, καὶ ἐμίγη αὐτῇ, ὅθεν καὶ Σηπίας, χωρίον Μαγνησίας Θετταλικῆς. [6] Οὕτω γοῦν φυγάδην Θετταλικὸν Οἰνώνης, ἤτοι Αἰγίνης, τὸν Πηλέα φησίν· ἡ γὰρ Αἴγινα πρότερον Οἰνώνη ἐλέγετο, ἀπὸ Οἰνώνης, τῆς Βαδίαντος θυγατρὸς, καθά φησι Πολαίνετος ἐν τῷ πρώτῳ τῶν Αἰγινητῶν. Αἴγινα δὲ μετεκλήθη, ὡς πάντες φασὶν ἀπὸ Αἰγίνης, τῆς Ἀσωποῦ. διὰ δὲ τὸν φόνον Φώκου, ἡ μήτηρ [7] αὐτοῦ Ψαμάθη λύκον μέγαν ἐποίησεν διαφθείρειν τὰς βόας Πηλέως, ὃν πάλιν αὐτὴ ἀπελίθωσε, Θέτιδος παρακλήσει. οἱ δὲ φασὶν, ὅτι ἡ Θέτις τοῦτον ἀπελίθωσε τρώγοντα τὰς βοῦς, ἃς Πηλεὺς ἄποινα ἔστελλεν Ἀκάστῳ ὑπὲρ Ἄκτορος, τοῦ ἐκείνου υἱοῦ, ὃν ἄκων ἀνεῖλε κυνηγεσίῳ. οἱ δὲ φασιν, ὅτι ὁ Πηλεὺς πρὸ Θέτιδος Πολυμηλίδα εἶχε γυναῖκα, ἧς ἀδελφὸς ἱερεύς· ὃ παῖδα Εὐρυτίωνα ἐν κυνηγεσίῳ Πηλεὺς ἄκων ἀναιρεῖ, ἕνα ὄντα τῶν Ἀργοναυτῶν. Οἰνώνης φυγάς.] Αἴγιναν, τὴν Ἀσωποῦ θυγατέρα Ζεὺς εἰς εὐνὴν εἶχεν, εἰς τόπον καλούμενον Φλιοῦντα, τοῦ δὲ Σισύφου τῷ Ἀσωπῷ ἀπαγγείλαντος τὴν τοῦ Διὸς μῖξιν, ὁ Ἀσωπὸς πρὸς τὸ μαθὼν τὰληθὲς ἐπείγετο. Ζεὺς δὲ γνοὺς τοῦτο, τὴν μὲν εἰς νῆσον ἐπώνυμον μετέβαλε, τῷ δὲ Σισύφῳ δέδωκε τιμωρίαν ἐν τῷ ᾅδῃ, ὥς τι λίθον τινὰ φέρειν μέγαν. τῆς δὲ Αἰγίνης τὸν Αἰακὸν τεκούσης, καὶ διὰ τὸ διατελεῖν μόνον ἐν τῇ νήσῳ δυσχεραίνοντα, προσηύξατο τῷ Διῒ, ἵνα οἱ ἐκεῖσε μύρμηκες μεταβληθῶσιν εἰς ἄνδρας, ὃ καὶ γέγονεν. ἄλλοι δὲ τὸ περὶ τῶν μυρμήκων οὕτως φασὶν, Ὅτι Πηλεὺς ἀνελὼν τὸν ἴδιον ἀδελφὸν, ἔφυγε, καὶ ἐλθὼν ἐν Θεσσαλίᾳ ἀπορῶν στρατοῦ, καὶ εὐξάμενος τῷ Διῒ, μετεβλήθησαν οἱ μύρμηκες εἰς ἄνδρας, ἐξ οὗ λέγονται Μυρμιδόνες.

176. Μύρμων τὸν ἐξάπεζον ἀνδρώσας στρατόν.] Ἱστοροῦσιν, ὅτι Αἰακὸς Διῒ ἐξ Αἰγίνης γεννηθεὶς, ἐν τῇ ἀπ' [8] αὐτῆς Αἰγίνῃ νήσῳ κατελείφθη μόνος· ᾐτήσατο δὲ τῷ Διῒ, καὶ δὴ τοὺς μύρμηκας ἀνθρώπους ἐποίησε, καθὰ καὶ Ἡσίοδος ἐν τῇ Ἡρωϊκῇ γενεαλογίᾳ φησὶν,

Ἡ δ' ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην,
Αὐτὰρ ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον,
[9] Μοῦνος ἐὼν ἤχαλλε. Πατὴρ δ' ἀνδρῶν τε θεῶν τε,
Ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,
Τοὺς ἄνδρας ποίησε, βαθυζώνους τε γυναῖκας,
Οἳ δή τοι πρῶτοι ζεῦξαν νέας ἀμφιελίσσας.

Καὶ ταῦτα μὲν εἰσὶ τὰ λῆρα καὶ μυθικά. Θεαγένης δὲ ὁ ἱστορικὸς ἐν τῷ περὶ Αἰγίνης φησὶν, ὀλιγανθρωπούσης τῆς νήσου τοὺς ἐν αὐτῇ ἐν σπηλαίοις οἰκεῖν, [10] ἀταλαιπώρους ὄντας· καὶ τοὺς μὲν γεωργουμένους καρποὺς ἐν τοῖς σπηλαίοις τιθέναι, τὴν δ' ἐκ τούτων ὀρυττομένην γῆν εἰς τὰς γεωργίας ἀναφέρειν, ὡς ὑπάρχου τῆς νήσου τελέως, καὶ μᾶλλον ἐπὶ τῶν πεδινῶν. [11] τὸ δ' ἀληθὲς οὕτως· Αἰακὸς ἐλθὼν μετά τινων ἐκ Πελοποννήσου, καὶ οἰκήσας τὴν νῆσον, ἐξημέρωσεν αὐτὴν, πάντα διδάξας τὰ πρὸς πόλεμον, καὶ ἁπλῶς εἰπεῖν, ὅσοις ἄνθρωποι κέχρηνται. ὅθεν ἐμυθεύσαντο, ὅτι Αἰακῷ χαριζόμενος ὁ Ζεὺς, τοὺς τῆς Αἰγίνης νήσου μύρμηκας ἀνθρώπους ἐποίησε, τουτέστιν, ἡ Εἱμαρμένη, καὶ ὁ νοῦς Αἰακοῦ (Ζεὺς γὰρ καὶ ἡ Εἱμαρμένη, καὶ ὁ νοῦς λέγεται) μετέπεμψεν αὐτοὺς καὶ μετερρύθμισε, πρὸς τὸ κατ' ἀνθρώπους πράττειν τὰ σύμπαντα ἔργα αὐτῶν. ἡ δὲ Αἴγινα αὕτη νῆσος μία τῶν Σποράδων ἐστὶν, ἀντικρὺ κειμένη τῆς Ἀττικῆς, ἄποικος, ὡς ἔφην, Ἀργείων ὑπάρχουσα. μετὰ γὰρ Λακεδαιμονίων ἐλθὼν Αἰακὸς ταύτην κατῴκησε, καὶ Τεύκρων Ἀργεῖος μετὰ τὴν τελευτὴν Αἰακοῦ σὺν πλήθει ἐλθὼν, ᾤκησεν Αἴγιναν. οἱ δ' Ἀργεῖοι τῶν Δαναοῦ γένους εἰσίν. * Ἐξάπεζον] ἑξάπουν. * Ἀνδρώσας.] ἐπὶ μὲν Αἰακοῦ κατὰ τὸ μυθικὸν, ἀνθρώπους ποιήσας. νῦν δὲ ἐπὶ Πηλέως, ἀντὶ τοῦ στρατιώτας καὶ ἀνδρείους ποιήσας.

177. Πελασγικόν.] Ὠκεανοῦ καὶ Τηθύος Ἴναχος· Ἰνάχου καὶ Μελίας, τῆς Ὠκεανοῦ, Φορωνεὺς, καὶ Αἰγιαλεὺς ἄπαις, ἀφ' οὗ Αἰγιάλεια ἡ χώρα. Φορωνεὺς δυναστεύων Πελοποννήσου, ἐκ Τηλοδίκης νύμφης γεννᾷ Ἆπιν καὶ Νιόβην. Ἆπις οὖν τυραννικῶς ζῶν, ἀναιρεῖται ὑπὸ Θελξίονος καὶ Τελχῖνος, ἀφ' οὗ καὶ ἡ χώρα Ἀπία, ἡ τῆς Πελοποννήσου. Νιόβης, τῆς Ἄπιδος ἀδελφῆς, καὶ Διὸς, Ἄργος, ἀφ' οὗ ἡ χώρα· κατὰ δὲ Ἀκουσίλαον, καὶ Πελασγὸς σὺν Ἄργῳ, ἀφ' οὗ ἡ Πελοποννήσου χώρα, ἡ καὶ Ἀπία λεγομένη, μέχρι Φαρσαλίας καὶ Λαρίσσης Πελασγία ἐκλήθη. τὸν δὲ Ἀχιλλέα Πελασγικὸν ἐκάλεσεν, ὡς Φαρσάλιον. Τυφών.] δαίμων ἑκατογκέφαλος, πολεμηθεὶς καὶ κεραυνωθεὶς τῷ Διῒ, ὥς φασι μυθικῶς. Πίνδαρος μὲν λέγει,

Ἑκατογκεφάλου Τυφῶνος ὀμβρίμου.

Αἰσχύλος δὲ πάλιν περὶ τούτου φησὶ,

[10] Δεινοῖσι γαμφηλαῖσι συρίζων φόνον,
Ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας.

Ἀλληγορεῖται δὲ ψυχικῶς. Τυφών ἐστιν ὁ τῦφος καὶ ἡ κενοδοξία, ἑκατὸν κεφαλὰς, τουτέστι πολλὰς ἔχων ἐπάρσεις, ὄχλους κεραυνοῦται δὲ, καὶ τιμωρεῖται, καὶ καταβάλλεται τῷ Διῒ, ἤτοι τῷ σώφρονι λογισμῷ. ὁ Τυφὼν ἐστὶ συγχυτικὸς, ὁ μετὰ τὴν τοῦ Χάους καὶ τῆς Ἔριδος διάλυσιν σφοδρὰ κίνησις τῶν πνευμάτων, καὶ ἡ ἐκπύρωσις, ἥ τις ἐπισχέθη καὶ ἐπαύθη ὑπὸ Διὸς, ἤτοι τοῦ εὐκράτου ἀέρος, καὶ τοῦ οὐρανοῦ. μετὰ γὰρ τὸ εὐκρατωθῆναι, καὶ συστῆναι τὸν οὐρανὸν εὔρυθμον, ἐπισχέθη τὰ τυφωνικὰ καὶ πυρώδη πνεύματα. ἐπεὶ δὲ ἐν τοῖς κοίλοις καὶ κατεστραμμένοις τόποις,

EMENDATIONES.

1 Ἀγει ἐπὶ τῆς ἵππου, ὃ ἐκεῖ &c. Impress. 2 Φαρσάλῳ Seld. 3 Θετιδείῳ, τῆς Grav. 4 Τούτῳ. pro τοῦτο. ex Grav. 5 Ἰδέας MSS. omnes. 6 Οὕτω γοῦν φυγάδην Θετταλικὸν, pro οὕτω γοῦν φυγάδην Θετταλικοῦ. Et quidem οὕτω est in Grav. 7 Αὐτοῦ, pro αὐτῆς, Psamathe enim Phoci mater erat, ut paulo ante dictum. Cæterum hanc sententiam ita restitui, cum prius hoc modo scripta esset, Αἴγινα δὲ μετεκλήθη, ὡς πάντες φασὶν, ἀπὸ Αἰγίνης τῆς Ἀσωποῦ, διὰ τὸν φόνον Φώκου. ἡ μήτηρ αὐτῆς Ψαμάθη &c. Quid vero Phoco, aut Psamathe cum Ægina? hæc enim Asopi, Bœotorum regis, filia erat, & ex Jove gravida facta, Æacum solum, vel Æacum & Rhadamanthum peperit, quorum ille insulam Oenopiam ex matris nomine Æginam vocavit, Ovid. Metam. VII:

Oenopiam veteres appellavere; sed ipse
Æacus Æginam genitricis nomine dixit.

8 Αὐτῆς pro αὐτοῦ, ex utroque MSS. hujusque emendationis veritas ex jam dictis satis constat. 9 Ita emendavi, cum prius scriptum esset:

Μοῦνος ἐὼν ἤχαλλε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ὅσσοι ἔσαν, &c.

Adde quod in secundo versu, πολυηράτου reposui, pro πολυηράτης, ex fide Bar. & Grav. metro etiam id exigente. 10 Ἀταλαιπώρους ὄντας rescripsi, ex Seld. ἀταλαιπώρως ἔχοντας Bar. & Grav. ἀταλαιπώρους ὄντας Impress. Codd. 11 Τὸ δ' ἀληθὲς οὕτως, non immerito deest ab utroque MSS. * Ex Bar. & Grav. τὰ Σμυρναῖα Seld.

Ἀφ' ἑπτὰ παίδων ᵃ φεψάλῳ σποδουμένων,	E septem pueris igne combustis
Μοῦνον φλέγουσαν ἐξαλύξαντα σποδόν.	Solum calidæ clapsum favillæ.
Χ' ὡ μὲν παλιμπόρευτον ἵξεται τρίβον,	Et hic quidem retrogradam ibit viam,
Σφῆκας δαφοινοὺς [b] χηραμῶν [c] ἀνειρύσας,	Vespas cruentas è cavernis extrahens,
Ὁποῖα κοῦρος δῶμα κινήσας καπνῷ.	Instar pueri, domum fumo qui suffiit:
Οἱ δ' αὖ προγεννήτειραν [d] Οὐλαμωνύμου,	Illi verò genitricem juvencam bello cognominis,

VARIANTES LECTIONES.

a Φεψάλαις Bar. Al. χειαμῶν. c Al. ἀρυσάσας. c Al. Οὐλαμφωνύμου.

ἐξαιρέτως δὲ ἐν τῇ Σικελίᾳ, [1] ἡμέρας μὲν καπνὸς φαίνεται, νυκτὸς δὲ τὸν καιρὸν τὸ νυκτὸς πῦρ· τοὺς τῶν ὀρῶν πέτρους ἐκβρύον, καὶ κυλίον εἰς θάλασσαν, ἐμυθεύσαντο, ὅτι ἐν Σικελίᾳ Ζεὺς τὸν Τυφῶνα κατεταρτάρωσεν. οἱ δὲ ἐν Λυδίᾳ, ἄλλοι ἐν Κιλικίᾳ, καὶ ἕτεροι ἐν Φρυγίᾳ, καὶ ἐν Βοιωτίᾳ λέγουσιν [2] ἕτεροι τοῦτον καταταρταρωθῆναι. Ἀρτέμων δὲ ὁ ἱστορικός φησιν, ὡς κατ' ἐμὲ, ὅτι πᾶν ὄρος πυρὸς ἔχον ἀνάδοσιν, καθάπερ ὑπὸ Τυφῶνι κεῖται, εἰς ὃ πάντων οἱ λόγοι συμβαίνουσι, τῶν μυθικῶς ἐν διαφόροις τόποις λεγόντων ταρταρωθῆναι τὸν Τυφῶνα. Πελασγικὸν δὲ Τυφῶνα, ἢ δαίμονα, ἢ ἀνάδοσιν πυρπνόον, τὸν Ἀχιλλέα καλεῖ. * Ἀλλ', ὦ φίλε, ἐς πεδίον ἵππον κενοῖς, ἱστορίας ἱκετεύων τὸν Τζέτζην πλατύνειν, ἀντὶ δὲ σαφηνείας τῇ πλάτει τῶν ἱστοριῶν μᾶλλον ποιεῖσαι ἀσάφειαν. σὺν γὰρ θεῷ φᾶναι, καὶ τὸν πολυΐστορος Ἀλεξάνδρου, καὶ Ἀπολλοδώρου, καὶ Ῥηγίνου τοῦ πολυμνήμονος, καὶ Ἀρτέμωνος τοῦ Περγαμηνοῦ, καὶ Κασσάνδρου τοῦ Σαλαμινίου, καὶ τῶν λοιπῶν ἱστορικῶν ἱστορικώτεροι καθεστήκαμεν· καὶ ἀλληγορεῖν ἐπιστάμεθα καὶ ὑπὲρ Κορνοῦτόν τε, καὶ Παλαίφατον, καὶ Δομνῖνον, καὶ Κεφαλίωνα, καὶ Ἡράκλειτον, καὶ τοὺς ἄλλους, ὁπόσοι ἢ ἑτέρωθεν ἀρυσάμενοι, ἢ ἀφ' ἑαυτῶν γράφοντες, ἠλληγόρησαν· ἐκεῖνοι ἃ ἀσύμφορα, ἢ παντελῶς ὀλίγα ἠλληγόρησαν, ὡς καὶ Φιλόλαος ὁ Κρότων; ἡμεῖς δὲ ἀφ' ἑαυτῶν μεμαθήκαμεν καὶ κατὰ πλάτος, καὶ καιρίως ἀλληγορεῖν, καὶ ἱστορίας πλάτος ἀπεξεργάζεσθαι. ἀλλ' ἔασον, ἄνθρωπε, καὶ μὴ ἐνόχλει πλατυτέρως γράφειν ἡμᾶς, μὴ μᾶλλον συνθολώσωμεν, καὶ ἀλληγορεῖν ἐν τοῖς ἀλληγορουμένοις μύθοις Λυκόφρονος. Γεννᾶται] γεννᾷ, Ἀττικῶς, τὸ παθητικὸν ἀντὶ ἐνεργητικοῦ. *

178. Ἀφ' ἑπτὰ παίδων.] ὁ μὲν Λυκόφρων ἴσως, οὐκ οἶδ' ὅθεν εὑρὼν, ἢ ψευδογραφῶν, ἑπτὰ παῖδας ἄρρενας λέγει τὴν Θέτιν ἐκ Πηλέως τεκεῖν, καὶ τοὺς μὲν ἓξ, εἰς πῦρ βάλλουσα, ἀνεῖλεν, [3] ὡς ἀνάξια τέκνα ἑαυτῆς, ἐπὶ δὲ τῷ Ἀχιλλέως ἐφωράθη, καὶ ἐκωλύθη. Πίνδαρος δὲ λέγει Ποσειδῶνα, καὶ Ἀπόλλωνα, καὶ Δία περὶ τοῦ γάμου τῆς Θέτιδος ἐρίσαι, κωλυθῆναι δὲ αὐτοὺς, κατά τινας τῶν ἱστορικῶν ὑπὸ Θέμιδος, κατὰ δὲ Αἰσχύλον ὑπὸ Προμηθέως. φησὶ γὰρ,

Η τέξεται γε παῖδα φέρτερον πατρός.

Ἀπολλόδωρος δὲ Δία καὶ Ποσειδῶνα μόνους φησὶν ἐρίσαι περὶ γάμου τῆς Θέτιδος· Θέτιν δὲ ὡς χαρίσασαν ἐφ' Ἥρας, μὴ θέλειν Διὶ συμπλακῆναι, ὅθεν ὀργισθέντα τὸν Δία, θνητῷ συζεῦξαι αὐτήν. Χείρωνος δὲ βουλαῖς ὁ Πηλεὺς κατέσχεν αὐτὴν εἰς παντοίας μορφὰς μεταβάλλουσαν, καὶ μίγνυται αὐτῇ ἐν εἴδει σηπίας, καὶ γίνεται ὁ γάμος ἐν Πηλίῳ, καὶ οἱ θεοὶ δῶρα δεδώκασι, Ποσειδῶν ἵππους Ξάνθον καὶ [4] Βαλίον, Ἥφαιστος μάχαιραν, καὶ οἱ λοιποὶ ἕτερα. γεννήσασα δὲ ἡ Θέτις τὸν παῖδα κατ' Ἀπολλόδωρον Λιγύρωνα καλούμενον, ὕστερον δὲ Ἀχιλλέα [5] μετακληθέντα, διὰ τὸ δοθῆναι αὐτὸν Χείρωνι, καὶ δίχα καινῆς χιλοῦ, ἤγουν τροφῆς, ἀνατραφῆναι· ἐν νυκτὶ μὲν αὐτὸν εἰς πῦρ ἔβαλλεν, ἡμέρᾳ δὲ ἔχριεν ἀμβροσίᾳ. ὡς [6] ἀθανατίσαι τοῦτον ἤθελησε. ἰδόντος δὲ τοῦ Πηλέως τὴν Θέτιν βάλλουσαν αὐτὸν εἰς τὸ πῦρ, καὶ βοήσαντος, ἀπολιποῦσα ταύτην πρὸς τὰς Νηρηΐδας ὑπεχώρησε, ὁ δὲ Πηλεὺς τῷ Χείρωνι τὸν παῖδα δέδωκεν ἀνατρέφειν. καὶ ταῦτα μέν φησιν Ἀπολλόδωρος. Ἀγαμήστωρ δὲ ὁ Φαρσάλιος, Πυρίσσοον πρότερον λέγει Ἀχιλλέα κεκλῆσθαι, ἐν τῷ τῆς Θέτιδος ἐπιθαλαμίῳ, εἶτα μετονομάσαντος αὐτὸν Ἀχιλλέα κληθῆναι, ὡς τούτοις τὰ ἔπη δηλοῦσιν·

> Παιδνῷ δ' ὄνομα θῆκε Πυρίσσοον, ἀλλ' Ἀχιλῆα
> Πηλεὺς κάλλεσε, χεῖλος ἐπεί μιν
> Κείμενον εἰνὶ κόνι σποδῷ ἐνὶ πῦρ ἀπέμαρψε,
> Χεῖλος [7] αἰθόμενον ἀπεστράπτον ἑτέρου.

Ὁ δ' Εὐριπίδης ἅπαξ φησὶ μιγῆναι Πηλέα τῇ Θέτιδι ἐν τῷ Σηπιάδι, [8] καὶ ἕτεροι σὺν αὐτῷ. Φεψάλῳ.] [9] πυρκαϊᾷ, ἢ σπινθῆρι τοῖς ψαύειν, καὶ προστηγίζειν. Σποδουμένων.] ἀλλαχοῦ πτισσομένων, νῦν δὲ φλεγομένων.

179. * Μοῦνον.] Ἰωνικῶς. Ἐξαλύξαντα.] ἐκφυγόντα.* Σποδόν.] ἀλλαχοῦ σποδὸν, νῦν δὲ τὴν πυρκαϊὰν καὶ καῦσιν.

180. Χ' ὡ μέν.] καὶ ὁ μὲν Ἀλέξανδρος ἁρπάσας τὴν Ἑλένην, [10] ὑποστρέψει πάλιν πρὸς τὴν Τροίαν, ὥσπερ τις παῖς κινήσας καπνῷ φονικῶν σφηκῶν κατοικίαν, καὶ παροξύνας αὐτούς. Χ' ὡ μὲν, Ἀττικὴ συναλοιφή, καὶ ὁ μὲν τὸ αι καὶ ο εἰς ω μέγα * κιρνᾶται, * τὸ δὲ ἰῶτα ἐξεβλήθη, καὶ ἐτέθη ἄνω.

181. Σφῆκας δαφοινούς.] φονικούς. λέγει δὲ τοὺς Ἕλληνας. * Χηραμῶν.] * χηρῶν, τὸ χωρῶ, ἐξ οὗ χηραμός, ὁ φωλεὸς, καὶ ἡ καλιὰ δηλαδὴ τῶν ὄφεων, καὶ σφηκῶν, καὶ μελισσῶν, καὶ εἴ τι ἄλλο τοιοῦτον ἐστὶ ζῶον, οἷον ἀσπάλαξ.

183. Οἱ δ' αὖ προγεννήτειραν.] οἱ ἀμυντικοὶ Ἕλληνες τοῖς βουλαῖς καὶ ἀνέμοις θυσιάζουσι τὴν Ἰφιγένειαν, τὴν προγεννήτειραν, ἤτοι μητέρα, τὴν πρὸ τῆς θυσίας αὐτῆς γεννήσασαν τὸν οὐλαμώνυμον Νεοπτόλεμον, ἢ τὴν πρόγονον Οὐλαμωνύμου,

EMENDATIONES.

1 Ἡμέρα Bar. Seld. quæ lectio etsi tolerari possit, ego tamen nihil mutare volui, cum nec illud ἡμέρας in Impressis vituperandum sit, modo suppleas κατὰ, vel aliquod simile. Eadem loquendi formula apud antiquos scriptores non infrequenter occurrit in soluta oratione, in metrica vero rarius. Demosthen. Orat pro Coron. Αὐτόθεν δυοῖν ἢ τριῶν ἡμερῶν. 2 Ἕτεροι rescripsi, pro ἕτεροι, ex fide utriusque MSS. * Hæc addo ex Bar. & Grav. quæ pene jurassem ipsissima esse Tzetzæ verba, etsi nomen subticuisset; adeo nimiam istius Viri αὐθαδείαν sapiunt, qui talia de se, sua doctrina, & laudibus ubique inserit, & ad nauseam usque obtrudit. 3 Fretus hic auctoritate omnium MSS delevi hanc sententiolam, ὡς μὴ κατὰ φύσιν αὐτῆς ὄντας, ut à filo orationis alienam. 4 Βαλίον Impressi Codd. Βαλιὸν Seld. Βαλίον Bar. Ego Βαλίον rescripsi, sacra Homeri auctoritate nixus, à quo Achillis equi, quos à Neptuno Peleus acceperat, dicuntur Ξάνθος, & Βαλίος. Iliad. π. paulo à fine.

Ξάνθον, ἢ Βαλίον, τὼ ἅμα πνοιῇσι πετέσθην.

Eadem lectio est in Grav. & profecto hæc propria nomina debent esse παροξύτονα, ut distinguantur ab adjectivis ξανθὸς, & βαλιὸς, quæ semper sunt ὀξύτονα. 5 Μετακληθέντα, pro μετακληθῆναι, ex Grav. 6 Ἀθανατίσαι, pro ἀθανατίσαι, ex fide omnium MSS. 7 Αἰθόμενον, pro αἰθόμενον, ex Seld. 8 Καὶ ἕτεροι σὺν αὐτῷ, i. e. alii cum Euripide sentiunt: caeterum ita restitui, ex fide omnium MSS cum prius scriptum esset ὡς ἕτεροι σὺν αὐτῷ. 9 Πυρκαϊᾷ, pro πυρκαϊᾷ, ex Bar. & Grav. * Ex Grav. 10 Ὑποστρέψει, quod cum textu Lycophronis convenit, malui cum Grav. quam ὑποστρέψω, quod priores Editiones habent. * Ex Grav. * Ex Bar. & Grav.

τουτέστιν

Βύκταισι χερνίψουσιν ὠμησταὶ [a] πόριν,
Τοῦ Σκυρίου δράκοντος ἔντοκον λεχώ·
Ἣν ὁ ξυνευνὸς [b] Σαλμυδησίας ἁλὸς
Ἐντὸς ματεύων, Ἑλλάδος [c] καρατόμον,

Scyrii draconis gravidam puerperam
Ventis crudeles sacrificabant:
Quam sponsus intra Salmydesium mare
Perquirens, Græciæ decollatricem;

VARIANTES LECTIONES.

a Πόρτιν *Bar.* aliique. b Al. Σαλμυδησσίας. c Καρατόμου *Seld.* quoad voces Codex *Baroc.* eandem cum *Impressis* lectionem habet, in punctione vero ab iis variat, hoc enim modo sententiam hanc profert, Ἑλλάδος καρατόμον Δαρὸν, φαληριῶντα &c. quasi Poeta vellet Iphigeniam, per longum tempus Græcos Dianæ Tauricæ sacrificasse; cum potius tempus illud ad diuturnam Achillis in Scythia moram referendum videatur.

τουτέστιν Ἀλεξάνδρου, † οὐλαὶ γὰρ ἡ κριθή· ὁ δὲ Ἀλέξανδρος ἐν πήρᾳ, φασὶν, ἀνετράφη, ὅθεν ὑλαδόνυμον αὐτὸν φασὶ καλεῖν. τοῦτο δὲ λῆρος ἐστίν, ¹ παρωνύμου γὰρ λοιπὸν ὤφειλεν εἰπεῖν, οὐ συνωνύμως, οὐ μὴν ὑλαδόνυμος, οἱ γὰρ ποιμένες ἐν πήρᾳ αὐτὸν ἐκτεθέντα εὗρον. Προγεννήτορα.] κατά τινας ἐξ Ἰφιγενείας καὶ Ἀχιλλέως ἐγεννήθη ὁ Νεοπτόλεμος. μετὰ δὲ τὴν ἐπ' Εὐρίπῳ Ἰφιγενείας θυσίαν, ὥς φησι Πίνδαρος, Ἰφιγένειαν ἐπ' Εὐρίπῳ σφαχθεῖσαν, παρέθετο, καὶ ὥς τινες φασὶν, Ἀχιλλεὺς τὸν παῖδα Δηϊδαμείᾳ ἐν Σκύρῳ τῇ νήσῳ * δέδωκεν. * Τρυφιόδωρος δὲ, καὶ οἱ λοιποὶ πάντες, Δηϊδαμείας, τῆς Λυκομήδους θυγατρὸς, καὶ Ἀχιλλέως παῖδα τὸν Νεοπτόλεμον ἴσασι. φησὶ δὲ ὁ Τρυφιόδωρος οὕτω,

Υἱὸς Ἀχιλλῆος καὶ ² ἐπαινῆς Δηϊδαμείης.

Τὴν δὲ Ἰφιγένειαν κατὰ τοὺς ἀκριβεῖς τῶν ἱστορικῶν, οὐ γυναῖκα ἔσχεν Ἀχιλλεύς, ἀλλὰ κατασχεθέντων τῶν ἀνέμων ἐν τῷ διάγειν τοὺς Ἕλληνας ἐν Αὐλίδι, ἐξελθὼν Μενέλαος, ἢ Ἀγαμέμνων ἐπὶ κυνηγέσιον, καὶ τοξεύσας ἔλαφον, μεγαλαυχήσας, ἐφθέγξατο οὕτως· Οὐδ' ἡ Ἄρτεμις. χολωθεῖσα δὲ ἐπὶ τοῦτο ἡ θεὸς, τοὺς ἀνέμους κατέσχεν. ἐδόθη δὲ χρησμὸς, ὡς εἰ μὴ τυθῇ Ἰφιγένεια, οὐκ ἂν ἄλλως τοῖς ἐπὶ τὴν Τροίαν φέρουσιν ἀνέμοις ἐντύχωσιν. οἱ οὖν Ἕλληνες πέμπουσιν εἰς Μυκήνας ἀφελέσθαι πρὸς θυσίαν τὴν Ἰφιγένειαν. ἐρομένης δὲ τῆς Κλυταιμνήστρας, Τίς ἡ χρεία αὐτῆς; ἔφασαν, Ἀχιλλεῖ μέλλουσι συζεῦξαι αὐτήν. οἱ δὲ τῷ ὄντι λέγουσι, διὰ Ἀχιλλέα ταύτην κομισθῆναι ἐν Αὐλίδι, διὰ δὲ τὸ συμβὰν περὶ τοὺς ἀνέμους, ἔμελλον αὐτὴν θύειν. ἡ δὲ Ἄρτεμις αὐτὴν ἐλεήσασα, κατὰ Φανόδημον τὸν ἱστορικὸν, εἰς ἄρκτον μετέβαλε· κατὰ δὲ Νίκανδρον, εἰς ταῦρον· καθ' ἑτέρους, εἰς γραῦν· κατὰ ἄλλους, εἰς ἔλαφον. ταῦτα δὲ πάντα λῆροι μυθικοί εἰσιν, τὸ δ' ἀληθὲς οὕτως ἔχει· Παρασταίσης Ἰφιγενείας τῇ θυσίᾳ, καὶ μελλούσης θύεσθαι, ἄρκτος, ἢ ταῦρος, ἢ γραῦς, ἢ ἔλαφος διέδραμε μέσον τοῦ τῶν Ἑλλήνων στρατοῦ, καὶ προστάξει τῶν μάντεων τὸ διελθὸν ἐκεῖνο ἀναιρεῖται, ἡ δὲ Ἰφιγένεια σωθεῖσα, φεύγει περὶ Σκυθίαν, καὶ ἱερόπολος Ἀρτέμιδος γίνεται, καὶ ἀναιρεῖ πάντας ἐκεῖσε τοὺς ἐξ Ἑλλήνων ἀφικομένους. τινὲς δὲ τὴν Ἰφιγένειαν ταύτην, ὥσπερ καὶ ὁ Δοῦρις, οὐκ Ἀγαμέμνονος θυγατέρα λέγουσιν, ἀλλὰ Θησέως, ἐξ Ἑλένης γεννηθεῖσαν, ὑπὸ δὲ Κλυταιμνήστρας θυγατροποιηθεῖσαν, ὥσπερ καὶ προείπομεν ἄνω. ἕτεροι δὲ καὶ οὔτε Ἑλένης, οὔτε Κλυταιμνήστρας λέγουσι τὴν Ἰφιγένειαν. φασὶ δὲ, ἐκ τῆς Χρυσηΐδος Ἀστυνόμης καὶ Ἀγαμέμνονος γίνονται παῖδες, Χρύσης, καὶ ἡ ζητηθεῖσα Ἰφιγένεια. μετὰ δὲ τὴν Ἰλίου πόρθησιν, ἐν τῷ τῶν Ἑλλήνων ἀπόπλῳ, Χρύσης μὲν ἐν τῇ λεγομένῃ Χρυσοπόλει τοῦ Εὐξείνου τελευτᾷ. τὴν δ' Ἰφιγένειαν, τὴν αὐτοῦ ἀδελφὴν, Ταυροσκύθαι αἰχμαλωτίσαντες, ἱέρειαν τῆς Ἀρτέμιδος, ἤτοι Σελήνης, ἐποίησαν. οὐκ ἀπεικὸς δὲ τὸ θυομένης τῆς Ἰφιγενείας διαδραμεῖν ἔλαφον, καὶ ταύτην τοὺς Ἕλληνας ἀνελεῖν, τὴν δὲ κόρην ἐᾶσαι. καὶ γὰρ καὶ Ἰουλίαν Λουπέρκαν Ῥωμαίαν, ἀετὸς οὕτως ἔσωσε. σφαγιαζομένης γὰρ αὐτῆς κατὰ πλάνας, ἀπὸ τῶν ³ δημίων, ὁ ἱέραξ τὸ ξίφος ἁρπάζει, καὶ ⁴ περὶ δάμαλιν ἐπερρίπτει πλησίον τοῦ βωμοῦ νεμομένην, ἣν καὶ ἐθυσίασαν ἀντ' αὐτῆς. οὐκ ἀγνοεῖς δὲ καὶ τὸν ἀντὶ Ἰσαὰκ κριὸν ἐν φυτῷ Σαβὲκ δεδεμένον, κατὰ τὴν θείαν γραφήν.

184. Βύκταισι.] κυρίως τοῖς σφοδροῖς ἀνέμοις, τοῖς βύουσι καὶ κρύπτουσι καὶ βυθίζουσι τὰ σκάφη. νῦν δὲ ἁπλῶς ἀνέμοις ⁵ εἶπε. Χερνίψουσι.] σφαγιάσουσι, θύσουσιν· ἀπὸ μεταφορᾶς τῶν χερνίβων οἷς καθαιρόμεθα τὰς χεῖρας, καὶ τὴν θυσίαν χέρνιβα εἶπεν ὡς καθαίρουσαν. Ὠμησταί.] κυρίως οἱ ὠμὰ ἐσθίοντες. Πόρτιν.] δάμαλιν. λέγει δὲ τὴν Ἰφιγένειαν. * Τὸ δὲ πόρτιν * διὰ δύο ρρ δεῖ γράφειν, πόρτις γὰρ ἐστὶν, καὶ ἔστι τοῦ τ εἰς ρ, πέρξις. ὅτος δὲ ὁ Λυκόφρων ἀοιδὸς οὐ ποιητικῇ, ἀλλὰ μουσικῇ τοιαύτῃ ποιεῖ, καίτοιγε καὶ μετὰ τῶν δύο ρρ ἄπταιστος ἦν ὁ στίχος· τοῦ γὰρ ἰαμβικοῦ ἐστὶ καὶ τὸ πάθος, τὸ λεγόμενον χωλίαμβον· * ποιῶν μετὰ τῶν δύο ρρ καὶ τοῦτο ἐστι. *

185. Σκυρίου δράκοντος.] τοῦ Νεοπτολέμου, διὰ τὸ φονικὸν καὶ αἱμοχαρές· ἐν γὰρ Σκύρῳ κατά τινας μόνον ἀνετράφη ὁ Νεοπτόλεμος, κατ' ἐμὲ δὲ καὶ ἐγεννήθη ἐκ Δηϊδαμείας, τῆς Λυκομήδους θυγατρός. ἡ δὲ Σκῦρος νῆσος ἐστὶ, μία τῶν Κυκλάδων.

186. Ἣν ὁ ξυνευνος.] ὁ νοῦς οὕτως· Ἣν ὁ σύγκοιτος ζητῶν Ἀχιλλεὺς τὸ ἔσωθεν τοῦ Εὐξείνου πόντου, λέγω δὴ τὴν μαστευομένην καρατόμον καὶ φονεύτριαν τῶν Ἑλλήνων, ἐπὶ πολὺν χρόνον, κατοικήσει εἰς τὴν Λευκὴν νῆσον, τὴν καλουμένην καὶ ἄπλουν, αὕτη δὲ ἡ νῆσος ἐστὶ πρὸς ταῖς ἐκβολαῖς τῶν λιμναίων ποταμῶν τῆς Κελτικῆς λίμνης, ποθῶν τὴν γαμετὴν, ἣν ποτε ἔλαφος ἐκ τῶν ξιφῶν ἐρρύσατο· πολὺς δὲ δρόμος ἔρημος τοῦ νυμφίου κληθήσεται, ἤτοι τοῦ Ἀχιλλέως, ἐν τῷ τόπῳ ἐκείνῳ, ὃν διῆλθε τρέχων. ἔρημον δὲ λέγει, ἐπειδὴ μάτην ἔδραμε· φησὶ γὰρ, ὅτι μετὰ τὸ ἁρπαγῆναι τὴν Ἰφιγένειαν ὑπ' Ἀρτέμιδος, ἀκούσας Ἀχιλλεὺς, ὅτι ἐν Σκυθίᾳ ἐστὶν, ὥρμησε ζητῶν αὐτὴν, καὶ μὴ εὑρὼν, ᾤκησε περὶ τὴν Λευκὴν νῆσον, ἥ ἐστιν ἐν τῷ Εὐξείνῳ πόντῳ. Σαλμυδησὸς δὲ, ποταμὸς Θρᾴκης, εἰσβάλλων εἰς τὸν Εὔξεινον πόντον. ὅθεν καὶ πέλαγος Σαλμυδήσιον, τὸ ἀπὸ Δαμάλεως μέχρι καὶ ⁶ ὅλου Εὐξείνου, * ἀφ' οὗ καὶ τὴν ὀνομασίαν ἔλαχεν ὁ Λυκόφρων. *

187. Ματεύων.] μαστεύων, ψηλαφῶν, κατ' Αἰολικὴν ἔκθλιψιν τοῦ σ. Ἑλλάδος καρατόμον.] ἔφην καὶ πρότερον, ὅτι τὰ τοιαῦτα πάντα δύο τόνους ἐπιδέχονται· τὰ μὲν ἐνεργητικὰ τὴν παροξύτονον, τὰ δὲ παθητικὰ τὴν προπαροξύτονον. οἷον, τομὸς, ὁ κόπτων· τόμος δὲ, ὁ κοπείς. καρατόμος Ἑλλάδος, ἡ ὑφ' Ἑλλήνων καρατομηθῆναι μέλλουσα· ἡ καρατόμος Ἑλλάδος, ἡ ἐν Σκυθίᾳ τοὺς Ἕλληνας ἀναιροῦσα, διὰ τὴν ἐν Ταύροις ὑπ' αὐτῆς γινομένην ξενοκτονίαν. οὕτω τὰ τοιαῦτα τοὺς δύο

EMENDATIONES.

1 Παρωνύμως lego, sensu id exigente, πληρωνύμως *Impressi*, παρωνύμως *Bar.* & *Grav.* * Hanc vocem addendam putavit *Nic. Gerbelius*, sine qua mutila videtur oratio. Mallem tamen cum *MSS.* Codd. hanc sententiam hoc modo proferre, μετὰ δὲ τὴν ἐπ' Εὐρίπῳ Ἰφιγενείας θυσίαν, ὥς φησι Πίνδαρος, Ἰφιγένειαν ἐπ' Εὐρίπῳ σφαχθεῖσαν, παρέθετο, ὥς τινες φασὶ, τὸν παῖδα Δηϊδαμείᾳ ἐν Σκύρῳ τῇ νήσῳ. 2 Ἐπαινῆς substitui, pro ἐννέως, ex fide omnium *MSS* & ipso *Tryphiodoro*, qui Poema conscripsit dictum Ἰλίου ἅλωσιν, in quo versus à *Scholiaste* laudatus, quinquagesimus primus est. 3 Δημίων, ὁ ἱέραξ, pro ἱερῶν δήμων ex *Grav.* 4 Περὶ δάμαλιν, pro παρδάμαλιν, ex omnibus *MSS.* Quid si legas, παρὰ δάμαλιν? 5 Ita distinxi, monente *Gerbelio*, prius autem scriptum fuit. εἶπε, χερνίψουσι σφαγιάσουσι, &c. * Ex *Grav.* * Ex eodem. 6 Ὅλου Εὐξείνου, pro ὁ Εὔξεινος, ex omnibus *MSS.* * Ex *Seld.* † Legendum omnino ἀλὶς γὰρ ἡ πήρα, sensu id exigente; & quia ἀλὶς significat peram, οὐλαὶ vero hordeum. ‡ Κριθή, pro κελλή, sensu iterum exigente.

τόνους

Δαρὸν φαληριῶσαν οἰκήσει [a] σπίλον,	Albam diu habitabit insulam,
[b] Κέλτρυ πρὸς ἐκβολαῖσι λιμναίων ποτῶν,	Ad ostia paludrium Celti aquarum,
Ποθῶν δάμαρτα, τήν ποτ' ἐν σφαγαῖς κεμὰς	Uxorem desiderans, quam olim in sacrificiis cerva
Λαιμὸν προθεῖσα, φασγάνων [c] ἐκ ῥύσεται.	Guttur protendens, à cultris liberabit.
Βαθὺς δ' ἔσω ῥηγμῖνος αὐδηθήσεται [g]	Latus autem per litus appellabitur
[d] Ερημος ἐν κρόκαισι νυμφίου Δρόμος,	Desertus sponsi cursus arenosus,
Στένοντος ἄτας, καὶ κενὴν ναυκληρίαν,	Clades gementis, & inanem navigationem,
Καὶ τὴν ἄφαντον εἶδος ἠλλοιωμένην	Et invisa forma mutatam
[e] Γραῖαν, [f] σφαγείων ἠδὲ χερνίβων πέλας,	Anum, juxta pateras, & mulctra,
Ἅδου τε παφλάζοντος ἐκ βυθῶν φλογὶ	Plutonisque ollam ebullientem è fundo
Κρατῆρος, ὃν Μέλαινα ποιφύξει, φθιτῶν	Flammas, quam Nigra sufflabit, mortuorum
Σάρκας λεβητίζουσα δαιταλουργίᾳ.	Elixans coquendi arte viscera.
Χ' ὁ μὲν πατήσει χῶρον αἰάζων Σκύθην	Et hic quidem regionem teret Scythicam
Εἰς πέντε που πλειῶνας, ἱμείρων λέχους·	Quinque circiter annos, lecti cupidus:
Οἱ δ' ἀμφὶ βωμὸν τοῦ προμαντίου Κρόνου,	Illi verò juxta vatis aram Saturni,
Σὺν μητρὶ [h] τέκνων νηπίων κρεανόμου,	Pullorum cum matre parvulorum carnivori,
[i] Ορκων τὸ δεύτερον ζυγὸν ἄραντες ζυγὸν,	Jurisjnrandi secundum subeuntes jugnm,
Στερρὰν ἐνοπλίσουσιν ὠλέναις [k] πλάτην,	Robustis armabunt remis brachia,

VARIANTES LECTIONES.

a Al. Σπίλον paroxyton. sed σπῖλον habet *Sold.* b Κέλτρου. *MSS.* uterque, Scholiastes, & alii. c Al. ἐκρύσεται, conjunctim. d Al. Ερημος. e Γαῖαν *Bar.* f Σφαγίων *MSS.* uterque. g Πεφημίσεται *Bar. Sold.* aliique. h Κτίνων *Bar.* i Ορκων *Bar.* k Πλάτην *Bar. Steph.*

τῖνες ἐπιδέχονται, ὁ τὸ προπαροξύτονον μὲν τὰ παθητικὰ, τὸ δὲ προπερισπώμενον τὰ ἐνεργητικὰ, οἷον, βέβληγες, οἱ πληγέντες ὑπὸ βοῶν· βεβλῆγες δὲ, οἱ πλήσσοντες βόας.

188. Φαληριῶσαν.] τὴν Λευκὴν νῆσον τοῦ Εὐξείνου, ἢ τὴν λευκαινομένην ἐκ τοῦ ἀφροῦ τῶν κυμάτων, ἢ κατὰ [1] Διονύσιον τὸν περιηγητὴν, [2] ὅτι λευκὰ πολλὰ ζῶα ταύτην κατοικοῦσι, λάροι, κύκνοι, καὶ πελαργοί. Σπίλον.] σπιλάδα νῆσον.

189. Κέλτρυ.] ὄνομα λίμνης εἰσβαλλούσης περὶ τὸν Εὔξεινον πόντον.

192. Βαθὺς δ' ἔσω ῥηγμῖνος.] ἐν Σκυθίᾳ ἐστιν αἰγιαλὸς εἰς μῆκος δίκαιον χιλίων σταδίων, ὃς καλεῖται Ἀχιλλέως Δρόμος, ἐπειδὴ μόνος Ἀχιλλεὺς τρέχων ἐκεῖνον διέβη. Ἀπὸ κοινοῦ καὶ τὸ, Στένοντος ἄτας καὶ κενὴν ναυκληρίαν, καὶ, Τὴν ἄφαντον εἶδος ἠλλοιωμένην, [3] ἐρρέθη ταῦτα εἰς τὴν Ἰφιγένειαν, νῦν δὲ εἰς [4] γραῖαν φησὶν αὐτὴν ἀλλαγεῖσαν.

194. Στένοντος.] τόδε καὶ τόδε πέλας τῶν σφαγιαστηρίων, καὶ τῶν χερνίβων, καὶ θυτηρίων, πέλας τε τοῦ κρατῆρος τοῦ ᾅδου, τοῦ παφλάζοντος ἐκ βυθῶν φλογὶ, ὅν τινα κρατῆρα ἡ Μέλαινα, ἤτοι ἡ Περσεφόνη, ἢ Ἰφιγένεια, ποιφύξει καὶ φυσήσει, λεβητίζουσα καὶ ἑψοῦσα τὰς σάρκας τῶν φθιτῶν, ἤτοι ἀνθρώπων, ἐν δαιταλουργίᾳ καὶ μαγειρικῇ τέχνῃ. κρατῆρα δὲ ᾅδου τὸν λέβητα καλεῖ, εἰς ὃν Ἰφιγένεια τοὺς ἀναιρουμένους ἐνέβαλλε. ἄλλοι δέ φασι χάσμα εἶναι ἐν Ταύροις, ἐξ οὗ φλόγα φέρεσθαι, εἰς ὃ τοὺς ξένους ἀναιρουμένους ἔρριπτεν ἡ Ἰφιγένεια.

200. Χ' ὁ μὲν πατήσει χῶρον αἰάζων Σκύθην.] καὶ ὁ μὲν Ἀχιλλεὺς πέντε ἔτη εἰς Σκυθίαν θρηνῶν διατρίψει, [5] ἱμείρων τοῦ λέχους τῆς Ἰφιγενείας. Πρεσβυγενεστέρα τοῦ Πλειάδος ἡ Ἰφιγένεια, τουτέστι πρεσβυτέρα, ὥσπερ εἶπε [6] προγεννηθεῖσαν Αἰγίσθου λέγει τὴν Χρυσόθεμιν, τὴν [7] ἐκ τοῦ προτέρου ἀνδρὸς γεννηθεῖσαν τῇ Κλυταιμνήστρᾳ.

202, 203, 204, 205. Οἱ δ' ἀμφὶ βωμόν.] οἱ δὲ Ἕλληνες, φησίν, ἐν Αὐλίδι, περὶ τὸν βωμὸν τοῦ Διὸς ἰδόντες τὸν δράκοντα, τὸν τοὺς στρουθοὺς φαγόντα καὶ τὴν μητέρα, ὅρκους ἀλλήλοις δόντες, πλεύσουσιν ἐπὶ τὴν Τροίαν. τινὲς δὲ τὸ Κρόνου ἀντὶ τοῦ Κρονίδου εἶπον, ἤτοι τοῦ Διός· οἱ δὲ ἀντὶ τοῦ Κρόνου, καί φασιν ὅτι τὸ ἐν Δελφοῖς μαντεῖον πρότερον τοῦ Κρόνου ἦν, ἔνθα ἔλαβον τὸν χρησμὸν οἱ Ἕλληνες, ὅτι τῷ δεκάτῳ ἔτει τὴν Ἴλιον πορθήσουσι. Τὸ δὲ ἑξῆς οὕτως· Οἱ Ἕλληνες ἀμφὶ τὸν βωμὸν τοῦ προμάντεως Κρόνου, ἢ Κρονίδου, ἐκ τοῦ κρεανόμου τῶν νηπίων σὺν τῇ μητρὶ, ἤτοι ἐκ τοῦ δράκοντος τοῦ

EMENDATIONES.

1 Διονύσιον, pro Διόνυσον. consentiente *Grav.* Periegeseos autem Auctorem Dionysium vocari sciunt omnes. 2 Ὅτι substitui, pro ἵνα, ex omnibus *MSS.* 3 Hæc lectio est ex *Bar.* & *Grav.* cæteri hoc modo scribunt, ἐρρέθη ταῦτα εἰς τὴν ἀλλαγὴν Ἰφιγενείας. 4 Γραῖαν reposui pro γέρας, ex omnibus *MSS.* 5 Ἱμείρων, pro ἱμείρει, ex utroque *MSS.* 6 Προγεννηθεῖσαν *Sold.* 7 Ἐκ τοῦ προτέρου ἀνδρὸς substitui, pro ἐκ προτέρου ἀνδρὸς, ex *Sold.*

φαγόντος

Σωτῆρα [a] Βάκχον τῶν [b] πάροιθε πημάτων
Σφάλτην διδυάζοντες, ᾧ ποτ' ἐν μυχοῖς,
Δελφινίου παρ' ἄντρα Κερδῴου θεοῦ,
Ταύρῳ κρυφαίας χέρνιβας [c] κατάρξεται ·
Ο χιλίαρχος τοῦ [d] πολυῤῥαίστου στρατοῦ
Ω, θυμάτων πρόσσπαιον ἐκτίνων χάριν

Priorum servatorem cladium Bacchum
Supplantatorem canentes, cui aliquando in angulis,
Juxta Delphinii, Lucrosi antrum Dei,
Tauro occulta faciet sacra
Mille-dux exitiosi exercitus:
Cui sacrificiorum gratiam referens recentem

VARIANTES LECTIONES.

a Al. Βάκχον. b Πάροιθεν cum ν finali Seld. c Κατάρξεται Bar. d Πολυῤῥαίστου Seld. πολυῤῥαίστου Bar. al. πολυφθόρου.

φαγόντας τὰς σπονδὰς, καὶ τὴν αὐτῶν μητέρα, * ἐγνωκότες τὴν τῆς Τροίας ἅλωσιν. * ἄρσαντες καὶ ἁρμόσαντες καὶ ποιήσαντες τὸ δεύτερον ζυγὸν τῶν ὅρκων, τουτέστι δευτέρους ὅρκους ποιησάμενοι περὶ τοῦ παραμεῖναι μέχρι τέλους τοῦ πολέμου, τὴν ἱερὰν κάπην ἐνοπλίσουσι τῶν χειρῶν, ἀντιπρόσως εἰπὼν, ἀντὶ τοῦ τὰς χεῖρας ἐνοπλίσουσι ταῖς στρεπταῖς κώπαις. δευτέρους δὲ ὅρκους εἶπε, πρὸς [1] ἀντιδιαστολὴν τῶν προτέρων, τῶν δοθέντων [2] παρὰ πάντων τῶν μνηστήρων, ὅτε ἐμνηστεύοντο τὴν Ἑλένην, Ὅτι εἰ ἀδικηθείη περί τινος ὁ ἐκ κλήρου ταύτην λαβὼν σύζυγον, πάντες αὐτῷ συμμαχήσουσιν.

206. Σωτῆρα Βάκχον.] τὸν Διόνυσόν φησιν, ὃς τοὺς αὐτοὺς ἔσωσε τὸ πρὶν ἐν Μυσίᾳ ὑπὸ Τηλέφου μέλλοντας ἀπολλυσθαι, ἀναδοὺς ἐξ αὐτομάτου ἄμπελον, καὶ σφήλας τὸν Τήλεφον δι' αὐτῆς, ὅθεν καὶ Σφάλτης ἐκλήθη. Η ἀνάδοσις τῆς ἀμπέλου μῦθός ἐστι, τὸ δὲ ἀλληγορικὸν οὕτως ἔχει· ὁ κραιπαλῶν ὢν ὁ Τήλεφος, ἢ ἀμπέλου κλάδοις ἐμπλακεὶς, ἐπλήγη ὑπ' Ἀχιλλέως ἐν Καΐκῳ, ποταμῷ Μυσίας, ὥς φησι Πίνδαρος·

Τίς γὰρ ἐσθλὸν Τήλεφον
Τρῶσεν ἑῷ δορὶ Καΐ-
κου παρ' ὄχθαις;

Τῶν πάροιθε πημάτων] ἐπεὶ καὶ πρότερον πλεύσαντες οἱ Ἕλληνες, καὶ ἀπενεχθέντες εἰς Μυσίαν, ἐδιώχθησαν ὑπὸ Τηλέφου, καὶ πάλιν ὑπέστρεψαν εἰς τὴν Ἑλλάδα. ὁ δὲ Τήλεφος παῖς ἦν Ἡρακλέους καὶ Αὔγης, τῆς Ἀλέου θυγατρὸς τῆς Τεγεάτου, καὶ Νεαίρας· ἣ τις Αὔγη τὸ βρέφος ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς ἔθετο. λοιμοῦ δὲ κατασχόντος, γνοὺς Ἀλέος τὸ βρέφος, εἰς τὸ Παρθένιον ὄρος ἔρριψε· θηλάζει δὲ τοῦτο ἔλαφος. ποιμένες δὲ εὑρόντες, Τήλεφον ἐκάλεσαν. τὴν δὲ Αὔγην Ναύπλιος ὁ Ποσειδῶνος κελεύσει Ἀλέου ἀπημπόλει Τεύθραντι, τῷ τότε Μυσίας δυνάστῃ, ὃς ἔσχεν αὐτὴν γυναῖκα.

207. Διδυάζοντες.] ἤγουν [3] ἀνευφημοῦντες. Ω, ποτ' ἐν μυχοῖς.] ᾧ τινι ποτὲ ταύρῳ, ἤτοι ταυρομόρφῳ Διονύσῳ, κατάρξεται καὶ θύσει κρυφαίας καὶ μυστικὰς χέρνιβας ἐν μυχοῖς τοῦ Δελφινίου τόπου, ἤτοι τῆς Φωκίδος, περὶ τὰ ἄντρα καὶ σπήλαια τοῦ Κερδῴου θεοῦ, ὅ ἐστι τοῦ Ἀπόλλωνος. τίς δὲ θύσει τὰς θυσίας; ὁ Ἀγαμέμνων, ὁ χιλίαρχος τοῦ πολυῤῥαίστου στρατοῦ, τουτέστιν, ὁ χιλίων νηῶν ἄρχων στρατοῦ φθείροντος πόλεις. τὰς δὲ ρπς' ναῦς παρέλειψε, τῷ ἀπηρτισμένῳ χρησάμενος ἀριθμῷ, τόσαι γὰρ πᾶσαι αἱ νῆες τῶν Ἑλλήνων ἦσαν.

208. Δελφινίου.] τῆς Φωκίδος, ἢ τοῦ Ἀπόλλωνος. κατὰ χρησμὸν γὰρ ὁ Ἀγαμέμνων ἐλθὼν ἐν Δελφοῖς, ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ ἔθυσε Διονύσῳ. Δελφίνιος οὖν, καὶ Κερδῷος θεὸς Ἀπόλλων. Δελφίνιος μὲν, ἢ ὅτι τὸν ἐν Πυθῶνι Δελφύνην δράκοντα τοξεύσας ἀνεῖλε, Λητὼ βιάζοντα, ὥς φησιν Ἡλιόδωρος·

Οππότε πετραίῃ ὑπὸ δειράδι Παρνησοῖο
Δελφύνην τόξοισι πελώριον ἐξενάριξεν.

ἢ ὅτι Κασταλίῳ τῷ Κρητὶ πρὸς ἀποικίαν στελλομένῳ ὁ Ἀπόλλων, ἢ ὑπὸ δελφῖνος ὀχούμενος, ἢ δελφῖνι ὁμοιωθεὶς, προηγεῖτο τῆς νηὸς ἕως τοῦ Κρισαίου κόλπου, καὶ τῆς Φωκίδος. τινὲς δέ φασιν ἐν τῷ πλοίῳ αὐτὸν εἰσελθεῖν ἐν εἴδει δελφῖνος, καὶ κατὰ τοῦτον τὸν τόπον [4] συναποδῦσαι εἰς τὴν θάλασσαν, ὅθεν ἐκλήθη καὶ ὁ τόπος Δελφοὶ, καὶ ὁ Ἀπόλλων Δελφίνιος. Κερδῷος δὲ, ὅτι διὰ χρησμῶν τὰ συμφέροντα καὶ ἐπικερδῆ δείκνυσι. Παρ' ἄντρα.] περὶ τοὺς ἐσωτάτω τόπους τοῦ ναοῦ. ἐτιμᾶτο δὲ καὶ Διόνυσος ἐν Δελφοῖς σὺν Ἀπόλλωνι, οὕτως· Οἱ Τιτᾶνες τὰ Διονύσου μέλη, ἃ ἐσπάραξαν, Ἀπόλλωνι ἀδελφῷ ὄντι αὐτοῦ παρέθεντο, ἐμβαλόντες εἰς λέβητα. ὁ δὲ περὶ τῷ τρίποδι παρέθετο, ὥς φησι Καλλίμαχος καὶ Εὐφορίων λέγει,

——— [5] Εν πυρὶ Βάκχον
Δῖον ὑπὲρ φιάλην ἐβάλοντο. ———

Ἄλλοι δέ φασι Δελφοὺς κληθῆναι, ἀπὸ Δελφοῦ, υἱοῦ Ποσειδῶνος καὶ Μελανθοῦς, τῆς Δευκαλίωνος θυγατρός.

209. Ταύρῳ.] τῷ Διονύσῳ, ὅτι κερατοφόρον αὐτὸν γράφουσιν, ὡς καὶ Εὐριπίδης ἐν Βάκχαις, καὶ ἐπειδὴ μὲν ταύρου ἐγκέφαλος δοκεῖ. [6] Στασίμβροτος δὲ καὶ Διόνυσον αὐτὸν καλεῖ, ὅτι κερατοφόρος ἐξελθὼν τοῦ Διὸς μηροῦ ἔνυξεν. Κρυφαίας χέρνιβας] ὅτι ἐν [7] παρασκευῇ τὰ μυστήρια τοῦ Διονύσου ἐτελεῖτο. Οἱ Ἕλληνες τῆς Τροίας ἀποπλανηθέντες, προσώκειλαν τῇ Μυσῶν ὡς τῇ Τροίᾳ· ἔνθα Τήλεφος, βασιλεὺς τῶν Μυσῶν, ἐξελθὼν, πολλοὺς τῶν Ἑλλήνων ἀνεῖλεν. ὁ δὲ Διόνυσος θέλων ἀποδοῦναι εὐχαριστήρια τῷ Ἀγαμέμνονι ἀντὶ τῆς εἰς αὐτὸν θυσίας, πεποίηκε τὸν Τήλεφον συμπλακῆναι ὑπὸ τῶν κλάδων τῆς ἀμπέλου τὸν πόδα, καὶ ὑπὸ Ἀχιλλέως τραυματισθῆναι. ἐδόθη δὲ αὐτῷ χρησμὸς, ὡς οὐκ ἂν ἄλλως ἰαθήσεται, εἰ μὴ ὁ τρώσας ἰάσηται. διὸ καὶ ἰαθεὶς ὑπὸ Ἀχιλλέως, δεικνύει τοῖς Ἕλλησι τὸν ὁδὸν τῆς Τροίας πλοῦν. Η δὲ σύνταξις οὕτως· Ἀμειβόμενος ὁ Διόνυσος ἀντὶ τῶν θυμάτων πρόσφατον χάριν, σφήσει τὸν Τήλεφον τοῦ μὴ ἐκπορθῆσαι, ἢ ἀφανίσαι τοὺς Ἕλληνας τέμνοντα καὶ θερίζοντα αὐτοὺς, ὥσπερ στάχυν. ἐπειδὴ δὲ αὐτὸν παρείκασε λέοντι, καλῶς εἶπεν, Ὀδόντι, καὶ γνάθοις.

211. Θυμάτων.] ᾧ τινι Ἀγαμέμνονι πρόσφατον καὶ νεαρὰν τὴν χάριν τῶν θυμάτων ἀποδιδοὺς ὁ Διόνυσος, συμποδίσει τὸν Τήλεφον ἀμπέλου κλήματι, ὥστε μὴ ἀνελεῖν πάντας τοὺς Ἕλληνας. κακοζήλῳ δὲ τῇ τροπῇ ἐχρήσατο· λέοντα γὰρ αὐτὸν εἰπὼν τὸν Τήλεφον, ὤφειλε τοὺς Ἕλληνας βόας, ἢ ἄρνας εἰπεῖν· ὁ δὲ στάχυς εἶπεν αὐτούς. τοῦτο δὲ ἀκατάλληλον, [8] λέων γὰρ στάχυς οὐκ ἐσθίει.

EMENDATIONES.

* Ex Seld. 1 Ἀντιδιαστολὴν, pro ἀντιδιαστροφὴν, ex Grav. 2 Παρὰ pro περὶ, ex Grav. 3 Ἀνευφημοῦντες substitui, pro ἀνευφημοῦντας, ex Bar. & Grav. 4 Πυθῶνι Grav quod forte rectius, Vid. Homeri hymnus in Apollinem v. 440. 5 Ita restitui ex Bar. & Grav. ἐμπυριβαίκχοιο Διὸς ὑπὲρ φιάλην Impressi. 6 Στασίμβροτος posui, pro στασίμβροτον, ex Bar & Grav. 7 Παρασκευῇ substitui, pro παρασκευῇ, ex Bar. & Grav. 8 Λέων, pro λέγων, ex Bar. & Grav.

Δαίμων Ἐνόρχης, [a] Φιγαλεὺς, [b] Φαυστήριος,	Enorches Deus, Figaleus, Lucernalis,
Λέοντα θοίνης, ἴχνος ἐμπλέξας λύγοις,	Ab epulis leonem, viticibus plantam implicans,
Σχήσει, τὸ μὴ προῤῥίζον αἰστῶσαι στάχυν	Prohibebit, ne ſpicam funditus perdat
Κείροντ' ὀδόντι, καὶ λαφυστίαις γνάθοις.	Sectore dente, maxilliſque voracibus.
[c] Λεύσσω πάλαι [d] δὴ σπεῖραν [e] ὁλκαίων κακῶν,	Video jam pridem malorum catenam attractorum,
Σύρουσαν [f] ἅλμῃ, [g] κἀπιῤῥοιζοῦσαν πάτρᾳ	Trahentem per mare, & advolventem patriæ
Δεινὰς ἀπειλὰς, καὶ πυριφλέκτους βλάβας.	Graves minas, atque incendiaria damna.

VARIANTES LECTIONES.

a Φιγαλεὺς Bar. Sold. aliique: verum in Sold. ι eadem manu ſuperſcribitur. al. Φυγαλεύς. b Φαυστήριο Bar. ſed σ finali ς ſuperſcripta eſt nuperiori manu. c Λεύσω Bar. Sold. d Δὲ Bar. e Ὀλκαίων cum tenui ſpiritu MSS. uterque. f Ἅλμην Sold. g Κἀπιῤῥοιζοῦσαι Sold. καὶ ῥοιζοῦσαν Bar. κἀπιῤῥιζοῦσαν al.

212. Δαίμων Ἐνόρχης.] ὁ Διόνυσος, παρὰ Λεσβίοις. φασὶ γὰρ δύο ἀδελφοὺς συμμιγέντας, Θυέστην καὶ Δαίταν, ἐξ αὐτοῦ τεκεῖν παῖδα Ἐνόρχην καλούμενον, ὃς ναὸν ἱδρυσάμενος Διονύσου, ἀπὸ τοῦ ἰδίου ὀνόματος αὐτὸν ἐκάλεσεν. ἢ Ἐνόρχης λέγεται, ὅτι μετ' ὀρχήσεως αὐτῷ τὰ μυστήρια ἐγένετο. ἢ ὅτι [1] ἐν ὄρχεσι, καὶ φυγαῖς ἐδόθη. Οἱ δὲ αἰσχράν τινα ἱστορίαν φασί· Διόνυσον γὰρ λέγουσι ζητοῦντα τὴν μητέρα, μετὰ τὸ κεραυνωθῆναι αὐτήν. [2] Πολύσυμνος δέ τις νεανίας ἔφη δείξειν τὴν πρὸς ταύτην ὁδὸν, εἰ συγγένοιτο αὐτῷ. ὁ δὲ ὑπέσχετο τοῦτο ποιῆσαι, εἰ πρότερον εὑρήσει τὴν μητέρα· καὶ διὰ βυθοῦ Πολυσύμνου κατελθὼν εἰς τὸν ᾅδην, ἐκ τῆς Λέρνης πηγῆς ἀνήγαγεν αὐτήν. τελευτήσαντος δὲ Πολυσύμνου, Διόνυσος θέλων πληρῶσαι τὴν ὑπόσχεσιν, συκίνα αἰδοῖα προσάψας ἑαυτῷ, καὶ φαλλοὺς δερματίνους ἐλάσας· ὅθεν, ὥς φασι, καὶ Ἐνόρχης λέγεται. Ἀλλ' οὕτω μὲν περὶ τῆς ἱστορίας λέγουσι, καὶ τὴν ἀλληγορίαν οὐκ ἴσασιν. ἔχει δὲ ἡ ἱστορία πρῶτον οὕτως· Ὄσιρις, ὁ καὶ Διόνυσος, βασιλεὺς ὑπάρχων Αἰγύπτου, ὑπὸ Τυφῶνος, τοῦ ἀδελφοῦ, καὶ τῶν συνωμοτῶν, μελιδὸν κατετμήθη, καὶ ἐξετέθη πολλαχοῦ. Ἶσις δὲ, ἡ καὶ Δημήτηρ, γυνὴ Διονύσου, μετὰ Ὥρου τοῦ υἱοῦ, τὸν Τυφῶνα, καὶ πάντας τοὺς σὺν ἐκείνῳ φονεῖς ἀναιρεῖ. τὰ δὲ τοῦ Διονύσου μέρη καὶ μόρια συλλέξασα, ἑκάστῳ ναὸν καὶ ἱερὰ [3] ᾠκοδόμησεν. ἐν Φίλαις δὲ, πόλει Αἰγύπτου, τὸ μέγιστον ἦν τῶν ἱερῶν, ὃς καὶ μέγας ὅρκος τοῖς Αἰγυπτίοις ἐτύγχανε, μὰ τὸν ἐν Φίλαις Ὄσιριν λέγουσιν. πάντα γοῦν εὑροῦσα τὰ μόρια, ὡς ἔφην, καὶ διανείμασα πᾶσι ναοῖς, τὰ παιδογόνα δὲ μὴ εὑροῦσα, τοὺς δερματίνους φαλλοὺς ἐποίησε κρεμαστοὺς ἕκαστον ἑαυτῷ, καὶ σὺν τούτοις ὀρχεῖσθαι. καὶ τὰ μὲν τῆς ἱστορίας ταυτί. τὸ δὲ συμβολικώτερον [4] τούτου δῆλον· Ὅτι ὁ οἶνος ἐντείνει τὰ μόρια, ὅθεν τὸν Διόνυσον καὶ νέον, καὶ γέροντα γράφουσι, πρὶν τὴν πόσιν τοῦ οἴνου, τὴν μετρίαν, καὶ ἄμετρον. καὶ φαλακρὸν γέροντα γράφουσι τούτῳ ἀκολουθεῖν, ὅτι οἱ οἰνωθέντες τὰ τοῦ λογισμοῦ ὑπέξεντα ἐκφαίνουσιν. ὅθεν καὶ ὁ Ἀλκαῖος φησίν· Οἶνος γὰρ ἀνθρώποις δίοπτρον. καὶ ἄλλα μυρία περὶ τὸν Διόνυσον, ἤτοι τὸν οἶνον, συμβολικωτέρως τελούμενα, παρδάλεις, καὶ βάκχαι, καὶ σάτυροι, καὶ ἀνδρόθηλοι στολισμοὶ, καί τινα ἕτερα, ἃ μακρὸν ἐστὶν ἐν μυθικοῖς συγκεχυμένοις ἀλληγορεῖν [5] περιεργότερον. Φιγαλεύς.] ἐμοὶ δοκεῖ διὰ τὸ γράφεσθαι, παρὰ τὸ ἐν φηγοῖς, καὶ ὅρεσιν ἀλλᾶσθαι· ἄλλοι δὲ διὰ [illegible] γράφοντες, Φιγαλέα λέγουσιν ἐν Ἀρκαδίᾳ τιμᾶσθαι Διόνυσον. Φαυστήριος δὲ λέγεται, ἀπὸ τῶν διὰ φανῶν καὶ λαμπάδων ἐπιτελεῖσθαι τὰ τούτου μυστήρια. ὁ αὐτὸς δὲ καὶ Ἔνορχος, ὅτι μετὰ ὀρχήσεως αὐτῷ αἱ θυσίαι ἐπιτελοῦνται. ἐγὼ δέ φημι ἀλληγορικωτέρως τοῦτον Φαυστήριον, παρὰ τὸ τὸν οἶνον θερμότατον.

213, 214, 215. Λέοντα.] τὸν Τήλεφον, τῆς θοίνης καὶ τῆς εὐωχίας σχήσει, εἰς τὸ μὴ προῤῥίζον αἰστῶσαι στάχυν κείροντ' ὀδόντι, καὶ λαφυστίαις καὶ [6] τρωκτικαῖς σιαγόσι. σχήσει δὲ πῶς; τὸ ἴχνος ἐμπλέξας τοῖς λύγοις. λύγους δὲ νῦν φησι, τοὺς ἀμπέλου τὰ κλήματα, [7] στάχυν δὲ τὸν στρατὸν τῶν Ἑλλήνων. * Αἰστῶσαι στάχυν.] τοὺς Ἕλληνας στάχυν φησὶν, λείπει δὲ τὸ ὡς, ἵνα ᾖ, ὡς στάχυν κείροντα τῷ ὀδόντι, καὶ τῇ δαπανητικῇ γνάθῳ. * κακοζήλως δὲ, καὶ κακομιμήτως τῷ λέοντι προσάπτων τροφὴν στάχυας.

216. * Λεύσσω πάλαι δή.] τοὺς τοῦ πλοῦ λέγει, τοῦ εἰς τὴν Τροίαν, τῶν Ἑλλήνων. * Σπεῖραν.] ἀλλαχοῦ τάξιν στρατιωτικὴν, ὧδε δὲ συστροφὴν, καὶ συναγωγὴν κακῶν, τῶν ἀπὸ ὁλκάδων καὶ πλοίων γινομένων. ὁ δὲ μεταφορὰ ἀπὸ τῶν δρακόντων, τῶν ἑαυτοὺς εἱλούντων, καὶ ἐνειλισσομένων, καὶ ἑρπόντων, σπεῖρα γὰρ ἡ τῶν ὄφεων συστροφή. τὴν οὖν συναγωγὴν τῶν νεῶν, σπεῖραν ἐκάλεσε κακῶν.

217, 218. Σύρουσαν.] τὸ ἑξῆς οὕτως· Βίαν ὁλκάδων καὶ συναγωγὴν [8] συρομένην ἐν τῇ θαλάσσῃ, κἀπιῤῥοιζοῦσαν καὶ ἐπιβοῶσαν καὶ ἀπειλοῦσαν τῇ πατρίδι, ἤτοι τῇ Τροίᾳ, δεινὰς ἀπειλὰς, καὶ πυρπόλησιν. Τὸ δὲ λεύσσω, ἀντὶ προορῶ ταῦτα.

EMENDATIONES.

1 Ἐν ὄρχεσι, καὶ φυγαῖς repoſui, pro ἐνόρχεις καὶ φυλαῖς, ex fide Bar. & Phavorini. 2 Πολύσυμνος ſubſtitui, pro Πολύυμνος: & paulo poſt Πολυσύμνου bis, pro Πολυύμνου, ex fide eorundem & Grav. Clemens Alex. Πρόσυμνον vocat p. 22. Alii Πολύυμνον. Hygynus Hypolipnum Poet. Aſtronom. cap v. ubi tamen Wonwerius & Munckerus reponunt Polyhymnum. 3 Ὠικοδόμησεν ἐν φυγαῖς, [illegible] &c. Bar. Grav. & Thavorinus. Paulo poſt, pro Φίλαις Bar. habet φυγάδι Thavorinus vero φυγαῖς. 4 Τούτου, pro τοῦτο, ex Bar. 5 Περιεργότερον repoſui, pro παρεργότερον, ex Bar. περιεργοτέρως Grav. 6 Τρωκτικαῖς repoſui, pro τρακτικαῖς ex omnibus MSS. 7 Mallem στάχυν δὲ τοὺς Ἕλληνας, quod habet Grav. & Bar. * Hoc adjeci ex Sold. * Et hoc interſerui ex Sold. 8 Συρομένην poſui, pro συρομένων, ex Bar. & Grav. non enim ad ὁλκάδων referri, ſed ad σπεῖραν debet.

Ὡς μή σε Κάδμος [a] ὤφελ' ἐν περιῤῥύτῳ
[b] Ἴσσῃ φυτεῦσαι δυσμενῶν ποδηγέτην,
Τέταρτον ἐξ Ἄτλαντος [c] ἀθλίου σπόρον,
Τῶν αὐθομαίμων συγκατασκαφῆ [d] Πρύλιν,
Τόμουρε πρὸς τὰ λῷστα νημερτέστατε.
Μὴ δ' Αἰσακείων [e] οὐ 'μὸς [f] ὤφελεν πατὴρ
Χρησμῶν ἀπῶσαι νυκτίφοιτα δείματα,
Μιᾷ δὲ κρύψαι τοὺς [g] διπλοῦς ὑπὲρ πάτρας
Μοίρᾳ, τεφρώσας γυῖα [h] Λημναίῳ πυρί,
Οὐκ ἂν [i] τοσῶνδε κῦμ' ἐπέκλυσε [k] κακῶν.

Utinam te, Pryli, Cadmus in insula
Issa non genuisset, hostium ducem,
Quartum ex Atlantis miseri semine,
Cognatorum tuorum eversorem,
Vatem ad optima verissimum:
Nec ab Æsaci oraculis pater meus
Nocturnos repulisset terrores,
Sed una geminos morte texisset
Pro patria, comburens artus igne Lemnio,
Non sanè tantorum fluctus inundasset malorum.

VARIANTES LECTIONES.

a Ὤφελε περιῤῥύτῳ *Seld.* b Ἴσῃ *Bar.* c Ἀθλίου σπόρον *Bar.* σπόρον al. d Πρύλιν *Bar.* eandemque lectionem in Scholiis retinet. e Οὐ 'μὸς *MSS.* uterque. ὑμὸς al. f Ὤφελε *Bar.* aliique. ὤφελε *Seld.* g Διπλοῦς *Seld.* h Λημναίῳ *Seld.* i Τοσῶνδε *Bar.* aliique. k Κακῶν *Bar.*

219, 220, 221, 222. Ὡς μή σε Κάδμος.] [1] ἀπόστροφε τὸν λόγον πρὸς τὸν Πρύλιν, ὃς ἦν μάντις ἐν Ἴσσῃ, ἤτοι τῇ Λέσβῳ, υἱὸς τοῦ Καδμίλου καὶ Κάδμου, ἤτοι Ἑρμοῦ, καὶ Ἴσσης τῆς νύμφης, ἀφ' ἧς ἐκλήθη ἡ Λέσβος (ἡ καὶ Μιτυλήνη) Ἴσσα. ὃς Πρύλις προστυχθεὶς τοῖς Ἕλλησι τῇ Λέσβῳ ὑπέθετο τὸν τρόπον τῆς τοῦ Ἰλίου ἁλώσεως διὰ μαντείας. οὗτος γὰρ τὴν κατασκευὴν τοῦ δουρείου ἵππου, δῶρα πεισθεὶς ὑπὸ Παλαμήδους. πρὸς ὃν λέγει, ὦ Πρύλι, ὡς μὴ ὤφελέ σε, τὸν Πρύλιν, φυτεῦσαι καὶ γεννῆσαι ὁ Κάδμος, ἤτοι Ἑρμῆς, οὕτω λεγόμενος παρὰ Βοιωτοῖς, ἐν τῇ Ἴσσῃ καὶ τῇ Μιτυλήνῃ, τῇ περιῤῥύτῳ, ἤτοι τῇ κυκλουμένῃ ὑπὸ θαλάσσης· φυτεῦσαι δὲ ποδηγέτην καὶ ὁδηγὸν καὶ ἑρμηνέα τῶν Ἑλλήνων, τῶν αὐθομαίμων δὲ καὶ συγγενῶν Τρώων [2] συγκατασκαφέα, τέταρτον ὑπάρχοντα σὲ ἐκ τῆς ῥίζης τοῦ Ἄτλαντος. Πλειόνης γὰρ, τῆς Ὠκεανοῦ θυγατρὸς, καὶ Ἄτλαντος, τοῦ υἱοῦ Ἰαπετοῦ καὶ Ἀσίας, ἑπτὰ θυγατέρες, ὡς Ἄρατος λέγει,

[3] Ἑξ πᾶσαι περ ἰοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν.
—— ἑπτὰ δὲ κεῖναι ἐπιῤῥήδην καλέονται,
Ἀλκυόνη, Μερόπη τε, Κελαινώ τ', Ἠλέκτρη τε,
Καὶ Στερόπη, καὶ Τηϋγέτη, καὶ πότνια Μαῖα.

καὶ Κελαινοῦς μὲν καὶ Ποσειδῶνος παῖδες, Λύκος καὶ Χίμαιρος· καὶ Ἠλέκτρας καὶ Διὸς, Δάρδανος καὶ Ἠετίων· Στερόπης καὶ Ταλέρχου, Οἰνόμαος· Ταϋγέτης καὶ Διὸς, Λακεδαίμων· Μαίας δὲ καὶ Διὸς, Ἑρμῆς, ὡς Ὀρφεὺς φησὶν ἐν τῇ ἀρχῇ τῶν Λιθικῶν·

[4] Δῶκεν ἀλεξικάκοιο Διὸς θνητοῖσιν ὀπάσσαι,
Κυλλήνιος Μαίης ἐριούνιος ἦλθε κομίζων
Υἱὸς, ὅπως ἀνέχωμεν ὀιζύος ἀπειλὰς ἄλκαρ.

καὶ ὁ Ἱππῶναξ ἐν τῷ κατὰ Βουπάλου πρώτῳ ἰάμβῳ φησίν,

[5] Μαίας παῖδα, Κυλλήνης πάλμυν, καὶ Σιμωνίδης,
[6] Μαιάδος Ἑρμείας ἑλικοβλεφάροιο γένεθλον,
Η γὰρ Κυλλήνης ἐν ὄρεσσι θεὸν τέκεν Ἑρμείαν.

Ἑρμῆς δὲ ἐκ τῆς ἐλθούσης Ἴσσης Πρύλιν γεννᾷ, ὅθεν τέταρτον αὐτὸν ἐξ Ἄτλαντος εἶπεν. Ἄτλας γὰρ, ἡ Μαῖα, ὡς ἔφημεν, ὁ Ἑρμῆς, ὁ Πρύλις. ἄθλιον δὲ τὸν Ἄτλαντα λέγει, διὰ τὸ τὸν Πρύλιν συγγενῆ αὐτοῦ ὄντα, τοὺς ἰδίους προδιδόναι συγγενεῖς. Αὐθομαίμων μὲν, τῶν συγγενῶν Τρώων.

223. Τόμουρε.] μάντι, πρὸς τὰ λῷστα καὶ βέλτιστα, δηλονότι τὰ Ἑλληνικὰ, νημερτέστατε, ἤτοι ἀληθέστατε. τόμουρος δὲ, ὁ μάντις, ὁ τὸ μὴ ὂν ὁρῶν, ἤτοι ὁ τὸ μήπω γεγονὸς βλέπων. λῷστον γὰρ, παρὰ τὸ λῶ, τὸ [7] θέλω. νημερτὴς παρὰ τὸ νη, στερητικὸν μόριον, καὶ τὸ [8] ἁμαρτάνω, ἤγουν ὁ μὴ ἁμαρτάνων τοῦ ἀληθοῦς. Καλῶς συνεκοπὴν εἶπε τὸν Κάδμον, Κάδμιλος γὰρ ἦν, ὥσπερ τὰς χαμρίδας χαμρᾶς.

224, 225, 226, 227, 228. Μὴ δ' Αἰσακείων.] ὤφελε γὰρ ὁ ἐμὸς πατὴρ μηδὲ τὰ νυκτίφοιτα δείματα, ἤτοι τοὺς ὀνείρους τῆς Ἑκάβης, [9] ἀπῶσαι καὶ ἐκτὸς θεῖναι τῶν χρησμῶν καὶ προσαγμάτων τοῦ Αἰσάκου. ὤφελε δὲ ὑπὲρ τῆς πατρίδος, ἐν [10] μιᾷ μοίρᾳ, ἤτοι ἐνὶ θανάτῳ, κρύψαι τοὺς διπλοῦς, τήν τε Ἑκάβην καὶ τὸν Ἀλέξανδρον, τὰ γυῖα καὶ τὰ μέλη τούτων

EMENDATIONES.

1 Ita emendavi hunc locum, ex omnibus *MSS.* quem vulgg. editt. ita corruperant, ἀπόστροφε τὸν λόγον πρὸς τὸν Πρύλιν, ὃς ἦν υἱὸς τοῦ Ἑρμοῦ, ἐν Ἴσσῃ, ἤτοι τῇ Λεσβονήσῳ τοῦ Κάδμου Ἑρμοῦ, καὶ Ἴσσης &c. 2 Συγκατασκαφέα, pro συγκατασκαφῆ, ex *Bar.* συγκατασκαφέα *Seld.* 3 Ita restitui hos versus, ex *Arati* Phænomenis, quos vulgg. editt. ita corruperant. Ἑξ πᾶσαι περ ἰοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν, ἑπτὰ δὲ ἦν τοίγε ἐπιῤῥήδην καλέονται, Ἀλκυόνη, Μερόπη τε, Κελαινώ τ', Ἠλέκτρη τε, Καὶ Στερόπη. Τηϋγέτη δὲ, πότνια Μαῖα. Quinetiam in versu primo, *Bar.* Codex rectè habet Ἑξ πᾶσαι &c. at *Seld.* & *Grav.* ἐξ οἷαι περ ἰοῦσαι. Et in vers. ultimo, omnibus cum Arati editt. convenit. 4 Ita emendavi hos versus, ope *MSS.* Codd. & Nic. *Gerbelii*; quos *Impressi* Codd. hoc modo mutilarunt; Δῶκεν ἀλεξικάκοιο Διὸς θνητοῖσιν ὀπάσσαι, ὁ Κυλλήνιος Μαίης ἐριούνιος ἦλθε κομίζων Υἱὸς ὅπως ἀνέχωμεν ὀιζύος ἄλκαρ αὐτοῖς. 5 Id est, *Maiæ filium, Cyllenes regem.* Erat enim Mercurius ex Maia in Cyllene, Arcadiæ monte, natus; Virgil. Æneid. VIII. v. 138.

Vobis Mercurius pater est, quem candida Maia
Cyllenes gelido conceptum culmine fudit.

Alii tamen alibi natum tradunt. Cæterum nos hunc locum ita emendavimus, quem vulgg. Codd. corruptissime legunt, Μαίας παῖδα κυλλήνης πάλμυν. & non minus mendose *MSS.* κυλλήνης πάλμυν *Bar.* & *Grav.* κυλλήνης πάλμυνι *Seld.* 6 Luxati sunt hi Simonidis versus, & misere deformati, tam in *MSS.* quam *Impressis* Codd. nec, ut verum fatear, placet mihi mea emendatio, quam tamen æquum est, ut boni consulat candidus Lector, aut ipse meliorem, & accomodatiorem excogitet: quod faciendi ut aliquam ansam præbeam, aliorum Codd. lectiones apponam; Μαιάδος ἔρμης ἐλίκης βλεφάροιο κατάλλαγον. αὕτη γὰρ κυλλήνης ἐν ὄρεσι θεὸν τε χ' ἑρμῆν *Seld.* Μαιάδος ἔρμης ἑλικοβλεφάροιο καλάλογον, τέκ' ἑρμῆν *Impressi.* *Bar.* & *Grav.* pro καλάλογον, habent καλάλογον. 7 Θέλω, pro τέλω, ex omnibus *MSS.* & *Phavorino*, cujus verba hæc sunt, Λῶ, παρὰ τὸ λῶ, τὸ θέλω. 8 Ἁμαρτάνω, pro ἁμαρτάνω, ex omnibus *MSS.* 9 Ἀπῶσαι, pro ὠθῆσαι, ex omnibus etiam *MSS.* 10 Μιᾷ μοίρᾳ posui, pro μιᾷ ἡμέρᾳ, ex omnibus iterum *MSS.* atque ita legendum esse, sequentia verba indicant, viz. ἤτοι ἐνὶ θανάτῳ, quibus Poetæ verba explicare voluit *Scholiastes*, quid autem θανάτῳ ad ἡμέρᾳ? at si μοίρᾳ legas, concinna erunt omnia.

Καὶ δὴ Παλαίμων δέρκεται βρεφοκτόνος	Atque videt Portunus infanticida
Ζέουσαν [a] αἰθυίῃσι πλεκτανοστόλοις	Fervere mergis funigeris
Γραῖαν [b] ξυνευνὸν [c] Ὠγύγου, Τιτηνίδα.	Anum Titanidem, Oceani conjugem.
Καὶ δὴ διπλᾶ σὺν πατρὶ ῥαίεται τέκνα,	Quin gemini cum patre perduntur filii,
[d] Στερρῷ τυπέντα [e] κλεῖδας εὐάρχου μύλῳ·	Valido percussi humeros principis lapide:

VARIANTES LECTIONES.

a Αἰθυίαισι Seld. αἰθύησι Bar. b Al. σύνευνον. c Ὠγυγοῦ Bar. quam lectionem etiam in Scholiis tuetur. d Στερρῷ Bar. e Κλειδας penacut. Bar.

τερράσας καὶ καύσας τὸ ἐν Λήμνῳ, καθ' Ἑλλάνικον, εὑρεθέντα πυρί. Οὐκ ἂν τοσῶνδε] ἐλλειπτικῶς εἶπεν. ὤφειλε γὰρ εἰπεῖν, ἐὰν ταῦτα ἐγένετο, οὐκ ἂν τοσούτων συμφορῶν κῦμα ἐπέκλυσε, καὶ δίκην κατακλυσμοῦ ἐξεχύθη, καὶ ἐπλημμύρησε, καὶ ἡμᾶς [1] κατεπόντισεν. Αἴσακος υἱὸς ἦν Πριάμου καὶ Ἀρίσβης, τῆς Μέροπος θυγατρὸς, μάντις ἄριστος, ὃς ὕστερον ἀπωρνιώθη, θρηνῶν θανοῦσαν τὴν αὐτοῦ γαμετὴν Μερόπην, τὴν Κεβρῆνος. Πριάμου δὲ δόντος Ἀρίσβην Τρτάκῳ, καὶ γήμαντος τὴν Ἑκάβην, ὡς συνέβη αὐτὴν κατὰ γαστρὸς ἔχουσαν τὸν Ἀλέξανδρον, ἰδεῖν τὸν περὶ τοῦ δαλοῦ ὄνειρον, ἔκρινεν ὁ ἐρωτηθεὶς Αἴσακος, ὅτε ἐγεννήθη Ἀλέξανδρος τοὺς δύο ἀναιρεθῆναι, ἤτοι τὸ τεχθὲν, καὶ τὴν τεκοῦσαν· εἰπὼν, Ὅτι τὸ σήμερον τεχθὲν, καὶ τὴν τεκοῦσαν χρὴ ἀνελεῖν. ὁ δὲ Πρίαμος ἀντὶ τούτων ἀνεῖλε Κίλλαν, ἐκ Θυμοίτου κρυφαίῳ γάμῳ τότε γεννήσασαν [2] Μύνιππον. Ὤφειλε.] τὸ λε, καὶ τὰ ὅμοια τοιαῦτα κοιναὶ συλλαβαί εἰσιν, ὅθεν καὶ δίχα τοῦ ν μακραί εἰσιν. Γυῖα.] κυρίως αἱ χεῖρες, παρὰ τὸ γυῶ, τὸ χωρῶ καὶ ὑποδέχομαι· καταχρηστικῶς δὲ καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος γυῖα καλοῦνται. Λημναίῳ πυρί.] ὑπὸ κεραυνοβόλων δένδρων, ἐν Ἑλληνικαῖς χώραις, ἐν Λήμνῳ πρότερον εὑρέθη [3] τὸ, τε πῦρ καὶ αἱ σιδηρουργίαι, καθὼς ἐν τῷ περὶ [4] Χίου κτίσεως Ἑλλάνικος ἱστορεῖ, ἵνα μὴ κατὰ πλάτος τὴν ἱστορίαν ἐπεξεργαζώμεθα.

229, 230, 231. Καὶ δὴ Παλαίμων.] ὁ Μελικέρτης, ὁ τῆς Ἰνοῦς υἱός. οὗτος σφόδρα ἐτιμᾶτο ἐν τῇ Τενέδῳ, ἔνθα καὶ βρέφη αὐτῷ ἐθυσίαζον. ἡ δὲ ἱστορία ὅπωθεν ἐξελήφθη. Ἀθάμας γὰρ τρέφων τὸν Διόνυσον, Ἥρας ὀργῇ μανεὶς, τὸν παῖδα Λέαρχον ἀναιρεῖ, εἶτα καὶ ἡ Ἰνὼ μανεῖσα, ἔρριψε τοῦτον εἰς ζέοντα λέβητα· σωφρονήσασα δὲ, ἐδεδοίκει παρὰ τοῦ Ἀθάμαντος καὶ αὐτὴ μετὰ τοῦ ἑτέρου αὐτῆς παιδὸς Μελικέρτου, ἀναιρεθῆναι, φεύγουσα δὲ διὰ τῆς Γερανείας, ὄρους Μεγαρικοῦ, ἀπὸ τῆς Μολουρίδος πέτρας ἔρριψεν ἑαυτὴν μετὰ τοῦ παιδὸς Μελικέρτου, τοῦ καὶ Παλαίμονος, εἰς τὴν θάλασσαν. Νηρεΐδες δὲ χορεύουσαι ἐπιφανεῖσαι εἶπον Σισύφῳ, εἰς τιμὴν τοῦ παιδὸς ἄγειν τὰ Ἴσθμια. ἕτεροι δέ φασιν, ὅτι Ἀθάμας ἔμελλε [5] βαλεῖν καὶ τὸν Παλαίμονα εἰς λέβητα, καὶ κλέψασα ἡ μήτηρ Ἰνὼ τοῦτον, ἔφυγεν. οἱ δὲ κομίσαντες ἐν Κορίνθῳ τότε τὸ σῶμα Σισύφῳ ἀπὸ τῆς Σχοινουντίας, (ἐκεῖσε γὰρ ἐξερρίφη ἐκ τῆς θαλάσσης, δελφῖνος αὐτὸ ἐκβαλόντος) Ἀμφίμαχος καὶ Δοναῖνος ἐκαλοῦντο. ὁ δὲ Σίσυφος, ἀδελφὸς ὢν Ἀθάμαντος, τοῦ Παλαίμονος πατρὸς, βασιλεὺς Κορίνθου, ὅθεν καὶ ἑορτὴν, τὰ Ἴσθμια, συνεστήσατο. ἐτιμᾶτο δὲ, ὡς ἔφημεν, ὁ Παλαίμων καὶ ἐν τῇ Τενέδῳ. Καὶ δὴ Παλαίμων.] ἀντὶ τοῦ εἰπεῖν, καὶ δὴ ὁ τῆς Τενέδου θάλασσα ἀναβράσει καὶ στενωθέντος τῷ πλήθει [6] τῶν Ἑλληνικῶν ὁλκάδων, εἶπε, καὶ δὴ ὁ Παλαίμων, ὁ βρεφοκτόνος, δέρκεται καὶ βλέπει τὴν γραῖαν σύγκοιτον τοῦ Ὠγύγου καὶ Ὠκεανοῦ, ἤτοι τὴν Τηθὺν, τουτέστι τὴν θάλασσαν, τὴν Τιτηνίδα, τὴν ἤγουν μίαν τῶν Τιτάνων, τῶν παίδων Οὐρανοῦ καὶ Γῆς· δέρκεται τί πάσχουσαν; ζέουσαν καὶ ἀναβράζουσαν ἐν ταῖς αἰθυίαις, ταῖς ἐπεστολισμέναις ἐν πλεκτάναις, ἤτοι σχοινίοις. λέγει δὲ ναῦς συμβολικῶς αἰθυίας, τὰ πλοῖα· αἴθυιαι γὰρ κυρίως, ὄρνεα θαλάσσια.

232, 233. Καὶ δὴ διπλᾶ.] Κύκνος, ὁ [7] Σκαμανδροδίκης καὶ [8] Ποσειδῶνος, λαθραίως τεχθεὶς, ἐξερρίφη πλησίον θαλάσσης. κύκνον δὲ περὶ αὐτὸν καταπτάντα ἰδόντες τινὲς ἁλιεῖς, ἀνείλοντο τοῦτον, καὶ Κύκνον ὠνόμασαν, ὃς ἀνδρωθεὶς, ἔγημε Προκλείαν, τὴν Λαομέδοντος, * καὶ γεννᾷ Τένην * καὶ Ἡμιθέαν. ἀποθανούσης δὲ τῆς Προκλείας, ἐπέγημεν ὁ Κύκνος Φυλονόμην, τὴν Τραγάσου. ἥτις ἐρασθεῖσα τοῦ Τένου, καὶ μὴ τυχοῦσα τῆς ἐλπίδος, κατηγόρησεν αὐτοῦ πρὸς τὸν πατέρα, ὡς βιασθεῖσα ὑπ' αὐτοῦ, συμμαρτυροῦντος αὐτῇ καὶ αὐλητοῦ τινὸς Μόλπου. ὁ δὲ ὀργισθεὶς, εἰς λάρνακα βαλὼν Τένην καὶ Ἡμιθέαν, ἀφῆκεν εἰς θάλασσαν. τῆς δὲ λάρνακος προσοκειλάσης τῇ τότε Λευκοφρύϊ νήσῳ, νῦν δὲ ἀπὸ τοῦ Τένου Τενέδῳ καλουμένῃ, ἰδόντες καὶ οἱ τῆς νήσου τὸ συμβὰν, καὶ μαθόντες τὸ δρᾶμα, βασιλέα ἑαυτῶν τὸν Τένην ἐποίησαν, καὶ τὴν νῆσον ἀπ' ἐκείνου Τένεδον προσηγόρευσαν. γνοὺς δὲ ὁ Κύκνος τὸ ἀληθὲς, ἀνεῖλε μὲν τὴν Φυλονόμην, αὐτὸς δὲ ἐλθὼν συνῴκησε τοῖς παισὶν ἐν Τενέδῳ. Ἀχιλλεὺς δὲ ἐπιστρατεύσας τῇ Τροίᾳ, ἀνεῖλε τὸν Κύκνον, καὶ Τένην, τὸν λόγῳ υἱὸν Κύκνου, ἔργῳ δὲ Ἀπόλλωνος. ἡ δὲ Ἡμιθέα διωκομένη ὑπ' αὐτοῦ, φεύγουσα τὴν μῖξιν, εἰς γῆν κατεπόθη· μετὰ δὲ τὸ ἀνελεῖν Ἀχιλλέα Κύκνον καὶ Τένην, * εἰς ἔννοιαν ἐλθὼν * ἀνεῖλε καὶ τὸν Μνήμονα, ὅν τινα ἡ Θέτις συνακόλουθον Ἀχιλλεῖ δέδωκεν, ὑπομιμνήσκειν αὐτῷ, μὴ ἀνελεῖν Ἀπόλλωνος παῖδα· [9] εἱμαρμένον γὰρ ἦν, ἀποθανεῖν Ἀχιλλέα, ὁπότε ἀνέλῃ παῖδα Ἀπόλλωνος. ὁ δὲ Τένης, ὡς ἔφην, υἱὸς ἦν Ἀπόλλωνος. Καὶ δὴ διπλᾶ] καὶ δὴ τὰ δύο τέκνα, ὁ Τένης καὶ ἡ Ἡμιθέα, ῥαίεται καὶ φθείρονται, ἀντὶ τοῦ φθαρήσονται, σὺν τῷ πατρὶ αὐτῶν Κύκνῳ, ἐν τῷ στερρῷ μύλῳ καὶ λίθῳ τοῦ καλῶς ἄρχοντος Ἀχιλλέως, τυπέντα καὶ πληγέντα τὰς κλεῖδας καὶ τοὺς ὤμους. καὶ τοῦτο δὲ ψεύδεται ὁ Λυκόφρων, οὐ γὰρ κατὰ τοὺς ὤμους, ἀλλὰ τὴν κεφαλὴν πληγεὶς ὁ Κύκνος ἀνῃρέθη. φασὶ γὰρ, ὅτι [10] ἄτρωτος ἦν τὸ λοιπὸν σῶμα πλὴν τῆς κεφαλῆς. τοῦτο δὲ μῦθός ἐστι. περιδέξιος γὰρ ὢν στρατιώτης ὁ Κύκνος, καὶ κάλλιστα σκεπόμενος ἐν πολέμῳ, ὡς μηδέποτε τρωθῆναι, ὑποπέπτωκε τοῖς μύθοις, ὅτι ἄτρωτός ἐστιν. ἐπεὶ δὲ πληγεὶς ὑπ' Ἀχιλλέως περὶ τὴν κεφαλὴν ἀνῃρέθη, ἔφρασαν ἄτρωτον εἶναι, πλὴν μόνης τῆς κεφαλῆς.

EMENDATIONES.

1 Κατεπόντισεν, pro κατεπόντωσεν, ex utroque MSS. 2 Μένιππον habent vulgg edit. Ego Μύνιππον reposui ex fide omnium MSS. idque nominis Cillæ filio alibi tribuit Scholiastes noster. 3 Τὸ, τε, pro τότε, ex utroque MSS. 4 Ἴου Grav. 5 Βαλεῖν pro λαβεῖν, ex omnibus MSS. 6 Ita emendavi hunc locum, ex Seld. quem Impressi hoc modo habent, τῶν Ἑλληνικῶν ὁλκάδων εἶπε. καὶ δὴ ὁ Παλαίμων &c. 7 Σκαμανδροδίκης Bar. & Grav. 8 Ἀπόλλωνος Seld & sunt, qui Cycnum narrant Apollinis fuisse filium. Sed nihil mutare volui, cum antiqua lectio defendi possit, non enim desunt, qui Cycnum à Neptuno genitum ferant; Ovid. Metam. xii. Fab 3.

——— & jam Sigea rubebant
Litora, jam letho proles Neptunia, Cycnus
Mille viros dederat, jam curru stabat Achilles.

* Hæc interserui ex utroque MSS quæ ipsa verba clamant è contextu excidisse: cui enim ignotum est, Tenen & Hemitheam Cycni liberos fuisse? * Ex Grav. 9 Εἱμαρμένον, pro εἱμαρμένη, ex omnibus MSS. 10 Ἄτρωτος, pro ἄτρωτον, ex omnibus MSS.

Τὰ πρόσθεν αὐλητῆρος ἐκπεφευγότα	Qui prius in alveo perniciosas tibicinis
Ψυδραῖσι φήμαις [a] λαρνακοφθόροις ῥιφάς,	Falso sermone expositiones effugerant,
Ὧ δὴ πιθήσας συγνὸς ἄρταμος [b] τέκνων,	Cui obtemperans odiosus filiorum interfector,
[c] Αἰθυιόθρεπτος, πορκέων [d] λιναγρέτης,	A mergis nutritus, piscatorum captus retibus,
[e] Κρηθμοῖσι καὶ [f] ῥαιβοῖσι [g] νηρείταις φίλος,	Ostreis & curvis neritis familiaris,
[h] Χηλῷ [i] κατεδρύφαξε διπτύχους γονάς.	Capsa sepivit filios duos.
Σὺν τοῖς δ' ὁ τλήμων μητρὸς οὐ φράσας [k] θεᾶς	Cum illis verò miser non dicens Deæ matris
Μνήμων ἐφετμὰς, ἀλλὰ [l] ληθάργῳ σφαλεὶς,	Mnemon mandata, sed oblivione lapsus,
Πρηνὴς θανεῖται, στέρνον [m] οὐτασθεὶς ξίφει.	Pronus morietur, pectus gladio sauciatus.
Καὶ δὴ στένει [n] Μύρινα, καὶ πρόχθιοι	Gemit sanè Myrina, & litorales
[o] Ἵππων [p] φριμαγμὸν [q] ἠϊόνες [r] δεδεγμέναι,	Ripæ, hinnitum excipientes equorum,

VARIANTES LECTIONES.

a Λαρνακοφόροις Bar. b Κύκνου Bar. c Αἰθυιόθρεπτος Bar. al. αἰθυιόθρεπτος. d Al. λινηγρέτης. e Al. κρηθμοῖσι. f Ραιβοῖσι Seld. g Νηρίταις Seld. aliique h Χηλῷ Bar. eandemque lectionem in Scholiis habet. i Al. κατεδρύφαξε. k Θεᾶς Seld. l Λήθαργῳ Seld. m Οὐτασθεὶς Bar. n Μύρινα Seld. idemque in Scholiis habet: al. Μύρινα. o Al. ἵππων. p Φρυμαγμὸν Bar. eandemque lectionem in Scholiis retinet. q Al ἠϊόνες. at Seld. ἠϊόνες, sine ι subscripto, solentque uterque MSS. ut id semel dicam, literæ istius subscriptionem omittere. r Δεδεγμένοι Etymolog.

234, 235. Τὰ πρόσθεν αὐλητῆρος.] οὕτω δεῖ συντάσσειν· τὰ πρόσθεν ἐκπεφευγότα τὰς λαρνακοφθόρους ῥιφὰς, [1] ταῖς ἐν ψυδραῖσι καὶ ἐν ψευδέσι φήμαις τοῦ αὐλητῆρος, ἤτοι τοῦ Μόλπου, λείπει δὲ τὸ γενομένας. Λαρνακοφθόρους ῥιφάς.] τὰς μελλούσας φθεῖραι αὐτὰ ἐν τῇ λάρνακι. λαρνακοφόρους δὲ, τὰς φερομένας διὰ θάλασσαν ἐν λάρνακι. κἂν γὰρ λαρνακοφόρους εἴπῃς, οὐκ ἔστιν ἐπλασμένος ὁ στίχος, ἀλλ' ὀρθῶς καὶ οὕτως ἔχει, κἂν ἴσως καὶ ὁ Λυκόφρων τοῦτο ἠγνόησε. τὸ γὰρ δασὺ σύμφωνον δύναται ἐκλείπειν, ὡς τὸ,

Τρῶες δ' ἐῤῥίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν.

εἰ δὲ καὶ σὺ τοῦτο μείζον λέγεις, ὡς οἱ πολλοὶ, ἄκουσον Ἱππώνακτος,

[2] Ην αὐτὸν ὄφις τὸν πτενόμενον δάκῃ.

ἰδοὺ τὸ ὄφις τὸ ο μακρὸν ἐλέχθη, καὶ ἕτερα τοιαῦτα εὕρηκεν ὁ πολυμαθὴς μετρικός.

236, 237. 238, 239. Ὧ δὴ] ᾧ τινι Μόλπῳ πεισθεὶς ὁ Κύκνος, συγνὸς καὶ συγητὸς ἄρταμος καὶ φονεὺς τῶν τέκνων, ὁ αἰθυιόθρεπτος, ὅνδος εἶπεν ἀντὶ τοῦ εἶδος, ἀντὶ τοῦ ὁ κυκνόθρεπτος, ὁ λιναγρέτης καὶ ἀγρευθεὶς ἐν λίνοις καὶ ἐν δικτύοις τῶν πορκέων καὶ ἁλιέων, ὁ φίλος καὶ ἠγαπημένος τοῖς κρηθμοῖσι καὶ ὀστρέοις, τοῖς ῥαιβοῖς καὶ λοξοῖς νηρείταις καὶ κοχλιδίοις, ἐν χηλῷ καὶ ἐν [3] κιβωτῷ κατεδρύφαξε, ἀντὶ τοῦ ἠσφάλισε, τὰς διπτύχους γονὰς, ἤτοι τοὺς δύο παῖδας αὐτοῦ, Τέννην καὶ Ἡμιθέαν. Δρύφακτα καὶ δρύφακτα κυρίως λέγεται, τὰ ἐκ δρυῶν ἐμφράγματα. τὰ δὲ λοιπὰ τῆς ἱστορίας ἐν τῇ ἀνωτέρω ἱστορίᾳ ἐξέθηκα, ὡς καὶ τὰ τοῦ Μνήμονος.

240, 241, 242. Σὺν τοῖσδε.] σὺν Κύκνῳ, καὶ τοῖς ἐκείνου παισὶν, καὶ ὁ τλήμων καὶ ὁ καρτερικὸς Μνήμων θανεῖται πρηνὴς, τὸ στέρνον καὶ [4] τὸ στῆθος οὐτασθεὶς ξίφει, τῆς μητρὸς Ἀχιλλέως, τῆς θεᾶς, οὐ φράσας καὶ οὐκ εἰπὼν τὰς ἐντολὰς, ἀλλ' ἐν ληθάργῳ καὶ ἐν [5] λήθῃ σφαλείς.

243, 244. Καὶ δὴ στένει Μύρινα.] ἡ μὲν ἔννοια οὕτως ἔχει· εἰπὼν ἀνωτέρω, ὅτι βλέπω συστροφὴν πλοίων συγκρινομένων ἐν τῇ θαλάσσῃ, καὶ ὀλισθοῦσαν τὴν πατρίδα μου Τροίαν τόδε, καὶ τόδε νῦν φησι, καὶ δὴ στενάζει ἡ Μύρινα, πολίχνη Τροίας, [6] καὶ οἱ καὶ αἰγιαλοὶ, τὸν χρεμετισμὸν τῶν ἵππων ἀκούσαντες, ὅταν ὁ Ἀχιλλεὺς ὕστερον ἁπάντων Ἑλλήνων πηδήσας ἐκ τῆς νηὸς εἰς τὴν γῆν, ὕδωρ ἐκ τῆς βίας τοῦ πηδήματος ἀναδύσῃ, καὶ συμβολὴ πολέμου γενήσεται, σαλπιζόντων τῶν σαλπιγκτῶν τῶν ἐν κόχλοις. προορῶ δὲ τοῖς ὀφθαλμοῖς μου καὶ πάσης τῆς Τρωϊκῆς γῆς τὴν πόρθησιν, καὶ τοῖς ὠσί μου ἀκούω καὶ οἰκτίζω τοὺς στεναγμοὺς τῶν Τρωϊκῶν γυναικῶν, διὰ τὰς ἐπερχομένας αὐταῖς [7] ἀπαλλήλους συμφοράς. ἀλλ' ἡ μὲν ἔννοια ἐστὶν αὕτη, συντάξεως δὲ ἐνταῦθα χρείαν οὐκ ἔχομεν, διὰ τὸ σαφὲς, τὰς δὲ ἱστορίας χρηστέον· Μύρινα πολίχνη Τροίας ἐστὶν, ὅπου παρετάξαντο οἱ Τρῶες, ἀκούσαντες τὴν τῶν Ἑλληνικῶν πλοίων ἐπέλευσιν παρὰ Πολίτου, τοῦ Πριάμου υἱοῦ, ὅστις σκοπὸς τῶν Τρώων [8] ὑπῆρχε, θαῤῥῶν ταχύτητι ποδῶν, ὡς φησι καὶ Ὅμηρος,

[9] Ἔστι δέ τις προπάροιθε πόληος αἰπεῖα κολώνη,
Ἐν πεδίῳ ἀπάνευθε, περίδρομος ἔνθα καὶ ἔνθα,
Τὴν ἤτοι ἄνδρες Βατίειαν κικλήσκουσιν,
Ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο Μυρίνης.
Ἔνθα τότε Τρῶές τε διέκριθεν, ἠδ' ἐπίκουροι.

Μύρινα δὲ ἡ πολίχνη ἐκλήθη, ὅτι μία τῶν Ἀμαζόνων Μύ-

EMENDATIONES.

1 Τὰς ἐν ψυδραῖσι, pro ταῖς ἐν ψυδραῖσι, ex Seld. τὰς ἐν ψυδραῖς Bar. τὰς ἐν ψυδραῖσι Grav. 2 Ην αὐτὸν ὄφις τὸν τε πείραιον δάκῃ Bar. & Grav. 3 Κιβωτῷ, pro κιβώτῳ, ex omnibus MSS. 4 Prius scriptum fuit, τὸ στῆθος οὐτασθεὶς ξίφει τῇ μητρὸς Ἀχιλλέως &c. q. diceret. Mnemonem à Thetide, Achillis matre, occisum esse, eum nihil minus intelligat aut Poeta, aut Scholiastes; sed Mnemonem volunt ideo periisse, quod mandata Thetidis neglexisset. Cæterum emendationem nostram debemus Seld. 5 Λήθῃ, pro λήθῃ, ex utroque MSS. 6 Ita emendavi ex Seld. καὶ οἱ αἰγιαλοὶ τὸν χρεμετισμὸν τῶν ἵππων ἀκούσαντες Bar. & Grav. καὶ οἱ αἰγιαλοὶ τῶν χρεμετισμῶν τῶν ἵππων ἀκούσαντες Impress. 7 Ἀλλ' ἐπαλλήλους συμφορὰς Bar. & Impressi. 8 Ὑπῆρχε, pro ὑπεῖρχε, ex utroque MSS. 9 Hos versus ex MSS. & Homero (in cujus Bœotia occurrunt) emendavi; quos mutilarunt editi. vulgg. hoc modo, ἐστὶ δέ τις πόλις αἰπεῖα κολώνη, ἐν πεδίῳ ἀπάνευθε περίδρομος, &c.

Ὅταν Πελασγὸν ἅλμα λαιψηροῦ ποδὸς	Quando Thessalicum celeris saltum pedis
Εἰς θῖν' ἐρείσας λοισθίαν αἴθων λύκος,	In ripam imprimens ultimam ravus lupus,
Κρουναῖον ἐξ [a] ἄμμοιο [b] ῥοιβδήσῃ γάνος,	Fontanam ex arena ciebit aquam,
Πηγὰς ἀνοίξας τὰς πάλαι κεκρυμμένας.	Fontes olim opertos aperiens.
Καὶ δὴ [c] καταίθει γαῖαν ὀρχηστὴς Ἄρης,	Incendit quoque terram Saltator Mars,
Στρόμβῳ τὸν αἱματηρὸν ἐξάρχων νόμον.	Concha cruentum exordiens classicum.
Ἅπασα δὲ χθὼν [d] προὐμμάτων [e] δηϊουμένη	Tota verò terra vastata ante oculos
Κεῖται, πέφρικαν δ' ὥστε ληΐου [f] γύαι	Jacet, horrentque tamquam segetis jugera
Λόγχαις [g] ἀποστίλβοντες· οἰμωγὴ δέ μοι	Lanceis coruscantia: luctus porro mihi

EMENDATIONES.

a Ἄμμοιο cum simplici μ Bar. b Ῥοιβδεῖ Bar. aliique. c Κατεῖθε Bar. d Πρυμμάτων Bar. e Δηϊμένη uterque MSS. aliique. f Γῆα Seld. γύαι al. g Ἀποστίλβοντες legi posse existimavit Canterus, cujus Annotationes videndæ.

εἶναι καλουμένην ἐκεῖ πηλάστρα, ὅτε κατὰ τῆς Τροίας ἐστράτευσαν. αἱ δὲ λοιπαὶ τῶν Ἀμαζόνων εἰς τιμὴν ἐκείνης τὴν πόλιν ἀνήγειραν. [1] Παράκτιοι θῖνες.] ἐκ εἶδον τοὺς τῆς Τροίας αἰγιαλούς· οἱ μὲν γὰρ κρημνώδεις καὶ πετρώδεις εἰσί, καλῶς εἶπεν θῖνες καὶ αἰγιαλοὶ παράκτιοι, ἤτοι πετρώδεις. οἱ δὲ οὐκ εἰσὶ κρημνώδεις, ἀφιλῶς, μᾶλλον δὲ μακροὺς εἶπεν, θῖνες καὶ αἰγιαλοὶ παράκτιοι, ἤτοι παραθαλάσσιοι. Φριμαγμόν.] οὕτως, οἶμαι, τὸν χρεμετισμὸν λέγει. οὐκ ἔστι δὲ φριμαγμὸς ὁ χρεμετισμός, ἀλλ' ὁ διὰ τῶν ῥινῶν ἵππων ἐκπεμπόμενος ἦχος, ὅταν γαυριῶσιν. Ηιόνες.] καὶ ῥῆνες, ὡς ἂν ἐθέλῃς γράφε, εἴτε τρισυλλάβως, τηθεὶς κάτωθεν τοῦ ῑ προσγεγραμμένον· εἴτε τετρασυλλάβως, μὴ ὑπογράφων, ἀλλ' ἐκφωνῶν ἠϊόνες. τὸ γὰρ ἰαμβικὸν καὶ ἀνάπαιστον δέχεται πόδα, οἷός ἐστιν ὁ ἴαμβος, καὶ δάκτυλον, καὶ χορεῖον, πλὴν ἐν τοῖς οἰκείοις τόποις.

245. Πελασγὸν ἅλμα.] τὸ Θετταλικὸν πήδημα, τὸ τοῦ Ἀχιλλέως, Πελασγὸς γὰρ καὶ Θετταλὸς ὁ Ἀχιλλεύς. τὸ δὲ ὅθεν ἐκλήθη Πελασγία, εἴπον. ἡ δὲ περὶ τοῦ Ἀχιλλέως πηδήματος ἱστορία τοιαύτη ἐστί· Χρησμὸς ἦν δοθεὶς Ἕλλησι, τὸν προπηδήσαντα τῶν Ἑλλήνων χεῖρι τῶν Τρώων ἐκ τῶν ὁλκάδων, πρῶτον τῶν ἄλλων ἀποθανεῖν. προπηδήσαντος δὲ τοῦ Πρωτεσιλάου, καὶ ἀναιρεθέντος ὑφ' Ἕκτορος, ἢ ἑτέρου, ὁ Ἀχιλλεὺς τῷ τούτου πηδήματι παιδευθείς, ὕστερος ἁπάντων τῆς ἰδίας νηὸς σφοδροτέρως πηδήσας, πλήξει τὴν γῆν, καὶ ὕδωρ ἐξ αὐτῆς, ὥς φασιν, ἀνεδόθη, ὥς φησι καὶ ὁ Ἀντίμαχος,

Ῥίμφα δὲ ἀπ' ἰκριόφιν μελαίνης νηὸς ἀερθείς,
Πηλείδης ἀπόρουσεν, ἐλαφρὸς ἠΰτε κίρκος.
Τοῦ δ' ἔμπροσθε ποδῶν κρήνη γένετ' ἀενάουσα.

καὶ Εὐριπίδης φησὶ διὰ Νεοπτολέμου,

Τὸ Τρωϊκὸν πήδημα πηδήσας ποδοῖν.

246. Αἴθων λύκος.] ὁ Ἀχιλλεύς.

247. Ἄμμοιο.] * τῆς ἄμμου. * ἄμος δὲ ἑνὸς τοῦ μ γράφεται. ἄμαθος γὰρ λέγεται, παρὰ τὸ ἀμαθὲς καὶ ἀμέτρητον εἶναι, καὶ συγκοπῇ ἄμος. ἄμμος δὲ Αἰολικῶς διὰ δύο μμ, ἐκεῖνοι γὰρ πάντα τὰ σύμφωνα διπλασιάζουσιν. Ῥοιβδήσῃ.] μετ' ἤχου ἀναδώσῃ. Γάνος.] νῦν τὸ ὕδωρ, ἀλλαχοῦ τὸ γάλα, καὶ ἡ χαρά.

249. Καταίθει.] νῦν ἀντὶ τοῦ λαμπρύνει τῇ στίλψει τῶν ὅπλων. Ὀρχηστὴς Ἄρης.] ὁ εὐκίνητος. καὶ Ὅμηρος,

—— Τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα.

ὀρχηστὴς δὲ λέγεται, διὰ τὰς γινομένας ἐν τοῖς πολέμοις συχνὰς κινήσεις. ἢ ὁ εὐκίνητος, ἐπειδὴ μέλη τινὰ ἐπιτήδεια πρὸς τὸ παροξῦναι τοὺς ἀνδρείους εἰς πόλεμον ᾖδοντο. ἢ ὅτι μετὰ πυῤῥίχης καὶ ἐνοπλίου ὀρχήσεως γινόμενος, ὥσπερ ἐγίνετο τοῖς Λάκωσιν ἔν τινι καθεστῶτι ῥυθμῷ γυναικείῳ, καὶ κινοῦντι πρὸς τὸν πόλεμον.

250. Στρόμβῳ τὸν αἱματηρόν.] ἐν κοχλίῳ σαλπίζων, καὶ κατάρχεσθαι ποιῶν τὴν προσβολὴν τοῦ πολέμου. πρὸ γὰρ εὑρέσεως τῆς σάλπιγγος, ἐν τοῖς πολέμοις πυρφόροις ἐχρῶντο, οἵ τινες ἐξ ἑκατέρου μέρους τῶν στρατευμάτων, τῶν τε πολεμίων, καὶ τῶν πολεμουμένων, μέσον εἰσερχόμενοι λαμπαδηφόροι, ἐξέῤῥιπτον τὰς λαμπάδας ἀντὶ τοῦ σαλπίσαι, καὶ οὕτως συνεκροτεῖτο ὁ πόλεμος· εἶτα τῷ κοχλίῳ ἐφεῦρον σαλπίζειν, καὶ τινα μέλη ἐπιτήδεια, πρὸς τὸ παροξῦναι, καὶ εἰς ἀνδρείαν κινῆσαι τοὺς ἀκούοντας, καὶ ἐπαύθη τὸ πυρφορεῖν. ἐπεὶ δὲ παρὰ τῶν Τυρσηνῶν εὑρέθησαν αἱ σάλπιγγες, ἐπαύθη καὶ τὸ κοχλίῳ σαλπίζειν. καὶ τοῦτο δὲ κακόπλαστον ὑπάρχει τοῦ Λυκόφρονος, τὸ ποιεῖν ἑαυτὸν μὴ εἰδέναι σάλπιγγα, ὡς ὕστερον γενομένην, ἀλλὰ κοχλίαν, κἂν τότε Κασσάνδρας πρόσωπον εἰσάγῃ περὶ τούτων λαλοῦν. Ὅμηρος γὰρ ἀρχαιότερος τούτου γενόμενος πρὸ διακοσίων ἐτῶν, οἶδε σάλπιγγι χρωμένους τοὺς Ἕλληνας, λέγων·

Ὡς δ' ὅτ' [a] ἀριζήλη φωνή, ὅτε τ' ἴαχε σάλπιγξ.

251. Δηϊουμένη.] ὡς τὸ ἠϊόνες, ἢ προσγεγραμμένον καὶ ἀνεκφώνητον, ἢ ἐκφωνούμενον δίχα [3] προσγεγραμμένου. σημαίνει δὲ τὸ ἀφανιζομένη.

252, 253. Πέφρικαν.] πεφρίκασι, ἀντὶ τοῦ πεπτώκασι. τὸ δὲ πέφρικαν, ἀντὶ τοῦ πεφρίκασι, καὶ ὅμοια, Χαλκιδικῶς, ἤτοι Ἀττικῶς, διαλέκτου. καὶ τὸ ἐσχάζοσαν, καὶ εἴπασαν, καὶ τὰ ὅμοια. οὕτως, οἶμαι, καὶ τὸ ἦν ἀντὶ τοῦ ἦς, ἐναντίως τῷ κανόνι. ὁ γὰρ κανών, τῶν εἰς τὸ σ ληγόντων μετοχῶν μετ' ὀξείας τάσεως τὰ τρία πρόσωπα τῶν πληθυντικῶν ἰσοσύλλαβα ποιεῖ τοῖς ἰδίοις πρώτοις πληθυντικοῖς· τῶν δὲ μὴ οὕτως, ἰσοσύλλαβα ποιεῖ τὰ γ πληθυντικά. εἶπον τὸ α ἑνικόν, εἶπον τὸ γ πληθυντικόν· τὸ δὲ εἴπασαν ἐναντίον, ὁμοίως καὶ ἔσχαζον. τὸ δὲ ἐσχάζοσαν ἐναντίον ἐστί, καὶ τῆς Χαλκιδικῆς δια-

EMENDATIONES.

1 Ita emendavi ex utroque MSS. cum prius corrupte scriptum esset, Παράκτιοι.] ἠϊόνες. ἐκ &c. * Ex omnibus MSS. a Ἀριζήλη pro ἀριζήλῃ, ex utroque MSS. & φωνή, pro φωνῇ. Sed ἀριζήλῃ φωνῇ habet Grav. 3 Προσγεγραμμένου. pro προσγεγραμμένης, ex Bar quod reposui, quia prius neutro genere usus est: alioqui non multum refert, quo genere proferatur; & fœminino utrobique usus est Seld. λέκτου.

Ἐν ὠσὶ πύργων ἐξ ἄκρων ἰνδάλλεται,	Summis è turribus in auribus personat,
Πρὸς αἰθέρος κυροῦσα νιωμίμας ἕδρας,	Ad ætheris ventosas pertingens sedes,
Γόῳ γυναικῶν, καὶ καταρράκταις πέπλων,	Planctu, & vestifragiis mulierum,
Ἄλλην ἐπ' ἄλλῃ συμφορὰν δεδεγμένων.	Aliam atque aliam excipientium cladem.
Ἐκεῖνό σ', ὦ τάλαινα καρδία, κακόν,	Illud me miseram malum,
Ἐκεῖνο δάψει πημάτων ὑπέρτατον,	Illud mordebit maximum malum,
Εὖτ' ἂν λαβράζων περκνὸς, αἰχμητὴς, ᵃ χάρων	Quando alis infremens nigra, pugnax, cæsia
Πτεροῖσι χέρσον αἰετὸς διαγράφων,	Pennis terram aquila inscribens,
Ῥαιβῷ τυπωτὴν τόρμαν ᵇ ἀγκύλῳ βάσει,	Curvo impressam orbitam torto gressu,
ᶜ Λευρᾶς βοώτης γατομῶν δι' αὔλακος,	Latum bubulcus arans sulcum,
ᵈ Κλάζων τ' ἄμικτον στόματι ῥιγίστην βοήν,	Clangensque confusa & immani voce,
ᵉ Τὸν φίλτατόν σου τῶν ἀγαστόρων, ἔρφιν	Carissimum meorum fratrum, alumnumque
Πτώου ᶠ τε πατρὸς ἁρπάσας μετάρσιον,	Ptoi patris rapiendo sublimem,
Ὄνυξι γαμφηλῇσί θ' αἱμάσσων δέμας,	Unguibus, ac rostris corpore lacerato,
Ἔγχωρα τίφη, καὶ πέδον χραίνῃ φόνῳ.	Indigenas silvas, solumque maculārit cæde.

VARIANTES LECTIONES.

a Nonnulli videntur legisse χάρων, ut patet ex *Scholiis*, quæ *MSS.* Codd. suppeditarunt. b Ἀγκύλῃ *MSS.* aliique. c Hunc versum hoc loco posui, *Jos. Scaligerum*, & *Johan. Meursium* secutus, quem alii posuerunt loco ducentes. sexagentes. octavo, post Ἔγχωρα τίφη &c. d Al. κρέζων e Τῶν φατέων *Etymolog.* ib. ἀγαστόρων τρέφει conjunctim ol. f Δὲ *Bar.*

λλείων. Ἡ δὲ σύνταξις οὕτως· Πέφρικαν δὲ καὶ πεφρίκασιν καὶ στενάζουσιν αἱ γυῖαι καὶ αἱ στολίδες ὥσπερ λαῖν, ἤτοι ὡς στενάζουσιν αἱ γυῖαι τῇ λύπῃ καὶ χαρᾷ ἐν στέρνοις. στενάζουσι δὲ αἱ γυῖαι ἐν λόγχαις ἀπαρρέπουσαι. * Γυῖαι.] τὸ γῦ πᾶν μακρὸν, κἂν βραχὺ λέξῃ, ἄπλαστος ἐστὶν ὁ στίχος, ὡς ἐδιδάχθης.*

254. Πύργων ἐξ ἄκρων.] ἐκ τῶν ὑψηλῶν. Ἰνδάλλεται] ἀποσκάζεται, ὁμοιοῦται, καλλιεργητικῶς. κυρίως γὰρ ἐπ' ὀφθαλμοῖς λέγομεν τὸ ἰνδάλλειν.

255. Αἰθέρος νιωμίμους ἕδρας] [1] καθέδρας ὀπανέμους αἰθέρος, περιφραστικῶς τὸν αἰθέρα λέγει, ὡς καὶ Πίνδαρος, [2] Ἐρήμας δὲ αἰθέρος. ἐν γὰρ τῷ ἀέρι συνίστανται κατὰ Ἀριστοτέλην καὶ [3] πάντες στροφαὶ, τά τε νέφη, καὶ αἱ καταιγίδες, καὶ τὰ πνεύματα. ὁ δὲ αἰθὴρ ἔρημος τούτων ἁπάντων καθέστηκεν, ὅθεν νεώνυμον εἶπεν αὐτόν.

257. Ἄλλην ἐπ' ἄλλῃ συμφορὰν δεδεγμένων.] οἷον εἰπεῖν, νῦν μὲν ἀκουουσῶν τῶν Τρωϊκῶν γυναικῶν τὴν Πανδάρου συμφορὰν καὶ τὸν θάνατον, εἶτα Σαρπηδόνος, ἔπειτα Ἕκτορος, καὶ διὰ τοῦτο γενομένων, καὶ ῥηγνυουσῶν τὰ ἱμάτια.

258. Ἐκεῖνό σ', ὦ τάλαινα.] πρὸς ἑαυτὴν ἡ Κασσάνδρα ταῦτα φησὶ, ἀποδυρομένη τὴν Ἕκτορος τελευτὴν, καὶ λέγει, Ὦ, ὦ τάλαινα καρδία, ἐκεῖνό σε πλέον τῶν ἄλλων βλαβῶν λυπήσει, ὅταν ὁ Ἀχιλλεὺς ἀνελὼν τὸν Ἕκτορα, ἐφ' ἅρματος ἕλκῃ, μιαίνων τὴν γῆν τῷ ἐκείνου αἵματι. Ἡ [*] δὲ σύνταξις οὕτω· Ἐκεῖνό σε, ὦ τάλαινα καρδία, δάψει καὶ λυπήσει, ἐκεῖνο τὸ ὑπέρτατον τῶν πημάτων καὶ τῶν βλαβῶν, εὖτ' ἂν ὁ περκνὸς καὶ κυνηγετικὸς αἰετὸς, ὁ χάρων, ὁ αἰχμητὴς, ἤτοι ὁ Ἀχιλλεὺς, χραίνῃ καὶ μιαίνῃ τὰ ἔγχωρα καὶ ἐντόπια τίφη καὶ ἄλση, καὶ τὸ πέδον καὶ τὴν γῆν ἐν τῷ φόνῳ καὶ αἵματι, ἁρπάσας μετάρσιον ἐν τοῖς ὄνυξι τὸν φίλτατόν σου ἔρφιν καὶ ἀδελφὸν ἀπὸ τῶν ἀγαστόρων καὶ ὁμογαστρίων, τὸν Πτώου καὶ Ἀπόλλωνος ὑπάρχοντος παιδὸς, καὶ ἄλλο τί ποιῶν; αἱμάσσων τε τὸ ἐκείνου δέμας ἐν ταῖς γαμφηλαῖς καὶ στόμασι, λαβράζων καὶ ἠχῶν ἐν τοῖς πτεροῖς, κλάζων τε καὶ βοῶν ἄμικτον ῥιγίστην καὶ φοβερὰν βοὴν ἐν τῷ στόματι· τί ποιῶν; γατομῶν καὶ ἀροτριῶν ὁ βοώτης δὲ αὔλακος καὶ γῆς λευρᾶς καὶ πλατείας, χέρσον καὶ ξηρὰν τόρμαν καὶ αὔλακα διαγράφων τυπωτὴν καὶ κεχαραγμένην ἐν ῥαιβῷ καὶ ῥαιβῇ καὶ σκολιᾷ, καὶ ἀγκύλῃ βάσει, ἀντὶ τοῦ, τῷ κάτωθεν περιφέρειν τὸ ἅρμα ὥσπερ ἀροτριῶν. Τὸ δὲ ῥαιβῷ, ἀντὶ τοῦ ῥαιβῇ θηλυκῶς, Ἀττικὸν ἐστίν. Ἢ οὕτως εἰπέ· Διαγράφων ἐν ῥαιβῷ ἀρότρῳ τυπωτὴν καὶ κεχαραγμένην ἐλλειπτικῶς. Ἐν ἀγκύλῃ βάσει ἀσυνδέτως εἶπεν, ὡς καὶ τὸ χέρσον.

259, &c. Δάψει.] δάκνει, λυπήσει. Λαβράζων.] ἠχῶν τοῖς πτεροῖς. Περκνός.] κυνηγετικός. * Πτεροῖσι κάτωθεν καὶ κόπτων. Πτεροῖσι.] τοῖς τοῦ ἅρματος τροχοῖς. Κράζων.] βοῶν. Ἀγαστόρων τρέφειν.] ὁμογαστρίων ἀδελφῶν, ἤτοι συντεθραμμένον.* Τόρμαν.] λέγει αὐτὸ τὸ ἀπὸ τοῦ τροχοῦ. Ῥαιβῷ δὲ, τῇ ὀλισθηρᾷ. Τὸ δὲ κλάζων ἄμικτον, ὅτι μόνος ὁ αὐτὸς, ἤτοι Ἀχιλλεὺς, ἐπολέμει, κεχωρισμένος τῶν Ἑλλήνων, ὥς φησιν Ὅμηρος. Πτώου τε πατρός.] * τὸν υἱὸν τοῦ Πτώου πατρὸς, ἤτοι τοῦ Ἀπόλλωνος.* Στησίχορος γὰρ, καὶ Εὐφορίων,

EMENDATIONES.

* Hæc interserui ex *Seld.* & *Grav.* eademque, sed mutilata, reperiuntur in *Bar.* 1 Hanc lectionem debeo *Seld.* In vulgg. edict. hoc modo scriptum fuit. καθέδρας ὀπανέμους. Αἰθέρος] περιφραστικῶς &c. 2 Ἐρήμας posui, pro ἐρήμη, ex fide omnium *MSS.* & ipsius *Pindari* Olymp. α'. v. 10. 3 Πάντες, pro πάντως, ex utroque *MSS.* * Hæc paulum immutata reperiuntur in omnibus *MSS.* * Hæc addo ex *Bar.* & *Grav.* quæ sensus indicat in vulgg. edict. omissa esse. Et in *Seld.* etsi non prorsus idem, aliquid tamen simile occurrit.

καὶ

Λαβὼν δὲ ταῦρον τοῦ πεφασμένου δάνος,	Accepto autem tauri jugulati pretio,
Σκεθρῷ ταλάντῳ τρυτάνης [a] ἠρτημένον,	Exacta trutinæ lance appenso,
[b] Αὖθις τὸν ἀντίποινον ἐκχέας ἴσον	Rursumque pro redemtione æquilibrem
Πακτώλιον σταθμοῖσι πλαυγῇ μύδρον,	Pactoliam effundens claram laminam,
Κρατῆρα Βάκχου δύσεται, [c] κεκλαυσμένος	Urnam Bacchi subibit, deploratus
Νύμφαισιν, αἳ φίλαντο Βηφύρου γάνος,	Nymphis amantibus Bephyrum,
[d] Λειβηθρίαν θ' [e] ὕπερθε Πιμπλείας σκοπὴν,	Libethriamque speculam supra Pimpleam,

VARIANTES LECTIONES.

a Ἠρτημένον al. ὑρτημένον al. b Αὖθις al. c Κεκλαυσμένος al. d Λιβηθρίαν al. e Ὑψόθι cum ι finali MSS. uterque, quorum Seld. in Scholiis eandem habet lectionem.

καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς ποιητὴς, φασὶ τὸν Ἕκτορα υἱὸν τοῦ Ἀπόλλωνος. Πτῷος δὲ, ὁ Ἀπόλλων οὕτω λέγεται· Λητοῦ ἐν Δήλῳ γεννώσῃ Ἄρτεμιν καὶ Ἀπόλλωνα, σῦς μέγας ἄγριος ἐφάνη· ἰδοῦσα δὲ τοῦτο ἐπτοήθη, καὶ Πτῷα ἐκλήθη. ὁμοίως δὲ καὶ ἡ Ἄρτεμις, καὶ ὁ Ἀπόλλων Πτῷος. Λαυρᾶς.] [1] λίαν εὐρείας. * ἀλλὰ καὶ τὰς λέξεις ἄνωθεν τῶν στίχων γράφε. *

269. Λαβὼν δὲ ταῦρον τοῦ πεφασμένου.] [2] ταῦρον τὸν Ἕκτορα καλεῖ, ὡς θυμικὸν καὶ ἀνδρεῖον. Πεφασμένου.] τοῦ πεφονευμένου καὶ ἀνῃρημένου. Δάνος.] νῦν τὸ δῶρον. Φασὶν οἱ πολλοὶ, ὅτι Ἀχιλλεὺς ἐρασθεὶς Πολυξένης τῆς θυγατρὸς Πριάμου, ἐδήλωσε τῷ Πριάμῳ συμμαχήσειν αὐτῷ, εἰ λάβοι τὴν κόρην. ὁ δὲ συνέθετο δοῦναι· καὶ ἐλθόντων ἐν τῷ τοῦ [3] Θυμβραίου Ἀπόλλωνος ναῷ, Ἀλέξανδρος λάθρα τοξεύει τὸν Ἀχιλλέα· καὶ οὕτω συνέβη ἀποθανεῖν τὸν ἥρωα. [4] λαβόντες δὲ τὸ σῶμα αὐτοῦ οἱ Τρῶες ἠσφαλίσαντο, οὐ πρότερον δώσειν ἐπαγγελλόμενοι, πρὶν ἂν τὰ δῶρα λάβωσιν ἐξ ἴσου, ἃ Πρίαμος ὑπὲρ Ἕκτορος δέδωκεν, ὃ καὶ γέγονεν. λέγει οὖν, Τὸν ἀντίποινον χρυσὸν ἴσον τῷ σταθμῷ δοὺς ὁ Ἀχιλλεὺς, ταφήσεται παρὰ τοῖς Ἕλλησι.

270. Σκεθρῷ.] Ὅμηρος μὲν ἁπλῶς δῶρα φησὶ τῷ Ἀχιλλεῖ δοθῆναι ὑπὲρ Ἕκτορος. Λυκόφρων δὲ, καὶ ἄλλοι τινὲς, ζυγοσταθμηθέντα αὐτὸν ἴσον χρυσὸν δοθῆναι τοῦ βάρους. Τάλαντον.] νῦν τὸ πλατὺ καὶ πεταλῶδες τοῦ ζυγοῦ, ἐν ᾧ τιθέντες τὰ σταθμώμενα. Τρυτάνη.] ἡ καὶ σπαχάνη λεγομένη. λέγεται δὲ καὶ ἡ ὅλη ῥάβδος τοῦ ζυγοῦ, ἧς ἑκατέρωθεν τὰ τάλαντα, καὶ αἱ πλάστιγγες. κυρίως δὲ τρυτάνη, ἡ γλωσσὶς τῆς ῥάβδου τοῦ ζυγοῦ.

271. [5] Αὖθις.] εἰς τοὐπίσω. Τὸν ἀντίποινον.] τὸν ὑπὲρ τοῦ μὴ σωματηλατηθῆναι τὸν Ἕκτορα δοθέντα. Ἴσον.] καὶ μακρὸν, καὶ βραχὺ δεξάμενος τὸ ῑ, [6] οὐκ ἔστιν ὁ στίχος ἐπταισμένος, ἀλλ' εὑρήσεις ὡς καὶ ἐδίδαξα.

272. Μύδρον.] κυρίως τὸν πεπυρακτωμένον σίδηρον, παρὰ τὸ μυδᾶν. νῦν δὲ τὸν χρυσὸν σημαίνει, ἐκ τοῦ εἰπεῖν Πακτώλιον. ὁ γὰρ Πακτωλὸς, ποταμὸς Σάρδεων, [7] χρυσῖτιν φησὶν ἔχει ψάμμον, ἐκ τοῦ ἐπικειμένου ὄρους, τοῦ Τμώλου, καταρρέουσαν εἰς αὐτὸν, καὶ ψήγματα, καὶ μέταλλα, ἐξ ὧν τὸν χρυσὸν ποιοῦσι, κἂν νῦν ὅλον κατάγει.

273, 274. Κρατῆρα Βάκχου.] εἰς τὸν χρυσοῦν ἀμφιφορέα τοῦ Διονύσου, ὃν ἐχαρίσατο τῇ Θέτιδι, φυγὼν πρὸς αὐτὴν, καὶ σωθεὶς, ὅτε ὑπὸ Λυκούργου μετὰ τῶν Βακχῶν ἐδιώκετο, εἰς ὃν μετὰ τοῦ Πατρόκλου καὶ Ἀχιλλέως, καὶ Ἀντιλόχου κεῖνται ὀστᾶ. Ἡ δὲ ἱστορία τοιαύτη· Διόνυσος, ὁ καὶ Διὸς καὶ Σεμέλης παῖς, ἐν Φρυγίᾳ ὑπὸ τῆς Ῥέας τυχὼν καθαρμοῦ, καὶ λαβὼν πᾶσαν παρὰ τῆς θεᾶς τὴν διασκευὴν, ἀνὰ πᾶσαν ἐφέρετο τὴν γῆν· προσγενόμενος δὲ καὶ εἰς Θρᾴκην, Λυκοῦργος, ὁ τοῦ Δρύαντος, μάστιξιν αὐτὸν ἐλαύνει τῆς γῆς, καὶ καθάπτεται αὐτοῦ, καὶ τῶν τιθηνῶν. ὁ δὲ ὑπὸ τοῦ δέους εἰς τὴν θάλασσαν καταδύεται, καὶ ὑπὸ τῆς Θέτιδος δέχεται. ὁ δὲ τῇ Θέτιδι δίδωσι χρυσοῦν ἀμφιφορέα, εἰς ὃν τὰ τοῦ Ἀχιλλέως, καὶ Πατρόκλου, καὶ Ἀντιλόχου ὀστᾶ ἐναπέθετο, ὃν καὶ Ὅμηρος λέγει, Διωνύσοιο δὲ δῶρον φάσκ' ἔμμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο. Κεκλαυσμένος * Νύμφαισιν.*] θρηνηθεὶς ταῖς Μούσαις. Αἳ φίλαντο.] αἵ τινες ἠγάπησαν. Βηφύρου γάνος.] Βήφυρος, ποταμὸς Μακεδονίας. τὸ δὲ γάνος, ὕδωρ.

275. * Λειβηθρίαν σκοπήν.] τὴν ἐξοχὴν τοῦ Λειβήθρου, ὄρους Μακεδονίας. Ὑψόθεν Πιμπλείας.] τὴν ὑψηλοτέραν τῆς Πιμπλείας ὑπάρχουσαν. * Πιμπλεία δὲ, πόλις, καὶ κρήνη, καὶ ὄρος Μακεδονίας, ὡς μέμνηται Καλλίμαχος ἐν Ὕμνοις, λέγων,

[8] Ὡς Μοῦσαι τὸν ἀοιδὸν, ὃ μὴ Πίμπλειαν ἀείσῃ,
Ἔχθουσι ——— καὶ Ὀρφεὺς,
Νῦν δ' ἄγε μοι κοῦραι Πιμπληΐδες ἔννεπε Μοῦσαι.

Καὶ αἱ μὲν λέξεις οὕτως ἔχουσιν, * σὺ δ' ὧν ὑπέτι· γράψον δὲ σὺ ταύτας μέσον τῶν στίχων. * ἡ δὲ ἔννοια τοιαύτη ἐστίν· Ὅτι λαβὼν ὁ Ἀχιλλεὺς τὰ ὑπὲρ Ἕκτορος λύτρα, καὶ πάλιν ἀντιδιδοὺς [9] ἰσόσταθμα, ταφήσεται ἐν τῷ κρωσσῷ, τῷ δοθέντι τῇ Θέτιδι παρὰ Διονύσου, θρηνηθεὶς ταῖς Νύμφαις, ἤτοι ταῖς Μούσαις, αἵ τινες παρὰ τὴν Πιμπλείαν, καὶ Λειβήθρειαν, καὶ τὸν Βήφυρον οἰκοῦσιν, ἃ παρὰ τὸν Ἑλικῶνα, καὶ τὴν Μακεδονίαν εἰσίν. Ἀλλ' ὁ μὲν Λυκόφρων, καὶ ἕτεροι ζυγοσταθμηθῆναι ἰσοβαρεῖ χρυσῷ τὸν Ἕκτορα λέγουσι, καὶ οὕτω παρὰ τοῦ Ἀχιλλέως δοθῆναι τῷ Πριάμῳ, νομίζοντες ὅτι πλεῖον ἐστὶ τὸ ζυγοσταθμηθῆναι αὐτὸν, τῶν, ὧν φησὶν Ὅμηρος, χρημάτων. οὐκ ἔστι δὲ τοῦτο· ὑπερβαίνουσι γὰρ τὰ δέκα τάλαντα, ἅπερ φησὶν Ὅμηρος, χωρὶς τῶν λοιπῶν, τὸν σταθμὸν τοῦ βάρους τοῦ Ἕκτορος. Λέγουσι δὲ θανόντα τὸν Ἀχιλλέα θρηνηθῆναι ταῖς Μούσαις, ὥσπερ φησὶν Ὅμηρος, καὶ ταῖς Νηρηΐσιν. ἀλλ' ἐκεῖνος μὲν πάντα

EMENDATIONES.

1 Λίαν εὐρείας, pro λείας. εὐρείας ex omnibus MSS. * Hoc addo ex omnibus MSS. 2 Ταῦρον δὲ τὸν Ἕκτορα Impress. Ego particulam δὲ delevi, ut inutilem, ex fide utriusque MSS. 3 Θυμβραίου, pro Θυμβαίου, ex utroque MSS. Achilles enim in Apollinis Thymbræi templo dicitur à Paride confixus sagittis, periisse. 4 Λαβόντες, pro λαβοῦσα. 5 Hoc modo emendavi hunc locum, ex utroque MSS. quem Impressi sic corruperant. Αὖθις τὸν ἀντίποινον] τὸν ὑπὲρ τοῦ &c. 6 Sic lego ex Grav. quam lectionem partim tuentur cæteri quoque MSS. οὐκ εὕρῃς τὸν στίχον ἐπταισμένον, ὡς ἐδίδαξα Impress. 7 Χρυσῖτιν posui ex Bar. & Grav. χρυσίτην Seld. χρυσῆν τὴν Impress. * Ex utroque MSS. * Hæc addo ex Seld. & Grav. quorum prior pars etiam in Bar. occurrit. * Ex omnibus MSS. 8 Ita emendavi versum hunc ex ipso Callimacho, in cujus Hymno in Delum septimum habet locum. Ως Μούσαις τὸν ἀοιδὸν ὃς μὴ Πίμπλειαν ἀείσῃ Impress. Ως Μοῦσαι τὸν ἀοιδὸν ὃν μὴ Πίμπλειαν ἀείσει ἔχουσι Seld. ὃν μὴ Πίμπλειαν δὲ ἄσειν ἔχθει Grav. ὃν μὴ Πίμπλειαν ἄσειν ἔχθει Bar. * Hæc occurrunt in Bar. eademque cum levi mutatione habent Seld. & Grav. 9 Ἰσόσταθμα, pro ἰσοσταθμῷ, ex utroque MSS.

[illegible]

Ὁ νεκροπέρνας, ὃς προδειμαίνων [a] πότμον,	Cadaverum venditor: qui formidans mortem,
Καὶ θῆλυν ἀμφὶ σῶμα τλήσεται πέπλον	Etiam femineam corpori ſuſtinebit veſtem
[b] Δῦναι, παρ' ἱστοῖς κερκίδος ψαύσας [c] κρότων,	Inducere, pectinis apud telas ciens pulſus,
Καὶ [d] λοῖσθος [e] εἰς γῆν δυσμενῶν [f] ῥίψαι πόδα,	Et ultimus in hoſtilem terram figens pedem,
Τὸ σὸν, ξύναιμε, κᾂν [g] ὕπνῳ [h] πλήσσων δόρυ.	Tua, Frater, etiam in ſomnis haſta territus.
Ὦ δαῖμον, [i] οἷον κίον' αἰστώσεις δόμων.	O Deus, qualem perdes ædium columnam,
Ἔρεισμα πάτρας δυστυχοῦς [k] ὑποσπάσας;	Fulcrum infelicis patriæ ſubtrahens?
Οὐ [l] μὴν ἀνατεί [m] γ', [n] οὐδ' ἄνευ μόχθων πικρῶν,	Non tamen impunè, nec abſque laboribus acerbis,

EMENDATIONES.

a Τέρων Seld. b Δῦσαι al. c Κρότων Bar. Sed iſti finali ς ſuperſcripſit aliquis ω. κρότω Seld. d Λοῖσθος Seld. e Ἐς al. f Ῥίψας pleraque edit. Impreſſ. habuerunt. Nos MSS. utriuſque, necnon G. Canteri auctoritate & judicio freti, ῥίψαι legimus. g Τοσσώσσων Bar. h Πλήσσων Seld. i Οἷον deeſt in Seld. ſcriptoris, opinor, negligentiâ. Et κίονα deeſt in Meurſii edit. typographorum incuriâ. k Αποσπάσας Seld. l Al. μὴν. m Δ' Bar. aliique. n Οὐ, δ' Seld. aliique.

πλευσόμενος χρᾶται, καὶ ἀλληγορικώτερον, ὅτι μετὰ τῶν μουσικῶν ὀργάνων ὁ Ἀχιλλέως ἐγεγόνει παιδεία. Νηρηΐδας δὲ λέγει θρηνοῦσαι αὐτὸν, ὅτι συνέβη κατὰ τὴν κηδείαν τῆς αὐτοῦ τελευτῆς, μυκώμενος μετὰ παρὰ τὴν θάλασσαν ὥσπερ ὀδυρομένην, εἶτα μέχρι τῆς Ροιτείου ἐφ' ἱκανὸν διάστημα ἐξελθοῦσαν φοβῆσαι μὲν τοὺς Ἕλληνας οὐ μικρῶς, εἶτα πάλιν ὑποστρέψαι, καὶ τοιαῦτα μὲν ἃ φησὶν Ὅμηρος. οἱ δὲ νεώτεροι Μούσας τὰς δακρυούσας εἰσάγουσι, καὶ τὰς ἐκείνων γινώσκουσι κατοικίας, ὅτι εἰσί, [1] κἀξ οἵων ποταμῶν ἀπαρύονται ὕδατα, [2] Πιμπλείαν, καὶ Λειβήθριον λέγοντες, καὶ ποταμὸν μοι τὸν Βάφυρον. Καὶ τοῦτο δὲ ἀλληγοροῦνται ὁπόταν, Ὀρφεὺς ἀρχὴ καὶ πατὴρ ὑπάρχων τῶν ποιητῶν, κατῴκει περὶ τὸν Ἑλικῶνα, καὶ τὸ Λειβήθριον, ἐμυθουργήθη, ὡς αἱ Μοῦσαι περὶ τοὺς ἐκείνου τόπους οἰκοῦσι.

276, 277, 278. Ὁ νεκροπέρνας.] ὁ Ἀχιλλεὺς, [3] ὁ πωλήσας τοὺς νεκρούς, ὅτι τὸν Ἕκτορα νεκρὸν ὄντα πέπρακεν. ἐκ τοῦ πέρνημι δὲ γίνεται τοῦτο· ὁ ἐνεστὼς πέρνω, τὸ περνάσω, καὶ ἐξ αὐτοῦ πέρνημι, ὡς ἱστῶ, ἵστημι· ὁ μετοχὴ πέρνας, καὶ ὁ ἱστάς. Ὅς τις Ἀχιλλεὺς δεδοικὼς τὸν θάνατον, καὶ γυναικεῖα ἐνδύσεται, καὶ ἱστουργήσει ὡς γυνή, καὶ ὕστερος ἁπάντων Ἑλλήνων ἀποπηδήσει τῆς νεὼς εἰς τὴν γῆν τῶν Τρώων, τὸ σὸν δόρυ δεδιώς. ἱστορεῖται γὰρ τοῖς νεωτέροις, ὅτι Ἀχιλλεὺς ἀκούων τὸν Ἕκτορα ἀνδρεῖον, καὶ φοβηθεὶς, ὑπεκρίθη κόρη εἶναι, καὶ ἐλθὼν ἐν Σκύρῳ ᾤκει μετὰ τῶν Λυκομήδους παίδων, ἔνθα καὶ τῇ Δηϊδαμείᾳ συνῆλθεν. Ὀδυσσεὺς δὲ σταλεὶς ὑπὸ Ἀγαμέμνονος, ἀπελάκιζε, καὶ ἠλακάτας, καὶ ὅσα τοιαῦτα γυναικῶν ἐργαλεῖα, ἔτι δὲ καὶ ξίφη, καὶ τόξα, καὶ [4] ἰοὺς ῥίψας περὶ τὸν παρθενῶνα τοῦ Λυκομήδους, ἐπέγνω αὐτόν, καὶ τοῖς Ἕλλησιν ἤγαγεν. αἱ γὰρ γυναῖκες τὰ γυναικῶν ἐπελέγοντο, Ἀχιλλεὺς δὲ ξίφη λαβὼν, ἐπειρᾶτο κινεῖν δεξιῶς, καὶ οὕτως ἠλέγχθη. ἀλλὰ ταῦτα μὲν πέπλασται, καὶ μεμυθολόγηνται, τὸ δ' ἀληθὲς οὕτως ἔχει· Ἄρτι λαβὼν πρὸς γάμον ὁ Ἀχιλλεὺς Δηϊδάμειαν, τὴν θυγατέρα Λυκομήδους, συνδιέτριβεν ἐν τοῖς θαλάμοις καὶ παρθενῶσι, πόθῳ τῆς [5] νεογαμίας. ὅθεν ἐμυθεύσαντο, ὅτι γυναικεῖα ὑπέδυ. ἀγγελίας δὲ τῆς ἐκ στρατείας καταγγέλλοντος τοῦ Ὀδυσσέως, προθύμως ὑπήκουσε, καὶ ἐξώρμησε πρὸς τὸν πόλεμον, καίπερ μαθὼν ὑπὸ χρησμοῦ [6] βραχυχρόνιος εἶναι, εἰ πρὸς τὴν Τροίαν ἐκπλεύσῃ. [7] ἐπὶ ἀγγελίαν, καὶ τὸν ἐκ χρησμοῦ φόβον εἰς ξίφη καὶ ἀπελάκιζε [8] ἐξέθετο. ὅτι γὰρ οὐκ ἐδειλίασεν Ἀχιλλεὺς, ἀλλὰ καὶ προθύμως πρὸς τὸν πόλεμον ὥρμησεν, καὶ Ὅμηρος μαρτυρεῖ ἐν τῇ λ' ῥαψωδίᾳ, τὸν Νέστορα παρεισάγων πρὸς τὸν Πάτροκλον λέγοντα·

—— Ἤλθον ἐγώ, καὶ δῖος Ὀδυσσεύς,
Λαὸν ἀγείροντες κατ' Ἀχαιΐδα καλλιγύναικα.

καὶ μετ' ὀλίγα φησίν,

Ἤρχον ἐγὼ μύθοιο κελεύων ὔμμ' ἅμ' ἕπεσθαι,
Σφὼ δὲ μάλ' ἠθέλετον —————

Ταῦτα μὲν πάντα ἀλληγορεῖται, [9] ὁ δὲ βαρβαρόγλωσσος οὗτος Λυκόφρων μυθικωτέρως ἐκδέχεται· διὸ καὶ φορτικώτερόν μοι δοκεῖ ἐν οὐκ ἀλληγορουμένοις, ὡς πολλάκις ἔφην, ἀλληγορεῖν.

279. Καὶ [10] λοῖσθος ἐς γῆν.] οὕτω τὴν ἱστορίαν, καὶ πάλιν ἐρῶ· Εἵμαρτο τῷ πρώτῳ τῆς νεὼς ἀποβάντι ἀποθανεῖν, ὃ καὶ πέπονθεν ὁ Πρωτεσίλαος· διόπερ Ἀχιλλεὺς ὕστερον ἐξῆλθε.

281. Ὦ δαῖμον.] ὦ τύχη, ὦ εἱμαρμένη, ὁποῖον κίονα τῶν [11] οἴκων ἀφανίσεις, τὸ ἔρεισμα καὶ στήριγμα τῆς δυστυχοῦς πατρίδος καταβαλοῦν; οὐ μὴν ἄνευ βλάβης καὶ τιμωρίας, οὐδὲ χωρὶς πόνου καὶ κόπου πικρῶν, καὶ πένθους ὁ λῃστὴς Ἑλληνικὸς γελάσει στρατός, ἐπαγαλλόμενος τῷ θανάτῳ τοῦ πεπτωκότος Ἕκτορος. Κίονα δὲ καλεῖ τὸν Ἕκτορα, ὡς καὶ Πίνδαρος λέγει·

Τίς γὰρ Ἕκτορ' ἔσφαλε, Τροίας
Ἄμαχον ἀστραβῆ κίονα;

κίονα δὲ καλεῖ τὸν Ἕκτορα, ὡς μὴ μόνον τὸν Πριάμου οἶκον συνέχοντα καὶ βαστάζοντα τῇ δυνάμει αὐτοῦ, ἀλλὰ καὶ πᾶσαν τὴν Τροίαν. Ὦ δαῖμον.] ὁ στίχος οὗτος ἐν τῇ δ' χώρᾳ πόδα ἀνάπαιστον ἔχει, καὶ καλεῖται ἰαμβικὸς τραγικός.

VARIANTES LECTIONES.

1 Κἀξ οἵων, pro κἀξ οἵων, ex Sold. 2 Πιμπλείαν, pro Πιμπλείαν, ex utroque MSS. 3 Ὁ πωλήσας, pro ὅτι πωλήσας, ex omnibus MSS. 4 Ἰοὺς, pro ἰοὺς, ex Sold ἰοὺς Bar. 5 Νεογαμίας, pro νεογαμίας repoſui, quod ita legat uterque MSS. etſi altera lectio non ſit plane vituperanda. Τῆς νέας γάμου Grav. 6 Βραχυχρόνιος Bar. & Grav. 7 Ἐπὶ poſui, pro τὴν, ex Sold. & Grav. ſenſu id exigente. 8 Ἐξέθετο, pro ἐξέθετο, ex Sold. & Grav. 9 Ὁ δὲ βαρβαρόγλωσσος οὗτος Λυκόφρων poſui, pro ὁ δὲ Λυκόφρων οὗτος, ex omnibus MSS. 10 Λοῖσθος, pro λοῖσθος, ex utroque MSS. 11 Οἴκων, pro οἴκων, ex omnibus MSS.

Πένθος θ' ὁ λῃστὴς Δωριεὺς γελᾷ στρατός,	Luctuque prædo Græcus ridebit exercitus,
[a] Ἐπεγκαχάζων τῷ [b] δεδουπότος μόρῳ·	Insultans cæsi leto :
Ἀλλ' ἀμφὶ πρύμναις τῶν πανυστάτων [c] δρόμων	Sed circum naves extremum currens
Πόλκαις βίᾳ βαλβῖδα συμφλεχθήσεται,	Curriculum, cum classe comburetur,
Καλῶν ἐπ' εὐχαῖς πλεῖστα Φύξιον Δία,	Multum votis invocans Fugitivum Jovem,
Πορθουμένοισι κῆρας [d] ἀρκέσαι πικράς.	A vexatis ut arceat acerba fata.
Τότ' οὔτε τάφρος, οὔτε ναυλόχων σταθμῶν	Tunc nec fossa, nec navalium stationum
Πρόβλημα, καὶ σταυροῖσι [e] χαρακωτὴ πτέρυξ,	Munimentum proderit, neque palis vallata pinna,
Οὐ [f] γεῖσα χειρομήσει τιν, οὐδ' ἐπάλξιες,	Neque suggrundia, neque propugnacula :
Ἀλλ' ὡς μέλισσαι συμπεφυρμέναι καπνῷ,	Sed ut apes commistæ fumo,
Καὶ [g] λιγνύος ῥιπαῖσι, καὶ [h] γρυνῶν βολαῖς,	Fuliginisque jactu,& stipitis plaga,
Ἄφλαστα, καὶ κόρυμβα, καὶ [i] κληδῶν θρόνους	Per puppes, & proras, transtrorumque sedes,
Πυκνοὶ κυβιστητῆρες ἐξ ἐδωλίων	E sedilibus saltatores frequentes

VARIANTES LECTIONES.

a Ἐπεγκαχάζων Bar. ἐπεγκαγχάζων al. b Δεδουπότος Sold. c Post δρόμων distinctionis notam habet uterque MSS. d Ἀλέξαι Sold. e Κεροωτὴ Sold. f Γεῖσα Bar. aliique. g Λιγνύος Sold. h Al. γρυνῶν. i Al. κληδῶν. al. κλήδων sine iota subscripto.

284. Δωριεὺς στρατός.] ὁ Ἑλληνικὸς, ἀπὸ Δώρου, τοῦ Ἕλληνος παιδὸς, ὥς φησιν Ἡσίοδος ἐν τῇ Ἡρωϊκῇ γενεαλογίᾳ,

Ἕλληνος δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆος,
* Σαλμωνεύς τ' ἄδικος, καὶ ὑπέρθυμος Περιήρης, *
Δῶρός τε, Ξοῦθός τε, καὶ Αἴολος ἱππιοχάρμης.
Αἰολίδαι δ' ἐγένοντο θεμιστοπόλοι * βασιλῆες,
Κρηθεὺς, ἠδ' Ἀθάμας, καὶ Σίσυφος αἰολομήτης. *

286, 287. [1] Πρύμναις πόλκαις.] πόλκαις, ταῖς ναῦσιν, ἀπὸ τοῦ πολεῖσθαι τὸ πλεῖσθαι. Πρύμνη δὲ, τὸ ἔσχατον καὶ ὀπίσθιον μέρος τῆς νεὼς, παρὰ τὸ εἰς πέρας καὶ τὸ τελευταῖον μέρος μένειν. Πρῶρα δὲ, τὸ ἔμπροσθεν, παρὰ τὸ προορᾷν τὸν ῥόον, ἤτοι τὸ ὕδωρ, ἀπλῶς. Τὸ δὲ ἑξῆς, οὕτως· Οὐ μόνον Ἕκτωρ Δωριεῖς ἀποκτενεῖ, καὶ οἱ Ἕλληνες τοῦ θανάτου [2] γελάσουσιν ἄνευ περισίμου καὶ τιμωρίας, ἀλλὰ φυγόντες περὶ τὰ πλοῖα αὐτῶν, συμφλεγήσονται ταῖς ναυσί. μεταφράζει δὲ τὴν παρ' Ὁμήρου Ἑλληνικὴν ναυμαχίαν, ἐν ᾗ φαίνεται ὁ Ἕκτωρ διώξας τοὺς Ἕλληνας, καὶ κατακαύσας τὴν ναῦν τοῦ Πρωτεσιλάου.

288. Καλῶν ἐπ' εὐχαῖς πλεῖστα τὸν φυγῆς αὐτοῖς αἴτιον γενόμενον Δία, προθυμουμένους αὐτοὺς ὑπὸ τῶν Τρώων ἀποδιῶξαι τὸν θάνατον. ἢ καλῶν Δία Φύξιον, τὸν δυνάμενον ποιῆσαι φυγεῖν τὸν κίνδυνον. Φύξιος δὲ ὁ Ζεὺς, καὶ Φίλιος, καὶ [3] Ἑταιρεῖος, καὶ Ὁμόγνιος, καὶ Ἐφέστιος, καὶ ἄλλα μυρία καλεῖται, πρὸς τὰ συμβαίνοντα καὶ γινόμενα μετονομαζόμενος· φεύγων γάρ τις, Φύξιον Δία ἐπικαλεῖται. γάμους δὲ πάλιν ποιῶν, Γαμήλιον Δία. συμβουλευόμενος δὲ, Βουλαῖον, καὶ τ' ἄλλα ὁμοίως.

290, 291, 292. Τότ' οὔτε τάφρος.] τότε οὐ βοηθήσουσι τοῖς Ἕλλησιν, οὔτε ὁ τάφρος καὶ τὸ ὄρυγμα, οὔτε τῶν νεῶν τὰ περιτειχίσματα, καὶ ἡ ἐν σταυροῖς καὶ χάραξι τοῖς πεπηγμένοις ἐκεῖθεν τῆς τάφρου πτέρυξ καὶ τὸ περιτείχισμα, τὸ δίκην [4] κορσῶν ἐπέχον ἐν τῇ τάφρῳ, ἢ τὸ δίκην κρωσσοῦ καὶ κλίμακος, τουτέστι τὸ κλιμακηδὸν πεπηγμένον, οὔτε τὰ γεῖσα καὶ αἱ στεφάναι, ἤτοι οἱ κοσμῆται, ἀλλ' οὐδὲ ἐπάλξεις, ἤτοι αἱ στάσεις τῶν πύργων, ἐν αἷς ἵσταντο οἱ πολεμισταί, ὧν ἄνωθεν εἰσὶν αἱ λεπταί, ἤτοι οἱ προμαχῶνες, καὶ τὰ ἐξέχοντα τῶν τειχῶν, καὶ, οἷον εἰπεῖν, οἱ ὀδόντες. ταῦτα πάντα τότε οὐκ ὠφελήσουσι τοὺς Ἕλληνας, περὶ τὰς ναῦς διωχθεῖσιν ὑπὸ τοῦ Ἕκτορος· ὅτι δὲ ἔκτισαν τοῦτο τὸ τεῖχος οἱ Ἕλληνες, ὃ μὴ ὠφέλησε * δυνάμενον * αὐτοὺς, ὃ Λυκόφρων λέγει νῦν, ἐν τῇ θ' ῥαψῳδίᾳ αὐτοῦ Ὅμηρος δηλοῖ τὴν κτίσιν αὐτοῦ· ἐν δὲ τῇ μ' τὴν τοῦ ναυμαχίας φησὶ, καὶ τὴν τούτου [5] καθαίρεσιν. Ἄλλως· Πτέρυγα εἶπε τοῦ τείχους, τὴν περίστασιν τῆς οἰκοδομῆς, οἷον τὸν ὑψηλόν, παρὰ τὸ κορυφοῦσθαι καὶ ἐγείρεσθαι. τὸ δὲ Κρόσσας μὲν πύργων ἔρυον, οὐ κλίμακας οἶδεν· οὐδὲ λέγει, ὅτι κατέλαβον τὰς κλίμακας, ἀλλ' ἦσαν τινὲς ξύλινοι ὑπόσχοι κλίμακας ἔχουσαι ἄνω, προμαχοι, ἐφ' αἷς οἱ πολέμιοι ἐφεστῶτες ἐμάχοντο τοῖς ἐπὶ τοῦ τείχους. ἔστιν οὖν, τὰς κρόσσας ἐπὶ τοῦ τείχους ἔρυον, καὶ κατέβαλλον τὰς ἐπάλξεις. Σταυροῖς.] ἡ ἐκατέρωθεν οἰκοδομὴ τοῦ τείχους ὀρθοῖς ξύλοις δεδημένη, ὥσπερ σταυροὺς κύκλῳ, διὰ τὴν στάσιν. ἢ αὐτὸ τὸ τεῖχος, διὰ τὸ πλάτος.

293, 294. Ἀλλ' ὡς μέλισσαι.] δίκην δὲ μελισσῶν καπνῷ ἐσκοτισμένων, καὶ βολαῖς κορμῶν, οὕτω καὶ οὗτοι ὑφ' Ἕκτορος ταραχθέντες, πηδῶντες εἰς τὴν ξηρὰν γῆν ἐκ τῶν καθεδρῶν, καὶ πρύμνας, καὶ πρώρας τῶν νηῶν, καὶ τὴν Τρωϊκὴν γῆν μολυνοῦσι τῷ αὐτῶν αἵματι, ἐν τῷ πηδᾷν ὁμοιούμενοι ὀρχησταῖς.

295. Ἄφλαστα.] καλοῦνται τὰ ἄκρα τῆς νηὸς κατ' οὐρανισμόν, τὰ ἄφλαστα, καὶ κόρυμβα τὸ αὐτὸ δηλοῦσι· διαφέρουσι δὲ, ὅτι τὰ μὲν ἄφλαστα πρυμνήσια, τὰ δὲ κόρυμβα πρωρήσια.

EMENDATIONEν.

* Hunc versum interserui ex *Sold.* sequentes vero duos non agnoscit. * Hæc interserui ex *Bar.* & *Grav.* Cæterum hic postremus versus in *Sold.* locum secundum obtinet. 1 Ita legendum puto, πρύμναις, πόλκαις. πόλκαις, ταῖς &c. *Impress.* πρύμναις πόλκαις ταῖς ναυσὶν &c. *Bar.* πρύμναις πόλκαις. πόλκαις ταῖς &c. *Sold.* 2 Γελάσουσιν, pro γελάσωσιν, ex *Grav.* 3 *Impressi* habent ἑταιρεῖος. Ego reposui ἑταιρεῖος, ex fide omnium *MSS.* Idque Jovi cognomen datum fuisse, quod amicitiæ & societati præsit, nemini ignotum esse potest. 4 Κορσῶν, pro κρωσσῶν ex *Bar.* & *Grav.* 5 Καθαίρεσιν, pro καθαίρεσιν, ex omnibus *MSS.* Vult enim *Scholiastes*, in Iliad. μ'. *Homerum* muri à Græcis conditi dissolutionem narrasse. Deinde omnia quæ sequuntur ad Ἀλλ' ὡς μέλισσαι &c. desunt.

298, 299.

Πηδῶντες, αἱμάξουσιν ὀθνείαν κόνιν.	Salientes, peregrinam cruentabunt terram.
Πολλοὺς δ' ἀριστεῖς, πρωτόλαιά θ' Ἑλλάδος	Multos verò præſtantes, primaque in Græcia ſpolia
Αἰχμῇ φέροντας, καὶ σποραῖς [a] ὠγκωμένους,	Haſtis adeptos, ac natalibus tumentes,
Αἱ σαὶ καταξανοῦσιν [b] ὄμβριμοι χέρες,	Tuæ conterent validæ manus,
Φόνῳ [c] βρύουσαι, κἀπιμαιμῶσαι [d] μάχης.	Cæde ſcatentes, & appetentes pugnam.
Ἐγὼ δὲ [e] πένθος οὐχὶ μεῖον οἴσομαι,	At ego luctum feram non mediocrem,
Τὰς σὰς στένουσα, καὶ δι' αἰῶνος ταφάς·	Tuos aſſiduè lugendo tumulos:
Οἰκτρὸν γάρ, οἰκτρὸν κεῖν' [f] ἐπόψομαι φάος,	Miſeram enim, miſeram illam videbo diem,
Καὶ πημάτων ὕψιστον, ὧν κραντὴς χρόνος	Et cladium maximam, quarum tempus moderator
Μήνης ἑλίσσων κύκλον αὐδηθήσεται.	Lunæ volvens orbem appellabitur.
[g] Αἶ, αἶ, στενάζω καὶ σὸν, εὔγλαγον θάλος,	Heu! heu! gemo etiam tuum, lactens Germen,
Ὦ σκύμνε, τερπνὸν [h] ἐναγκάλισμα συγγόνων,	Catule, jucundum fratrum amplexamentum,
[i] Ὅς τ' ἄγριον δράκοντα πυρφόρῳ βαλὼν	Qui ferocem Draconem ignita feriens
Ἴυγγι τόξων, ὃν τυπέντα δ' ἐν βρόχοις	Arcuum illecebra, ictumque laqueis

VARIANTES LECTIONES.

a Ογκωμένοις Seld. b Ὄβριμοι Seld. aliique. c Βλύουσαι MSS uterque, aliique. d Φόνου Seld. e Πένθος Bar. f Ἐπόψομαι Bar. g Αἶ αἶ Seld. & varie ſcribuntur hæ voces, interdumque ἰξύζων. interdum στεναζόμενα proferri ſolent. Variaſque de hac re canones tradunt Grammatici. Αἶ αἶ, οἱ μὲν στενάζουσιν, οἱ δὲ ἰξυάζουσιν, ὅ ἐστι θάττον, inquit Biſetus, in Ariſtophanis Acharn. Act. IV. Scen. VII. Αἶ αἶ ἐπίρρημα θρηνητικὸν δισυλλαβούμενον, στενάζεται δὲ, καὶ ψιλοῦται κατὰ Σουΐδαν. idem in Theſmophur. Αἶ ψιλούμενον μὲν, καὶ ἰξυνόμενον, δυσφορικόν ἐστιν ἐπίρρημα, καί τι καὶ μεμπτικόν, εἰ καὶ ὡς τὰ πολλὰ θρηνητικόν ἐστι. ψιλούμενον δὲ, καὶ στεναζόμενον, θρηνητικόν ἐστιν, &c. Phavorinus. Vide etiam quæ Tzetzes noſter in has voces adnotavit ad v. XXXI. Poematis hujus. h Αγκάλισμα MSS, uterque, & alii, nec repugnat metri ratio. h Al. ἐς τάχιστ'. al. ἐς ἄγραν.

298, 299, 300. Πολλοὺς δ' ἀριστεῖς.] εὐγενεῖς Ἕλληνας, τοὺς λαμβάνοντας προτόλαια, ἤτοι τὰ πρῶτα τῆς λείας καὶ πρώτην αἰχμαλωσίαν καὶ πρόσκυρα ἐκ τῆς Ἑλλάδος φέροντας ἐν τῷ ἑαυτῶν δόρατι καὶ τῇ ἀνδρείᾳ, καὶ τῇ σπορᾷ καὶ εὐγενείᾳ ὑψουμένους, αἱ σαὶ χεῖρες, ἤτοι σὺ καταξανεῖς καὶ [1] ἀναιρεῖς. λέγει δὲ τοὺς περὶ Πάτροκλον, καὶ Πηνέλεων, καὶ Ἀσκάλαφον, καὶ Ἀρκεσίλαον, καὶ τοὺς λοιπούς. Πρωτόλεια δέ εἰσι τὰ τῆς λείας καὶ τῶν λαφύρων τοῦ πολέμου πρῶτα καὶ ἐξαίρετα, ἅπερ εἰώθασιν οἱ ἄριστοι λαμβάνειν, ὡς Ἀγαμέμνων τὴν Χρυσηΐδα Ἀστυνόμην, Ἀχιλλεὺς δὲ τὴν Βρισηΐδα Ἱπποδάμειαν, Αἴας δὲ τὴν Τέκμησσαν.

302. Ἐγὼ δὲ * πένθος.*] λυπηθήσομαι οὐ μικρῶς, αἰωνίους τὰς σὰς ταφὰς καὶ τὸν θάνατον στενάζουσα· αἰῶν δὲ λέγεται, καὶ ὁ χρόνος τῆς ἑκάστου ζωῆς· [2] ἀθλίαν γὰρ ὄψομαι ἐκείνην τὴν τῆς σῆς τελευτῆς ἡμέραν, καὶ ὕψιστον καὶ ὑπερέχουσαν τῶν θλίψεων, ὧν τινων θλίψεων κραντὴς καὶ τελειωτὴς αὐδηθήσεται, νῦν ἀντὶ τοῦ λέγεται, ὁ χρόνος, ὁ ἑλίσσων καὶ συστρέφων καὶ πληρῶν τὸν κύκλον αὐτοῦ διὰ σεληναίας κινήσεως καὶ περιφορᾶς, ἐπειδὴ οἱ παλαιοὶ κατὰ σελήνην τοὺς μῆνας ἐψήφιζον, διὰ δὲ τῶν μηνῶν ὁ χρόνος ἀπαρτίζεται.

307. Αἶ, αἶ, στενάζω.] φεῦ, φεῦ, στενάζω καὶ τὴν σὴν θαλερὰν καὶ ἀνανάστροφον ἡλικίαν, ὦ ἀδελφέ μου Τρωΐλε, ὦ σκύμνε καὶ βασιλικώτατον γέννημα, τερπνὴ περιπλοκὴ τῶν ἀδελφῶν, ὃς τρώσας τὸν Ἀχιλλέα τῷ ἐρωτικῷ τοῦ κάλλους σου βέλει, ἤτοι θέλξας αὐτὸν ὡς τι ἐρασθῆναί σου, σὺ δὲ μὴ ἐρασθεὶς αὐτοῦ, [3] καρατομηθεὶς καὶ ἐκλυμηθεὶς τὴν κεφαλὴν ἐν τῷ τύμβῳ καὶ ναῷ τοῦ Ἀπόλλωνος ὑπὸ τοῦ ἐρασθέντος Ἀχιλλέως, καὶ ἐν τῇ καρατομίᾳ αἱμάξεις τὸν ναόν. φασὶ γὰρ, ὅτι Ἀχιλλεὺς ἐρασθεὶς Τρωΐλου, τοῦ παιδὸς Ἑκάβης καὶ Πριάμου ἐν λόγοις, ἔργῳ δὲ παιδὸς Ἀπόλλωνος, καὶ διώκων αὐτὸν, ἔμελλε καταλαμβάνειν αὐτόν· προσφυγόντα δὲ τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ναῷ, Ἀχιλλεὺς ἐβίαζεν αὐτὸν ἐξελθεῖν. ὡς δ' οὐκ ἐπείσθη, προσελθὼν ἀνεῖλεν αὐτὸν ἐν τῷ βωμῷ. ᾧ, φασὶ, καὶ τιμωρῶν ὁ Ἀπόλλων, αὐτόθι παρεσκεύασεν ἀναιρεθῆναι τὸν Ἀχιλλέα. καὶ οὕτοι μὲν οὕτω λέγουσι περὶ Τρωΐλου. ἐγὼ δὲ τοῦτον τὸν Τρωΐλον καὶ βαθεῖαν ἔχοντα τὴν ὑπήνην, καὶ μελάγχρουν ἐπίσταμαι. οὐκ οἶδα δὲ εἰ ὁ Θετταλὸς Ἀχιλλεὺς οὕτως ἐρωτικὸς ἦν, ὡς καὶ βαθυγενείων καὶ γεραιτέρων πολὺ τούτων ἐρᾷν. [4] νέος μὲν γὰρ οὐκ ἦν ὁ Τρωΐλος, καὶ ὡραῖος μελάγχρους δὲ, καὶ δασυγένειος, καὶ Ἀχιλλέως ἐρώτων ἀνάξιος μετὰ δὲ τὴν ἀναίρεσιν Μέμνονος, ἐξελθὼν ἐκ τῆς Τροίας συμβάλλει τῷ Ἀχιλλεῖ, καὶ ἀναιρεῖται ὑπ' αὐτοῦ, καὶ ἐγένετο δι' αὐτὸν ἐν τῇ Τροίᾳ πένθος πολὺ, οἷον [5] ἐφ' Ἕκτορι.

309, 310. Πυρφόρῳ ἴυγγι τόξων.] νῦν ἀντὶ τοῦ πυρφόρῳ βέλει, λέγει δὲ τῷ ἔρωτι. ἴυγξ δὲ κυρίως ὄρνεον ἐστὶν, ἀεὶ σεῖον τὴν οὐρὰν, ἀγωγὸν ἐρώτων· ἔστι δὲ ποικίλον τῷ τραχήλῳ,

EMENDATIONES.

1 Αναιρεῖς. pro ἀναιρεῖ. * Ex Seld. πένθος habet Bar. 2 Ἀθλίαν, pro ἀθλίως, ex omnibus MSS. Nomen vero adjectivum, & non adverbium eſſe hoc vocabulum exinde patet, quod eo utatur Scholiaſtes ad exp. Οἰκτρόν. 3 Καρατομηθεὶς καὶ ἐκλυμηθεὶς, pro καρατομηθῇς καὶ ἐκλυμηθῇς. ſenſu & conſtructione id exigentibus. Ex καρατομηθεὶς habent Bar. & Grav. Sed ἐκλυμηθεὶς non omnino agnoſcunt. 4 Νέος μὲν γὰρ οὐκ ἦν, pro νέος μὲν γὰρ ἦν, ex Bar. & Grav. ſenſu id exigente. 5 Ἐφ' Ἕκτορι, repoſui ex Bar. & Grav ὑφ' Ἕκτορι Seld ἀφ' Ἕκτορος Impreſſ.

Μάρψας ἀφύκτοις βαιὸν ἀστεργῆ χρόνον,	Comprehendens inevitabilibus brevi implacidum tempore,
Πρὸς τοῦ δαμέντος αὐτὸς οὐ τετρωμένος,	A domito ipſe non vulneratus,
Καρατομηθεὶς τύμβον αἱμάξεις πατρός.	Aram cruentabis decollatus paternam.
Οἴμοι [a] δυσαίων, καὶ διπλᾶς ἀηδόνας,	Hei mihi miſeræ! duas quoque Luſcinias,
Καὶ σὸν, τάλαινα, πότμον [b] αἰάζω, σκύλαξ·	Et tuam, infelix Canis, gemo mortem:
Ὧν τὴν μὲν αὐτόπρεμνον ἡ τοκὰς κόνις	Quarum unam quidem radicitus pulvis patrius
Χανοῦσα [c] κευθμῷ χείσεται [d] διασφάγος,	Hians hiatu abſorbebit foveæ,
[e] Λεύσσουσαν ἄτην ἀγχίπουν στεναγμάτων,	Cladem videntem gemituum propinquam,
[f] Ἵν' ἅλμα πάππου, καὶ χαμευνάδος μόροι	Ubi ſaltus Avi, & Meretricis fata
Τῆς λαθρονύμφου πόρτιος μεμιγμένοι	Juvencæ occultinubæ cum Vitulo
Σκύμνῳ κέχυνται πρὶν λαφύξασθαι γάνος,	Confuſa ſunt, antequam laticem mulgeret,
Πρὶν ἐκ [g] λοχείας γυῖα [h] χυτλῶσαι δρόσῳ.	Et à partu membra rore lavaret.
Σὲ δ' ὠμὰ πρὸς [i] νυμφεῖα, καὶ γαμηλίους	Te verò ad cruda ſponſalia, nuptialiaque

VARIANTES LECTIONES.

a Δυσαίων *Sold.* b Αἰάζω *Sold.* c Al. κευθμῷ. al. χασμῷ. d Ἀπὸ σφαγῆς *Bar.* e Al. Λεύσσουσαν. f Verſum hunc hoc modo legit Etymologus: Ἵν' ἅλμα πορπῶν καὶ χαμευνάδος στενοῦ. g Al. λοχίας. al. λοχείας. h Al. κυκλῶσαι. i Νυμφία *Bar.*

μακροτράχηλον, γλῶσσαν ἔχον ἐπὶ πολὺ ἐκτεινομένην, πυκνῶς περιστρεφόμενον καὶ περιδινοῦν τὸν τράχηλον, τῶν φαρμακίσι χρήσιμον εἰς ἐρωτικὰς ἐπῳδάς· λαμβάνουσι γὰρ αὐτὸ δεσμοῦσιν ἔκ τινος τροχοῦ, ὃν περιστρέφουσιν ἅμα ἐπᾴδουσαι. Ἄλλοι δὲ φασὶν, ὅτι κηρίνῳ τροχῷ συντήκουσιν αὐτὸ ἐπ' ἀνθράκων. Οἱ δὲ φασὶν, ὅτι τὰ ἔντερα αὐτοῦ ἐξελκύουσαι, [1] περιπλέκουσι τῷ τροχῷ. ταύτην δὲ, φασὶ, τὴν ἴυγγα [2] πρώτη Ἀφροδίτη Ἰάσονι δοῦσα ἐδίδαξε ταῦτα, ὅπως Μήδειαν θέλξῃ. [3] λέγουσι, ὅτι αὕτη ἡ Ἴυγξ γυνὴ ἦν πρότερον, θυγάτηρ Πειθοῦς, ἢ Ἠχοῦς, καὶ Πανὸς, φαρμακεύουσα δὲ τὸν Δία εἰς τὸν Ἰοῦς πόθον, ὑφ' Ἥρας ἀπωρνιώθη. Ἄλλοι κιθάραν πάνυ ἐμμελοῦ φασὶν εἶναι τὴν ἴυγγα, ὅθεν πᾶν ποθεινὸν ἴυγξ καλεῖται.

314. Οἴμοι δυσαίων.] φεῦ μοι ὁ δυσαίων καὶ δυστυχὴς, καὶ τὸν σὸν θάνατον, ὦ τάλαινα σκύλαξ Ἑκάβη, θρηνῶ, καὶ τὰς δύο ἀηδόνας, τὰς οἰκτρὰς ἐμοῦ ἀδελφὰς, Λαοδίκην καὶ Πολυξένην. ἀφ' ὧν τὴν μὲν Λαοδίκην ἡ γῆ χανοῦσα ὑποδέξεται περὶ τὸ ἄλσος καὶ τὸ παρόδιον τοῦ πάππου μου Τρωὸς, παρὰ τὸ ἀλλάσσειν καὶ αὔξεσθαι τὰ φυτὰ, ὅπου ἡ Κίλλα τεθνηκυῖα κεῖται μετὰ τοῦ παιδὸς αὐτῆς Μουνίππου. χανεῖται δὲ ἡ γῆ, καὶ ὑποδέξεται τὴν Λαοδίκην, ἤτοι ἐν φάραγγι πεσεῖται καὶ ἀποθανεῖται ἡ Λαοδίκη. πότε; ὅταν πορθῆται ἡ Τροία. καὶ νῦν μὲν ὁ * βάρβαρος καὶ * ἀπειρόκαλος Λυκόφρων, πορθουμένης τῆς Τροίας αὐτὴν φησὶν ἀναιρεθῆναι· μετὰ δὲ μικρὸν ἕτερον ἐρεῖ, ὅτι μετὰ τὴν τῆς Τροίας πόρθησιν, ἄλλα Μουνίππου, τοῦ υἱοῦ αὐτῆς τῆς Λαοδίκης, ἐν Θρᾴκῃ κυνηγετοῦντος μετὰ Ἀκάμαντος τοῦ πατρὸς αὐτοῦ, καὶ ὑπὸ ὄφεως ἀνῃρημένου, λύπῃ ἡ Λαοδίκη τελευτᾷ. Ἄλλοι δὲ φασὶ τὴν Λαοδίκην διωκομένην ὑπὸ τῶν Ἑλλήνων πεσεῖν ὑπό τινα φάραγγα, καὶ ἀποθανεῖν.

Τὸ δὲ οἴμοι, οὐ δύο μέρη λόγου, ἀλλ' ἓν ὑπάρχει, ὡς καὶ Ὅμηρος δείκνυσι, λέγων, Ὤ μοι ἐγώ.

315. Σκύλαξ.] τὸ ἑξῆς, ὦ δυστυχὲς σκύλαξ. σκύλακα τὴν Ἑκάβην λέγει, ὅτι κύων ἐγένετο, ὥς φησι μυθικῶς Εὐριπίδης,

Κύων γενήσῃ [4] πύρσ' ἔχουσα δέργματα.

καὶ Ἀσκληπιάδης περὶ τῶν τόπων οὗ ἀνῃρέθη,

Ὁ καὶ κυνὸς καλοῦσι δυσμόρου σῆμα.

καὶ ταῦτα τὰ μὲν μυθικά, τὸ δ' ἀληθὲς οὕτως ἔχει· μετὰ τὴν τελευτὴν Πολυξένης, ὕβριζε καὶ κατηρᾶτο [5] τοὺς Ἕλληνας, οἱ δὲ ὀργισθέντες, ὡς κύνα αὐτὴν λίθοις ἀνεῖλον. Περὶ τῆς Κίλλας εἴπομεν εἰς τὸ, Μὴ δ' Αἰσακείων [6] ὕπνων, καὶ πάλιν ἐροῦμεν. Κίλλα Ἑκάβης ἦν ἀδελφὴ, Θυμοίτου δὲ γυνή. αὕτη, ὥς φασι, Πριάμῳ λάθρα συγγινομένη, γεννᾷ Μούνιππον. Πριάμῳ δὲ χρωμένῳ, ἤτοι μαντευομένῳ, ἐν Ζελείᾳ περὶ τῆς βασιλείας, ἐχρήσθη αὐτῷ ἀνελεῖν τὴν τεκοῦσαν, καὶ τὸ γεννηθέν. ἔτυχε δὲ τότε ἡ μὲν Ἑκάβη τεκοῦσα τὸν Ἀλέξανδρον, ἡ δὲ Κίλλα τὸν Μούνιππον. φεισάμενος οὖν τῆς Ἑκάβης, ἀνεῖλε τὴν Κίλλαν, καὶ τὸν παῖδα αὐτῆς Μούνιππον, ἐνταῦθα οὖν ἡ Λαοδίκη κατεπόθη ἐν τῇ γῇ.

322. Χυτλῶσαι.] λοῦσαι, πλῦναι. χύτλος γὰρ ἐλαιοδόχον ἀγγεῖον, ἐφ' οὗ εἶχον οἱ παλαιοὶ τὸ ἔλαιον, ὅπερ μετὰ τὸ λούσασθαι ἐχρίοντο.

323. Σὲ δ' ὠμὰ πρὸς νυμφεῖα.] σὲ δὲ, ὦ Πολυξένη, πρὸς ἀπηνεῖς, ἢ ἀώρους παστάδας, καὶ γαμηλίους θυσίας (πάλιν ἀπὸ κοινοῦ τὸ ἀπανθρώπους καὶ ἀπηνεῖς, ἢ ἀώρους) ἄξει ὁ στυγνὸς καὶ κάλαφος, ὁ στυγνότατος ἄξιος, λέων τῆς Ἰφιδος καὶ τῆς Ἰφιγενείας· λέγει δὲ τὸν Νεοπτόλεμον, τῆς μητρὸς αὐτοῦ Ἰφιγενείας, κατὰ Λυκόφρονα, μιμούμενος τὰς ἐν Ταύροις

EMENDATIONES.

1 Περιπλέκουσι, pro παραπλέκουσι, ex *Grav.* Frequens enim eſt confuſio harum præpoſitionum. 2 Πρώτη Ἀφροδίτη, pro πρώτη Ἀφροδίτῃ, ex *Grav.* 3 Mallem λέγουσι, quod habent *Bar.* & *Grav.* * Ex omnibus *MSS.* 4 Πύρσ' ἔχουσα δέργματα reſcripſi, pro πῦρ σ' ἔχουσα δέρματα, ex *Bar.* & *Grav.* & ipſo Euripide, in cujus Hecuba occurrit hic verſus. 5 Τοὺς Ἕλληνας poſui, pro τῶν Ἑλλήνων ex utroque *MSS.* 6 Ὕπνων poſui, pro ὑ μόνων, ex verſu CCXXIV. ὕπνων cum tenui *MSS.* omnes.

θυσίας,

Ἄξει θυηλὰς [a] στυγνὸς Ἴφιδος λέων,
Μητρὸς κελαινῆς χέρνιβας μεμιμημένος,
Ἣν ἐς βαθεῖαν [b] λαιμίσας ποιμανδρίαν
[c] Στεφηφόρον βοῦν δεινὸς ἀρταμος δράκων,
Ῥαίσει [d] τριπάτρῳ φασγάνῳ Κανδάονος,
Λύκοις τὸ πρωτόσφακτον ὅρκιον χάσας.
Σὲ δ' ἀμφὶ κοίλην αἰχμάλωτον [e] ἠϊόνα
[f] Πρέσβειραν Δολόγκων, δημόλευστον ὠλένῃ
Ἐπεσβόλοις ἀραῖσιν [g] ἠρεθισμένη
Κρύψει [h] κυπάς τις χερμάδων ἐπομβρία,

Ducet sacrificia odiosus Iphidis Leo,
Matris nigræ imitatus sacra,
Quam super profundum decollans mulctrale
Vittatam vaccam crudelis vorax Draco,
Tripatris ense perdet Candaonis,
Primum Lupis iciens sacrificiale jusjurandum.
Te denique Vetulam circa cavum Thracum
Litus captivam, populi brachio lapidatam
Conviciosis maledictis irritato,
Occultabit quoddam tegmen lapidum diluvio,

VARIANTES LECTIONES.

a Στυγνὸς Bar. b Al. λαιμίασας. al. λαιμάσας. c Στεφανηφόρον. al. στεφηφόρον Bar. d Canterus dubitat, an legendum sit τριπάτρῳ. Ejus Annotationes videsis. e Ἠϊόνα Sold. Bar. aliique. f Πρέσβειραν al. g Ἠρεθισμένη al. h Κυπάς habet Sold. sed illi υ aliquis superscripsit ο, ut videtur lectionis variationem agnovisse.

θυσίας, * λέγει δὲ τὴν ξενοκτονίαν, * ἥν ποτε Ἴφιδος καὶ Ἰφιγενείας, τὴν στεφηφόρον βοῦν, ῥαίσει καὶ [1] φθερεῖ ἐν τῷ τριπάτρῳ φασγάνῳ τοῦ Κανδάονος [2] καὶ τοῦ Ἄρεος, ὁ δεινὸς δράκων, ἤτοι ὁ Διομήδης, ἤ τις ἱερεὺς, τοῖς λύκοις καὶ τοῖς Ἕλλησι χάσας καὶ καταβαλὼν καὶ θύσας τὸ πρωτόσφακτον ὅρκιον. Ἡ πᾶσα φράσις τὸ Σὲ δὲ συντακτέον, ἥν ποτε σὺ ἐς βαθεῖαν, λείπει τὸ τάφρον, ὡς Ποιμανδρίαν καὶ Βοιωτίαν στεφηφόρον βοῦν ῥαίσει καὶ φθερεῖ, ἐν τῷ τριπάτρῳ καὶ τριδυνάστῳ φασγάνῳ τοῦ Κανδάονος καὶ [3] τοῦ Ἄρεος, ὃν εἴπομεν, ὁ Ἴφιδος λέων, ὁ δεινὸς ἄρταμος δράκων. νῦν δὲ πρωτόσφακτον, οὐ τὸ πρώτως σφαγὲν, ἀλλὰ τὸ εὐγενές. καὶ τὰ μὲν τῆς ἐννοίας ταυτί, τὰ δὲ τῆς ἱστορίας ἔχουσιν οὕτως. Ἀχιλλεὺς ἐρασθεὶς Πολυξένης, καὶ δι' αὐτὴν ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἀναιρεθεὶς ναῷ, μετὰ τὴν τῆς Ἰλίου πόρθησιν, [4] ἠτήσατο καθ' ὕπνους τοὺς ἀρίστους τῶν Ἑλλήνων, σφαγιασθῆναι αὐτῷ τὴν Πολυξένην, ὡς καὶ μετὰ θάνατον ἐρῶν αὐτῆς. ἣν οἱ ἥρωες τῷ τάφῳ αὐτοῦ διὰ Νεοπτολέμου, τοῦ παιδὸς ἐκείνου, σφαγιάζουσιν, ὡς Εὐριπίδης ἐν Ἑκάβῃ φησίν. ὁ δὲ [5] Φλαύιος Φιλόστρατος μόνην τὴν Πολυξένην φησὶν ἐξελθεῖν, τῆς Τροίας ἔτι μὴ πορθηθείσης, καὶ ἀποσφάξαι αὐτὴν ἐπὶ τῷ τάφῳ αὐτοῦ, πόθῳ τε κατεχομένην τοῦ ἥρωος, καὶ δικαίως λογισαμένην, ὡς οὐκ ἔτι ἑτέρου τοιούτου συμμαρτήσει νυμφίου. Ἶφιν, τὴν Ἰφιγένειαν λέγει τις, καὶ τρεῖς συλλαβὰς ἀφ' ἑνὸς ἐκκόπτων ὀνόματος, πῶς ἂν συναθλοίη τοῖς στιχουργήμασι.

326. Ποιμανδρία.] πόλις Βοιωτίας, ἡ καὶ Τάναγρα καλουμένη, ἔνθα ἄριστοι βόες. Στεφηφόρον.] στεφανηφόρον εἶπεν, ὅτι ἐστεφάνουν καὶ ἄνθεσιν ἔπαττον τοὺς θυομένους.

328. Τριπάτρῳ.] ἐπὶ μὲν Ὠρίωνος, ὃν καὶ Κανδάονα Βοιωτοὶ [6] καλοῦσιν, ὅτι τρεῖς [7] Κολωνίαν ἔχων γυναῖκα, ἅπαντες ἐπίσχαν. ποτὲ γοῦν Ζεὺς, καὶ Ποσειδῶν, καὶ Ἀπόλλων τῷ Τρεῖ τούτῳ ἐπιξενωθέντες, καὶ ὃς βοῦν θύσας, αὐτοὺς ὑπεδέξατο, οἱ δ' ἔφασαν αἰτεῖν αὐτὸν ὃ βούλοιτο. ὡς δὲ παιδίον αὐτῷ γενέσθαι ἠτήσατο, οἱ δὲ εἰς τὴν σφαγεῖσαν βοὸς βύρσαν ἐνούρησαν, καὶ ἐξ αὐτοῦ ὁ Ὠρίων ἐγένετο, Οὐρίων κληθεὶς, ὡς ἐκ τοῦ οὔρου τεχθεὶς, ὅθεν καὶ τρίπατρον τοῦτον καλεῖ. τὸ δὲ Ὠρίωνος ξίφος ὁ Διομήδης εἶχεν. Ἐπὶ δὲ Νεοπτολέμου, τριπάτρῳ φασγάνῳ, τῷ τριδυνάστῳ λέγει. Ἥφαιστος γὰρ Πηλεῖ τοῦτο πρῶτον ἐχαρίσατο, Πηλεὺς δὲ Ἀχιλλεῖ, ἐξ Ἀχιλλέως δὲ τοῦτο Νεοπτόλεμος διεδέξατο. Κανδάονος * δὲ * νῦν λέγει τοῦ Ἄρεος.

329. Πρωτόσφακτον.] ἐπὶ Ἰφιγενείας, ὅτι ἐν Αὐλίδι περὶ τὸν Εὔριπον τοὺς πρώτους ὅρκους ποιοῦντες οἱ Ἕλληνες, ἀνεῖλον αὐτήν· καὶ τοῦτο ψευδές ἐστι, πρῶτοι γὰρ ὅρκοι † δὴ Ἑλλήνων ἐν τῇ Σπάρτῃ γεγόνασιν, ὡς καὶ ὁ Λυκόφρων † οὕτως εἶπε, δεύτεροι δὲ οὗτοι ἐν τῇ Αὐλίδι, ὁπότε καὶ τὰ περὶ τὸν δράκοντα [8] ἰδόντες, ὅρκον τὸ δευτερεῦχον ἄρσαντες ζυγὸν, στέρξαι περιμνοῦντες ὠλέναις πλάτην. Ἐπὶ δὲ Πολυξένης πρωτόσφακτον λέγεται, κατὰ μὲν τοὺς λοιποὺς, παρ' ὅσον προεσφάγη αὐτῆς [9] Ἀχιλλεὺς, εἰς ὅρκον ἐλθὼν τοῖς Τρωσί. καὶ ταῦτα μὲν οἱ λοιποί, ἐγὼ δὲ ἐπ' ἀμφοτέρων πρωτόσφακτον ὅρκιον, τὸ ἐκ πρώτης καὶ εὐγενοῦς ῥίζης σφαγιασθὲν θῦμα χάριν τῶν ὅρκων φημί.

330. Σὲ δ' ἀμφὶ κοίλην.] σὲ δὲ, τὴν πρέσβειραν Ἑκάβην, ἢ, σὲ δὲ, ὦ πρέσβυ Ἑκάβη, λοιδοροῦσαν καὶ καταρωμένην τῶν Ἑλλήνων, αἰχμάλωτον καὶ αἰχμαλωτισθεῖσαν, ἐν τῇ τοῦ δήμου ὠλένῃ λιθωθεῖσαν, κρύψει κυπάς τις καὶ ἱμάτιον ἐν ἐπομβρίᾳ τῶν χερμάδων * καὶ τῶν πετρῶν, * ἤτοι λιθωθήσῃ, καὶ οἷον περιβληθήσῃ τοῖς λίθοις, ὡς ἄλλῳ ἱματίῳ, ὅταν ἀλλάξῃ δομαῖον καὶ δέμας φασὶ Μαίρας καὶ κυνὸς, περὶ τὴν κοίλην ἠϊόνα τῶν Δολόγκων καὶ τῶν Θρᾳκῶν. τὰ δὲ περὶ τῆς καταλευσθείσης τῆς Ἑκάβης εἴπομεν. Ἠϊόνα, καὶ ἠόνα, αἰγιαλὸν ἐθέλεις γράφε, ἄπλαστος γὰρ ἐστὶν ὁ στίχος.

EMENDATIONES.

* Hoc addo ex Bar. & Grav. 1 Φθερεῖ posui, pro φθείρει idemque feci paulo post, ex Bar. & Grav. 2 Καὶ τοῦ Ἄρεος rescripsi ex iisdem pro καὶ Ὠρίωνος. Candaonem enim Martem appellatum putavit Scholiastes, ut patebit infra. 3 Ita emendavi hunc locum. τοῦ Ἄρεος ὃν εἴπομεν. ὁ Ἴφιδος λέγεται ὁ δεινὸς ἄρταμος &c. Impressi. τοῦ Ἄρεος ὃν εἴπομεν ὁ Ἴφιδος λέων. Ὁ δεινὸς ἄρταμος &c. Bar. τοῦ Ἄρεος ὃν εἴπομεν ὁ Ἴφιδος λέων ὁ δεινὸς ἄρταμος &c. Sold. 4 Pro ἠτήσατο, rescripsi ᾐτήσατο, annuente utroque MSS. Item τοὺς ἀρίστους, pro τῶν ἀρίστων. 5 Φλάβιος Bar. & Grav. Φλαύιος Sold. 6 Ita distinguo. καλοῦσιν. ὅτι Τρωὸς Impressi. καλοῦσιν ὅτι Τρωὸς Bar. 7 Κολωνὶς MSS. omnes. * Ex Grav. 8 Ita emendavi hunc locum ἰδόντες ὅρκον τὸ δευτερεῦχον ἄρσαντες, ζυγὸν δὲ στέρξαι περιμνοῦντες &c. Impressi. ἄρσαντες ζυγὸν, στέρξαι περιμνοῦντες Bar. & Grav. ἄρσαντες τὸ ζυγὸν, στέρξαι περιμνοῦντες Sold. 9 Ἀχιλλεὺς εἰς ὅρκον ἐλθὼν τοῖς Τρωσὶ Bar. & Grav. Ἀχιλλεὺς εἰς ὅρκον ἐλθὼν τοῖς Τρωσὶ Sold. Ἀχιλλεὺς καὶ εἰς ὅρκον ἐλθὼν τοῖς Τρωσὶ Impressi. ubi, ut constaret sensus, conjunctionem καὶ delevi. Vult enim Tzetzes, Achillem cæsum esse, quando fœdera cum Trojanis feriret. * Ex Sold. † Δὲ Ἑλλήνων Grav. quod forte rectius. Deinde οὕτος, ῥητῶς eodem præeunte legi velim.

Μαίρας ὅταν [a] φαιδρὸν ἀλλάξῃς δομήν.	Quando Mæræ fuſcum corpus permutaris.
Ὁ δ' ἀμφὶ τύμβῳ [b] τ' Ἀγαμέμνονος δαμείς,	At ille juxta Agamemnonis aram domitus,
Κρηπῖδα [c] πηγῷ νέρθε χαλλυνεῖ πλόκῳ,	Solum cana verret cæſarie,
Ὁ πρὸς [d] καλύπτρης τῆς ὁμαίμονος τάλας	Qui flammeo Sororis miſer
Ὠνητὸς αἰθαλωτὸν [e] ἐς πάτραν μολών,	Redemtus, combuſtam rediit in patriam,
Τὸ πρὶν [f] δ' ἀμυδρὸν [g] οὔνομ' ἀϊστώσας σκότῳ·	Antiquo nomine obſcuro tenebris deleto:
Ὅταν χέλυδρος πυρσὸν ὠμόθρεξ βαρύν,	Quando Chelydrus horripilus, venditor
Ἀπεμπολητὴς τῆς φυταλμίας χθονὸς	Altricis terræ, face accenſa
Φλέξας, τὸν ὠδίνοντα [h] μορμωτὸν λόχον	Gravi, gravidum terribili cohorte
Ἀναψαλάξῃ, γαστρὸς ἑλκύσας ζυγά,	Pertundet, ventris extrahens compages,
Τῆς Σισυφείας [i] δ' ἀγκύλης λαμπουρίδος	Et Siſyphiæ Vulpeculæ aſtutæ
[k] Λάμψῃ κακὸν φρύκτωρον [l] αὐτανέψιος,	Conſobrinus malam lucebit tedam,

VARIANTES LECTIONES.

a Φαιργὸν al. b Τ'ἀγαμέμνονος una voce al. c Πηγῷ Seld. d Καλλύπτρης Bar. e Εἰς πάτραν Bar. Quinetiam in Scholiis πάτραν habet Seld. f Δ' abeſt in Seld. g Οὔνομ' Bar. h Μορμωτὸν al. i Δ' ἀγκύλης Bar. k Λάμψει al. l Αὐτανέψιος Seld.

334. Μαίρας.] νῦν ὁ κύων, ἀπὸ μιᾶς τῶν κυνῶν τοῦ Ὠρίωνος Μαίρας καλουμένης. κυρίως δὲ μαῖρα λέγεται, ἡ λευκομέλαινα αἴξ.

335. Ὁ δ' ἀμφὶ τύμβῳ.] ὁ δὲ τάλας, ἤγουν Πρίαμος, ὁ μολὼν ὠνητὸς εἰς τὴν αἰθαλωτὸν κατακαυθεῖσαν πάτραν ὑφ' Ἡρακλέους, ὠνητὸς δὲ περὶ τὴν καλύπτραν τῆς αὐτοῦ ἀδελφῆς Ἡσιόνης, ἀϊστώσας καὶ ἀφανίσας ἐν σκότῳ τὸ πρὶν ἀμυδρὸν ὄνομα. Ποδάρκης γὰρ πρότερον ἐκαλεῖτο, τῇ δὲ καλύπτρᾳ ἐξωνηθεὶς, Πρίαμος μετεκλήθη. οὗτος ἀμφὶ τύμβῳ καὶ ναῷ τοῦ Ἀγαμέμνονος Διὸς, ἤτοι τοῦ Ἑρκείου Διὸς, δαμασθεὶς, τὴν κρηπῖδα καὶ τὴν βάσιν τοῦ ναοῦ, ἐν πηγῷ καὶ λευκῷ πλόκῳ χαλλυνεῖ καὶ κοσμήσει ἀμφὶ τύμβῳ. ὁ Πρίαμος γὰρ ἐν τῷ τοῦ Ἑρκείου Διὸς ναῷ καταφυγὼν, ὑπὸ Νεοπτολέμου ἀνῃρέθη, ὅτι καὶ Ἀχιλλεὺς ὑπ' Ἀλεξάνδρου ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ναῷ ἀνῃρέθη. Ἀγαμέμνων δὲ Ζεὺς ἐν Λακεδαίμονι, ἀλλ' οὐκ ἐν Τροίᾳ ἐτιμᾶτο.

336. Πηγῷ.] τῷ μέλανι, καὶ [1] εὐτραφεῖ ἀλλαχοῦ, νῦν δὲ τῷ λευκῷ.

337. Ὁ πρὸς καλύπτρης.] Ἡσιόνη, ὡς ἔφην καὶ πρόσθεν, ὑφ' Ἡρακλέους πορθηθείσης τῆς Τροίας, ἤγετο αἰχμάλωτος σὺν τῷ αὐτῆς ἀδελφῷ Πριάμῳ, Ποδάρκει τότε καλουμένῳ. δοῦσα δὲ τὴν χρυσῆν ἑαυτῆς καλύπτραν, ἐπρίατο τοῦτον, ὅθεν ἐκλήθη καὶ Πρίαμος, καὶ κατέλιπεν αὐτὸν ἐν τῇ Τροίᾳ, νομίσασα ἐξωνηθῆναι ὑπ' αὐτοῦ, ὅπερ καὶ γέγονεν. αὕτη δὲ τότε ἐν τῇ ὑφ' Ἡρακλέους αἰχμαλωσίᾳ ἐδόθη τῷ Τελαμῶνι, ἐξ ἧς ὁ Τεῦκρος ἐγεννήθη.

338. Αἰθαλωτόν.] ἀντὶ τοῦ αἰθαλωτὴν πάτραν. γινώσκεις ἀκριβῶς, πῶς ἡ Τροία πορθηθεῖσα ὑφ' Ἡρακλέους ἐκαύθη.

339. Τὸ πρὶν ἀμυδρόν.] ὁ στίχος οὗτος ἰαμβικὸς τραγικός ἐστιν, ἐν τῇ δ' [*] χώρᾳ [*] ἀνάπαιστον ἔχων.

340. Ὅταν χέλυδρος.] φασὶ τὸν Ἀντήνορα προδοῦναι τὴν Τροίαν τοῖς Ἕλλησιν, ἐπὶ μισθῷ τὸ μέρος ταύτης βασιλείας. ὅθεν καὶ τὸν Δούρειον ἵππον κατασκευάσαντες, καὶ τοὺς ἀρίστους αὐτῶν ἐμβαλόντες, προσποιούμενοι φυγὴν, ἦλθον ἐπὶ τὴν Τένεδον. τῶν δὲ Τρώων ἄλλοι μὲν προσδοκήσαντες δόλον εἶναι, ἄλλοι δὲ παρὰ θεῶν σταλῆναι, κελεύουσιν αὐτὸν τοξευθῆναι, καὶ τοξεύσαντες αὐτόν, ἄγουσιν ἔνδον τῆς Τροίας. Ἀντήνωρ δὲ φανὸν ἀνάπτων τοῖς Ἕλλησι, καὶ τὰ ὑπογάστρια τοῦ ἵππου ἀνοίγει· καὶ οἱ ἄριστοι, οἱ ἐν τῷ ἵππῳ, ἐν νυκτὶ ἀνοίξαντες τὰς τῆς Τροίας πύλας, ἔνδον εἰσάγουσι τοὺς Ἕλληνας, καὶ τοιοῦτον τρόπον ἡ Τροία κρατεῖται. Ὁ δὲ νοῦς τοιοῦτος· Ὅταν ὁ Ἀντήνωρ, ὁ προδότης τῆς πατρίδος, βαρὺν πυρσὸν ἀνάψας εἰς σημεῖον τοῖς Ἕλλησι, τὸν Δούρειον ἵππον ἀνοίξῃ, τὸν ὠδίνοντα καὶ γεννῶντα τὸν φοβερὸν λόχον, ἤτοι τοὺς Ἕλληνας, τῆς γαστρὸς αὐτοῦ τὴν θύραν ἀνοίξας. Τὸ δὲ ἑξῆς οὕτως· Ὁ δὲ Πρίαμος ἀναιρεθήσεται, ὅταν ὁ χέλυδρος, ἤτοι ὁ γεραιὸς Ἀντήνωρ τὸ καὶ τὸ ποιῇ· χέλυδρος δὲ ἐστιν ἡ θαλασσία χελώνη. [2] ὡς τραχύδερμον διὰ τὸ γῆρας, χέλυδρον τὸν Ἀντήνορα λέγει. σύγγαμβρος δὲ ἦν ὁ οὗτος Πριάμου, ἔχων γυναῖκα [3] τὴν Ἑκάβης ἀδελφὴν Θεανώ.

344. Τῆς Σισυφείας.] ὁ Ὀδυσσεὺς υἱὸς λέγεται εἶναι Σισύφου. Αὐτόλυκος γὰρ ἐξ Ἀμφιθέας Αἴσιμον, καὶ Ἀντίκλειαν γεννᾷ, ἥτις Ἀντίκλεια ὑπὸ Σισύφου διεπαρθενεύθη οὕτω· Ὁ Αὐτόλυκος κλεπτοσύνῃ πάντας ὑπερέβαλλε, κλέπτων γὰρ πάντων ἵππους τε, καὶ βόας, καὶ ποίμνια, τὰς σφραγῖδας αὐτῶν μετεποίει, καὶ ἐλάνθανε τοὺς δεσπότας αὐτῶν, ὥς φησι καὶ Ἡσίοδος,

Πάντα γὰρ ὅσσα λάβεσκεν, ἀΐδηλα πάντα τίθεσκε,

Σίσυφος δὲ μονογράμμῳ τυπώματι τὸ τούτου ὄνομα ἐγχαράττων ἐν τοῖς ἑαυτοῦ ζώων ὁπλαῖς καὶ χηλαῖς, ἐπεγίνωσκεν· Αὐτόλυκος δὲ ἀφελόμενος καὶ τῶν τούτου ζώων τινὰ, τὰς σφραγῖδας μετεποίει· ὡς δὲ καὶ οὕτω λαθεῖν οὐκ ἴσχυσε τὸν Σίσυφον, φίλον αὐτὸν ποιεῖται. ὁ δὲ λάθρα τῇ αὐτοῦ μιγεὶς θυγατρὶ Ἀντικλείᾳ, ἐγκύμονα ποιεῖ τὸν Ὀδυσσέα. ὕστερον δὲ αὐτὴν ἔγημεν ὁ Λαέρτης. Αἴσιμος δὲ, ὁ Ἀντικλείας ἀδελφὸς,

EMENDATIONES.

1 Εὐτραφεῖ reſcripſi, pro εὐτραχεῖ, ex omnibus MSS. Πηγὸς enim interdum dicitur εὐτραφὴς, ut annotant Grammatici: Πηγὸς, εὐτραφής. Suidas Πηγός, σημαίνει δύο, τὸ εὔπαγές, καὶ εὐτραφῆ. σημαίνει καὶ τὸ μέλαν Etymolog. [*] Ex Grav. 2 Ita emendavi hunc locum ex Bar. ὡς τραχύδερμον δὲ, διὰ τὸ γῆρας, χέλυδρον καὶ τὸν Ἀντήνορα λέγει Impreſſ. ὡς τραχύδερμον δὲ, διὰ τὸ γῆρας χέλυδρον καὶ τὸν Ἀντήνορα λέγουσι Seld. Noſtræ lectioni nihil deeſt, niſi forte particulam δὲ poſt τραχύδερμον addendam putes. 3 Τὴν Ἑκάβης lego cum MSS. Codd. potius, quam τῆς Ἑκάβης cum Impreſſ.

Τοῖς εἰς στενὴν Λεύκοφρυν ἐκπεπλευκόσι,
Καὶ παιδοβρῶτος Πόρκεως νήσους διπλᾶς.
[a] Ἐγὼ δ' ἡ τλήμων, ἡ γάμοις ἀρνουμένη,
Ἐν παρθενῶνος λαΐνου τυκίσμασιν,
Ἀνις τεράμνων, εἰς ἀνώροφον στέγην
Εἱρκτῆς [b] ἀλιβδήσασα λυγαίας δέμας·
Ἡ τὸν [c] Θοραῖον, Πτῷον, Ὡρίτην θεόν,
[d] Λίπτοντα λέκτρων ἐκβαλοῦσα δεμνίων,
Ὡς δὴ κορείαν ἄφθιτον [e] πεπαμένη

Ad anguſtam advectis Leucophryn,
Et puerivori ſerpentis Inſulas duas.
Ego verò miſera, quæ, recuſatis nuptiis,
In thalami ſaxei ſtructuris,
Carens cenaculis, in expertem tecti domum
Carceris obſcuri corpus immerſi:
Quæque Genitalem, Ptoum, Horarium Deum,
Cubilium cupidum lectis excuſſi,
Tanquam virginitatem ſortita æternam

VARIANTES LECTIONES.

a Ἐγὼ δὲ τλήμων Seld. b Ἀλιβδύσασα al. ἀλιβδήσασα Seld. Euſtath. in Iliad. α'. aliique. c Θοραῖον Bar. d Λίπτοντ' ἀλέκτρων Seld. aliique. e Al. πεπαμμένη.

[1] Σίνωνα φησί. ὃς αἰκισάμενος ἑαυτόν, πλησίον τοῦ Δουρείου ἵππου ἐκάθητο. οἱ δὲ Ἕλληνες, ὥς φησι Τρυφιόδωρος,

Πὰρ δ' ἴδιον [2] πηξῆσιν ἐνὶ κλισίῃσι βαλόντες,

πρὸς Τένεδον κατῆραν, καὶ τὰς Καλύδνας νήσους, οὔσας πρὸ τῆς Τροίας ἀφ' ὧν νήσων δύο δράκοντες [3] διανηξάμενοι, Πόρκης τε καὶ Χαρίβοια, τὸν παῖδα τοῦ Λαοκόωντος ἀνεῖλον, μέσον παντὸς τοῦ λαοῦ, ὅτι τῷ δόρατι βαλεῖν τὸν Δούρειον ἵππον ἐτόλμησε. καὶ ταῦτα μὲν μικρὸν ὕστερον. τότε δὲ τῶν Τρώων κατελθόντων, καὶ ἀπατηθέντων δόλοις τοῦ Σίνωνος, καὶ ἑλκυσάντων τοῦτον εἰς τὴν πόλιν, καὶ μέθῃ, καὶ χαρᾷ, καὶ ὕπνῳ συσχεθέντων, αὐτὸς ὁ Σίνων, ὡς ἦν αὐτῷ συντεθειμένος, φρυκτὸν ὑποδείξας τοῖς Ἕλλησιν, ὡς ὁ Λέσχης φησίν,

Ἠνίκα νὺξ μὲν ἔην μέσση, λαμπρὰ δ' ἐπέτελλε σελήνη, προσκαλεῖται αὐτοὺς διὰ τοῦ φρυκτοῦ εἰς τὴν Τροίαν, καὶ οὕτως εἷλον αὐτήν. Λαμπτηρίδος.] Λαμπουρίς, εἶδος ἀλώπεκος, ἐχούσης λευκὴν οὐράν. νῦν τὸν Ὀδυσσέα λέγει, διὰ τὸ πανοῦργον, ὁ γὰρ Σίνων ἀνεψιός, ἤτοι ἐξάδελφος, ἦν τοῦ Ὀδυσσέως· καὶ γὰρ Αἰσίμου ἦν υἱός, Αἴσιμος δὲ καὶ Ἀντίκλεια ἀδελφοί, παῖδες Αὐτολύκου.

346. [4] Στενήν.] λέγει τὴν Τένεδον. οὕτω γὰρ ἐκαλεῖτο πρὶν ἢ δέδοται τοῖς στενοῖς μέρεσι τοῦ Ἑλλησπόντου κεῖται.

347. Παιδοβρῶτος Πόρκεως νήσους.] τὰς Καλύδνας λέγει, ἐξ ὧν πλεύσας ὁ Πόρκης ὄφις, καὶ ἡ Χαρίβοια, τὸν Λαοκόωντος παῖδα ἀνεῖλον ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ναῷ. ὁ δὲ Λαοκόων Ποσειδῶνος ἦν ἱερεύς, υἱὸς δὲ Ἀντήνορος. τοῦτο δὲ γέγονε σημεῖον τῆς Ἰλίου ἁλώσεως.

348. Ἐγὼ δὲ ἡ τλήμων ἡ ἀρνησαμένη τὴν Ἀπόλλωνος συνουσίαν, ὡς πιθοῦσα ἔχειν τὴν παρθενίαν ἄφθαρτον κατὰ ζῆλον τῆς Ἀθηνᾶς, τῆς τοιᾶσδε, * καὶ τοιᾶσδε, * δεθεῖσα τῆς φυλακῆς τῆς σκοτεινῆς συγκλείσασα τὸ δέμας, τότε βιαίως ἢ φάσκω ἐγώ, ὁ οἶκος καὶ ἄμπυλος ἑλκυσθήσομαι· ὡς μὲν φάσκω, [5] πρὸς τέρψιν, ἤτοι γυναῖκα, συνουσίαν· ὡς δὲ οἶκος καὶ ἄμπυλος, γαμφαῖσι καὶ σιαγόσιν ἁρπαῖς, ἤγουν δρεπανικαῖς, ἡ ἅρπη καὶ δρεπάνης.

349. Παρθενῶνος λαΐνου τυκίσμασι.] τυκίσμασι, κατασκευάσμασι. τύκος γάρ, σιδηροῦν ἐργαλεῖον τεκτονικόν, ᾧ τοὺς λίθους πελεκῶσι, καὶ ἀποξέουσι.

350. Ἀνις.] κυρίως μὲν ὁ ἐστερημένος δυνάμεως, καταχρηστικῶς δέ, καὶ πᾶς ὁ ἐστερημένος. Ἀνις τεράμνων.] ἐστερημένη ξυλίνων στεγῶν· * τέραμνα γάρ, τὰ ξύλινα στέγη λέγονται. * ὁ γὰρ Πρίαμος λίθινον οἶκον πυραμοειδῆ ἐποίησε, καὶ ἐνέβαλεν αὐτὴν διὰ τὸ δοκεῖν μαίνεσθαι, ἢ καὶ διὰ τὸ θυγατέρας αὐτοῦ εἶναι, μὴ ἀχρειοῦσθαι, ὡς παρακίπτουσαν. ὅθεν ἐστερημένην τεράμνων εἶπε, καὶ ἀνώροφον στέγην, ὡς μὴ οὖσαν ξυλόστεγον, ἐναντίως φάσκων [6] Ὁμήρῳ· ἐκεῖνος γὰρ μᾶλλον στεγίας καὶ [7] εὐστέγους καὶ ἀνωρόφους θαλάμους τοὺς λιθοστεγεῖς λέγει, γράφων ταυτί,

Δώδεκ' ἔσαν θάλαμοι τέγεοι ξεστοῖο λίθοιο.

καὶ πᾶς ὁ φρονῶν ὁμοίως Ὁμήρῳ τοῦτο φησίν. Ἀλιβδήσασα.] κυρίως λέγεται τὸ ἐν θαλάσσῃ βυθισθῆναι, κατὰ [8] τροπὴν τοῦ δύνοντος εἰς δίχονον, ἤτοι ἀλλ δύσαι· καὶ Καλλίμαχος, Αἱ νῆες ἀλιβδύουσι· καταχρηστικῶς καὶ τὸ ὅπως δήποτε συγκρυβῆναι.

351. Λυγαίας.] σκοτεινῆς, λύγη γὰρ ἡ νύξ.

352. Θοραῖον.] τὸν σπερματικὸν καὶ γεννητικόν· ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ· πάντα δὲ ὁ ἥλιος γεννᾷ, καὶ τρέφει, ὡς καὶ Σοφοκλῆς φησί,

[9] Τὴν πάντα γῆν βόσκουσαν ἡλίου φλόγα.

Πτῷον.] ἀπὸ τοῦ ἐκφοβήσαντος τὸν χοῖρον. Ὡρίτην] τὸν αὐτὸν ἥλιον· ἔαρ * γάρ, καὶ * θέρος, καὶ αἱ λοιπαὶ τῶν ὡρῶν δι' αὐτοῦ ἀποτελοῦνται. ταῦτα δὲ πάντα μυθικῶς λέγει. Τὰ τρία δὲ Ἀπόλλωνος ἐπώνυμα.

353. [10] Λίπτοντα.] ἐπιθυμοῦντα. Τινὲς ἀλέκτρων δεμνίων λέγουσιν, ἐκλαμβάνοντες τῶν ἀχράντων. [11] ἡ δὲ ἱστορία, ὅτι ἠράσθη αὐτῆς ὁ Ἀπόλλων, καὶ ἤθελεν αὐτῇ συμμιγῆναι, δῶρον· τὴν δὲ μὴ πεισθεῖσαν, μηνίσας αὐτῇ τῷ λοιπῷ χρόνῳ, ἐποίησεν αὐτὴν μαντευομένην μὴ πιστεύεσθαι, ὡς καὶ αὐτὴ λέγει κάτω,

Πίστιν γὰρ ἡμῖν [12] Λεψιεὺς ἐνόσφισεν.

354. Πεπαμένη.] πῶ, τὸ κτῶμαι, πάσω, πέπακα, πεπαμένη· ὅθεν ἐν μ γραπτέον, κἂν οἱ μεταγραφεῖς, οὐκ οἶδ' ὅ, τι παθόντες, δύο μμ γράφουσι.

EMENDATIONES.

1 Σίνωνα malui cum Bar. quam Σίννωνα, quod habent Impreſſ. & Seld. Sinon enim, & non Sinnon, vulgo dicitur, qui Græcis ad Tenedum avectis redeundi ſignum, accenſo igne, dedit. 2 Πηκτῇσιν, pro σκηνῇσιν, ex Bar. & Grav. πήγνυσθαι enim potius quam σκηνοῦσθαι dicuntur tentoria. 3 Διανηξάμενοι reſcripſi, pro διανηξάμενοι. 4 Hæc uſque ad παιδοβρῶτος deſunt in omnibus MSS. eorumque loco ſubſtituitur hoc. Ἀνώροφον.] Τένεδον. καὶ ἑξῆς. * Ex Bar. & Grav. 5 Πρὸς τέρψιν. ἤτοι γυναῖκα repoſui, pro πρὸς γέρψιν, ἤτοι γαῖαν, ex utroque MSS. * Ex Bar. & Grav. 6 Ὁμήρῳ, pro Ὅμηρος, ex omnibus MSS. 7 Εὐστέγους repoſui ex Seld. ſenſu id exigente. ἀστέγους Impreſſ. εὐστέγεις Bar. & Grav. 8 Τροπήν, pro τρόπον, ex Seld. 9 Τὰ πάντα γῆν Bar. Τὴν πάντα γῆν Seld. 10 Sic lego, ex fide utriuſque MSS. cum prius ſcriptum eſſet, Λίπτοντα.] ἐπιθυμοῦντα. Ἀλέκτρων.] τινὲς δεμνίων λέγουσιν. errore manifeſto. 11 Ita emendo hunc locum ex Seld. Vult Scholiaſtes, hiſtoriam, qua fertur Apollinem amaſſe Caſſandram, ejuſque concubitum petiiſſe, manifeſtam & notam eſſe. At Impreſſ. legunt, Ἡ δὲ ἱστορία. ὅτι ἠράσθη αὐτῆς ὁ Ἀπόλλων, καὶ ἤθελεν αὐτῇ συμμιγῆναι δῆλον ubi indiſtincte proferendo, & ι ſubſcribendo voci δῆλον, ſenſus perturbatur; eumque non videtur intellexiſſe, qui Baroccianum Codicem exaravit, utpote qui ſcripſerit ἐν δήλῳ· quod etiam factum eſt in Grav. 12 Λεψιεύς, pro Λεψιεύς, Lepſieus enim Apollo dicetur infra.

355. Παλ-

Πρὸς [a] γῆρας ἄκρον, Παλλάδος ζηλώμασι,	Ad summam usque senectutem, exemplo Palladis
Τῆς μισονύμφου, Λαφρίας, Πυλαίτιδος.	Innuptæ, Laphriæ, Janitricis:
Τῆμος βιαίως φάσσα πρὸς τόργου λέχος	Tunc violenter palumba ad Accipitris lectum,
Γαμφαῖσιν [b] ἅρπαις οἰνὰς [c] ἑλκυσθήσομαι,	Faucibus harpes columba raptabor,
Η πολλὰ δὴ Βούδειαν, Αἴθυιαν, Κόρην	Multum Budæam, Fulicam, Virginem
Αρωγὸν [d] αὐδάξασα, ταῤῥόθον γάμων,	Vindicem invocans, depultricem nuptiarum.

VARIANTES LECTIONES.

[a] Al. πατρὸς γῆρας. [b] Al. ἅρπαις. [c] Ελκυσθήσομαι al. [d] Αὐδάξουσα Sold.

355. Παλλάδος ζηλώμασι.] ἐν τῷ ζήλῳ τῆς Ἀθηνᾶς. [*] Παλλὰς δὲ, ἡ Ἀθηνᾶ, ἢ παρὰ τὸ πάλλειν τὰ ὅπλα· πολεμικὴ γὰρ, καὶ ἐν τῷ γεννᾶσθαι ὑπὸ τῆς Διὸς κεφαλῆς ἐξέθορε τὰ ὅπλα κινοῦσα. ἢ παρὰ τὸ παλλομένην τὴν Διονύσου καρδίαν ἀνενεγκεῖν τῷ Διΐ. Διόνυσον γὰρ, τὸν καὶ Ζαγρέα καλούμενον, υἱὸν Διὸς καὶ Περσεφόνης ὑπάρχοντα, μελιστὸν οἱ Τιτᾶνες ἐσπάραξαν, ἡ δὲ καρδίαν ἔτι παλλομένην ἀνήνεγκεν. ἢ ὅτι ἐν τῇ συμβολῇ τῆς μάχης [*] τῶν γιγάντων [*] καὶ τῶν θεῶν Πάλλαντα, ἕνα τῶν γιγάντων, ἀνεῖλεν ἡ Πάλλαντα, τὸν ἴδιον πατέρα, πτερωτὸν ὑπάρχοντα, καὶ βιάζοντα ταύτην, ὡς θέλοντα συγγενέσθαι, ἡ δὲ παρθενίαν τιμῶσα τοῦτον ἀνεῖλε, καὶ τὸ δέρμα αὐτοῦ ὡς αἰγίδα περιεβάλλετο, καὶ τὰ πτερὰ τούτου τοῖς ποσὶ ταύτης προσήρμοσεν. ὅθεν αὐτὴν ἱπποποίησαν Ελληνες, καθάπερ καὶ τὴν πολεμικωτάτην Ἀθηνᾶν, [1] Ιτωνίου μὲν ὑπάρχουσαν θυγατέρα, [2] Ιοδάμας δὲ ἀδελφὴν, ἣν [3] Ιοδάμαν ἀντιπολεμοῦσαν ἀνεῖλεν, ὥς φησι Σιμωνίδης ὁ [4] γενεαλόγος,

Παλλάδες κορυφῆσιν ἐθάμβεον, εἰσορόωσαι
Εργον Ἀθηναίης [5] Ιτωνίδος, ἠδὲ καὶ αὐτοὺς
Ηρωας χείρεσσιν ἐπιπραδίοντας ἐρετμά.

Φερεκύδης δὲ Παλλάδια λέγει, τὰ ἀχειροποίητα μορφώματα, καὶ πᾶν τὸ ἐξ οὐρανοῦ πρὸς γῆν παλλόμενον. καὶ τὸ Παλλάδιον δὲ τῆς Ἀθηνᾶς τοιοῦτο ἦν, τρίπηχυ ξύλινον ἐξ οὐρανοῦ κατασκήψαν ἐν Πεσσινοῦντι τῆς Φρυγίας, ὅθεν Διδυμαῖος καὶ Δῖον τὸν τόπον κληθῆναι φασίν. ἕτερος δέ τις ἱστορικὸς οὕτω λέγει τὸν τόπον κληθῆναι, ὑπὸ τῶν πολλῶν ἐκεῖ πεσεῖν ἐν τῇ συμβολῇ τοῦ πολέμου, ὁπότε διὰ τὴν ἁρπαγὴν Γανυμήδους ἐμάχοντο Τάνταλος ὁ ἐραστὴς Γανυμήδους, καὶ Ιλος ὁ ἀδελφός. Ιωάννης δὲ ὁ Αντιοχεύς οὐκ ἐξ οὐρανοῦ λέγει πεσεῖν τὸ Παλλάδιον· Ασιον δέ τινα φιλόσοφον μαθηματικὸν τοῦτο ποιῆσαι [6] ὡροσκοπήσει καλλίστη, εἰς τὸ ἀπόρθητον εἶναι τὴν πόλιν ἐκείνην, [7] ἔνθα ἂν τοῦτο μένῃ πεφυλαγμένον καὶ ἄσυλον· χαρίσασθαι δὲ τὸ τοιοῦτο Παλλάδιον τῷ Τρωΐ. τὰς δὲ ἀλληγορίας, καὶ τὸ ἔτι ἐπεκτείνειν τὴν ἱστορίαν, ἐατέον· οὐδὲ γὰρ, ὡς πολλάκις ἔφην, μυθικὰς γράφω. Απολλόδωρος δὲ λέγει, μετὰ τὸ κτίσαι Ιλον τὴν Ιλιον, τῇ βοῒ ἀκολουθήσαντα, αὐξάμενον ἰδεῖν [8] σημεῖον, καὶ τότε πεσεῖν τὸ Παλλάδιον, ὃ τρίπηχυ ἦν τῷ μεγέθει, τοῖς δὲ ποσὶ συμβεβηκός, τῇ δεξιᾷ δόρυ ἔχον, λαιᾷ δὲ ἠλακάτην, καὶ ἄτρακτον. φασὶ γὰρ Ἀθηνᾶν παρὰ τῷ Τρίτωνος τραφῆναι, οὗ θυγάτηρ ἦν Παλλάς· [9] ἀμφοτέρας δὲ ἀσκούσας τὰ κατὰ πόλεμον, εἰς φιλονεικίαν ἐλθεῖν· μελλούσης δὲ πλήσσειν τῆς Παλλάδος, φοβηθεὶς ὁ Ζεὺς, ἀνέτεινε τὴν αἰγίδα. Παλλὰς δὲ ἀναβλέψασα πρὸς τὴν αἰγίδα, [10] τρωθεῖσα ὑπὸ τῆς Ἀθηνᾶς, πίπτει. Ἀθηνᾶ δὲ περίλυπος ἐπ' αὐτῇ γενομένη, ξόανον ἐκείνης ὅμοιον κατασκευάσασα, περιέθετο τοῖς στέρνοις, ὃ λέγουσιν Αἰγίδα, καὶ ἐτίμα, ἱδρυσαμένη παρὰ τῷ Διΐ. ὕστερον δὲ Ηλέκτρα [11] τούτῳ προσεγγίσασα, ἔῤῥιψε πρὸς τὴν Ιλιον.

356. Μισονύμφου.] [12] τοῦτο δῆλον, ὅτι ἡ τιμῶσα παρθενίαν, τὰς νυμφευθείσας μισεῖ. Διαφέρει δὲ παρθένος, ἡ καὶ κόρη, καὶ νεᾶνις λεγομένη, πρὸς νύμφην, γυναῖκα, καὶ γραῦν. Παρθένος μὲν γάρ ἐστιν, ἡ μὴ γευσαμένη συνουσίας ἀνδρός. Νύμφη δὲ, ἡ νεωστὶ συζυγεῖσα, μήπω δὲ τετοκυῖα. Γυνὴ δὲ, ἡ γονῆς δεχθεῖσα, καὶ τίκτουσα. Γραῦς δὲ, ἡ διαφθαρεῖσα τὴν τίκτειν. Λαφρίας.] ἐπίθετον Ἀθηνᾶς, ἤτοι λαφυρία, ἡ ἄγουσα τὰ ἐκ τοῦ πολέμου λάφυρα, καὶ συγκοπῇ Λαφρία. [13] ὅμοιον δέ ἐστι τῷ ἀγέλεια, ἡ ἄγουσα λείαν. Πυλαίτιδος.] καὶ τοῦτο συμβολικῶς ἐπίθετον Ἀθηνᾶς. ἐν ταῖς πύλαις γὰρ αὐτὴν ἔγραφον τῶν πόλεων, καὶ οἰκιῶν, ὡς ἐν προπυλαίοις τὸν Αρεα· συμβολικωτέρως ὑποτιθέμενοι, [14] ὡς ἐν ταῖς πόλεσι, καὶ ταῖς οἰκίαις χρὴ συμβουλῆς καὶ φρονήσεως, ἐν τοῖς ἐκτὸς δὲ ὑπὲρ τούτων ἀμύνασθαι τοὺς πολεμίους.

357. Τὸ δὲ φάσσα, καὶ τόργος, εἶπε, καὶ ἅρπη, ἐξέθεν.

359, 360. Η πολλὰ αὐδάξασα καὶ ἐπικαλεσαμένη ἀρωγὸν ταῤῥόθον καὶ βοηθὸν, [15] τουτέστιν ἀποδιώκτειραν, τῶν ἐμῶν βιαίων γάμων, τῶν ἐκ τοῦ Λοκροῦ Αἴαντος, τὴν Κόρην, ἤτοι παρθένον, Ἀθηνᾶν, τὴν Βούδειαν, καὶ Αἴθυιαν. μυθικὴν δέ τινα δοκοῦντες οὕτοι Ἀθηνᾶν, ἐκείνης ἐπίθετα ταῦτα λέγουσιν. ἡ δὲ φρόνησις Ἀθηνᾶ ἐπίθετα ταῦτα κέκληται· Βούδεια γὰρ, ἡ φρόνησις, ὅτι τοὺς βόας ἀρότρῳ καὶ ζυγοῖς ὑπέδησε, καὶ τέμνει τὰς αὔλακας. Αἴθυια δὲ, ὅτι καὶ πλοῖα ἡ φρόνησις κατεσκεύασε, καὶ δίκην αἰθυιῶν ἐδίδαξε τοὺς ἀνθρώπους ναυτίλλεσθαι ἐπ' αὐτῶν, διαπεραιουμένους τὴν θάλασσαν. Αἴθυια δέ ἐστιν ὄρνεον θαλάσσιον ἄφθονον, εὐχερῶς ἁλισκόμενον· οἱ γὰρ παῖδες τὴν ἁλιείαν ἀφεῖν τῇ χειρὶ λαβόντες, πεζοὶ πρὸς τὴν θάλασσαν εἰσπλέουσιν, εἶτα ἐγγὺς, καὶ ἐγγύτερον, ἕως ἐπ' αὐταῖς αὐτῶν ταῖς χεῖρας ἐλθούσας ἀγρεύουσιν.

EMENDATIONES.

[*] Hoc addo ex Bar. Grav. & Phavorino, idque è cæteris excidisse contextus indicat. [1] Ιτωνίδος Bar. Grav & Phavorin. [2] Ιοδάμας Bar. Phavorin. Ιοδάμαντος Sold. [3] Ιοδόμας Sold. Phavorin. Ιόδαμος Bar. [4] Emendandus ex hoc loco Phavorinus, qui legit γενεαλόγος πασσάδες. ἐθάμβεον &c. Et alibi possemus, mutilatis istius Lexicographi locis quam plurimis, mederi, si tanti esset ejus Auctoris cura. Cum tamen is alium habuisse Codicem compertus sit, quam qui ad nos devenerit, hic illic, prout res exiget, textum Scholiast. nostri emendare conabimur, ex illa rudi indigestaque mole, tamquam ex stercore, gemmas colligentes. [5] Ιτωνίδος, pro Ιωνίδος, ex omnibus MSS. & Phavorino. [6] Ωροσκοπήσει καλλίστῃ Bar. Grav. & Phavorin. [7] Ita Sold. ἔνθα ἂν τοῦτο μένει Impressi. ἔνθα ἂν μένῃ τοῦτο Bar. idemque fere Phavorin. [8] Σημεῖον, pro σῆμα, ex utroque MSS. & Phavorino. [9] Ita restitui, ope Sold. ἀμφοτέρας δὲ ἀσκούσας τὰ κατὰ πόλεμον, εἰς φιλονεικίαν ἐλθεῖν Impressi. ἀμφοτέρας δὲ ἀσκούσας τὰ κατὰ πόλεμον, εἰς φιλονεικίαν ἐλθεῖν Bar. Grav. & Phavorin. [10] Comma posui post Ἀθηνᾶς. [11] Τούτῳ προσεγγίσασα posui, ex Sold. τοῦτο (τοῦτο Phav.) προσεγγίσασα Impressi. πρὸς τοῦτον ἐγγίζουσα Bar. [12] Τοῦτο δῆλον, ὅτι, pro ἐστὶ δηλοῦν, ex utroque MSS. & Phavorin. [13] Ita emendavi, cum prius scriptum esset, ὅμοιον δέ ἐστι τῷ ἀγελείᾳ, ἡ ἄγουσα λείαν. [14] Ως ἐν ταῖς πόλεσι. ἐν ταῖς οἰκίαις τὴν Ἀθηνᾶν χρὴ συμβουλῆς &c. Impressi. Ego τὴν Ἀθηνᾶν delevi, ut à filo orationis prorsus alienam, eixus auctoritate utriusque MSS. [15] Ita emendavi hunc locum, ex fide utriusque MSS. quem Impressi sic corruperant, τῶν γάμων, τῶν ἐκ τοῦ Λοκροῦ Αἴαντος ἐμῶν βιαίων γάμων ἀποδιώκτειραν τὴν κόρην ἤτοι &c.

Ἡ δ' εἰς τέραμνα δουρατογλύφου στέγης
Γλήνας [a] ἄνω στρέψασα, χώσεται στρατῷ,
Ἐξ οὐρανοῦ πεσοῦσα, [b] καὶ θρόνων Διὸς,
Ἄνακτι πάππῳ [c] χρῆμα τιμαλφέστατον.
Ἑνὸς δὲ λώβης [d] ἀντὶ, μυρίων τέκνων
Ἑλλὰς [e] στενάξει πᾶσα τοὺς κενοὺς τάφους,
Οὐκ ὀστοθήκαις, χοιράδων δ' [f] ἐφημμένους,
Οὐδ' ὑστάτην [g] κεύθοντας ἐκ πυρὸς [h] τέφρην
[i] Κρωσσοῖσι ταρχυθεῖσαν, [k] ὡς φθιτῶν θέμις,
Ἀλλ' ὄνομ' οἰκτρὸν, καὶ κενηρίων [l] γραφὰς

Illa verò in tecta lignis compactæ domus
Suſpiciens, iraſcetur exercitui,
E cœlo delapſa, Joviſque ſolio,
Avo regi res pretioſiſſima.
Unius autem ob peccatum, infinitorum liberorum
Honoraria gemet omnis Græcia ſepulcra,
Non urnis, ſed ſcopulis inſidentia,
Nec extremum tegentia ex igne cinerem
Hydriis conditum, ut mortalium mos eſt,
Sed nomen miſerandum, & cenotaphiorum inſcriptiones

VARIANTES LECTIONES.

a Al. ἄνω στρέψασα al. ἀναστρέψασα. b Καὶ Διὸς θρόνων Seld. c Χρῆμα Seld. aliique. d Al. ἄντι penacut. quod caſui ſuo poſtponatur: Nam, ut aiunt Grammatici, *Poſtpoſita præpoſitione retrahitur accentus*; non deſunt tamen exempla, in quibus hæc regula fallit, quod experientia quotidiana abunde teſtabitur. e Στενάξει MSS. uterque. f Ἐφημμένους Seld. ἐφήμενος al. g Al. κεύθοντας. h Al. τέφρην. i Κρωσσοῖσι Seld. k Ὡς θέμις φθιτῶν Seld. l Τάφοις Bar.

361, 362. Ἡ δ' εἰς τέραμνα.] ἐκείνη δὲ ἡ Ἀθηνᾶ εἰς τέραμνα, ἤτοι εἰς τὴν στέγην, ἄνω στρέψασα τοὺς ὀφθαλμοὺς, ὀργισθήσεται τῷ στρατῷ, ἐξ οὐρανοῦ ποτὲ τῷ πάππῳ μου Τρωῒ πεσοῦσα. [1] Οὕτως μὲν μυθικῶς λέγει. ὡς Ἄσιος μαθηματικὸς φιλόσοφος τοῦτο ποιήσας ἀστρονομίᾳ κελλίστῃ, εἰς τὸ ἀπόρθητον εἶναι τὴν πόλιν ἐκείνην, ἔνθα τοῦτο πεφυλαγμένον καὶ ἄσυλον εἴη, χαρίσασθαι δὲ τὸ τοιοῦτο Παλλάδιον τῷ Τρωΐ. Ἀπολλόδωρος δὲ λέγει, μετὰ τὸ κτίσαι Ἶλον τὸ Ἴλιον τῷ βοῒ ἀκολουθήσαντα, εὔξασθαι ἰδεῖν σημεῖον, καὶ τότε πεσεῖν τὸ Παλλάδιον, ὃ τρίπηχυ ἦν τῷ μεγέθει, τοῖς δὲ ποσὶ συμβεβηκὸς, τῇ δεξιᾷ δόρυ ἔχον, λαιᾷ δὲ ἠλακάτην καὶ ἄτρακτον. Καὶ πάλιν, ὅπως μὲν μυθικῶς λέγεται τὸ τῆς Ἀθηνᾶς εἴδωλον στρέψαι τοὺς ὀφθαλμοὺς εἰς τὴν στέγην, καὶ ὀργισθῆναι τῷ στρατῷ. Ὅμηρος δὲ Ἀθηνᾶν ὀργισθεῖσαν τότε, τὸν ἀέρα καλεῖ· ἐναντίων γὰρ πνευσάντων ἀνέμων, ὁ τῶν Ἑλλήνων στόλος ἐφθάρη.

363. Ἐξ οὐρανοῦ πεσοῦσα.] οἱ μὲν οὕτω μυθικῶς φασὶν, ὅτι Τρωῒ ἐξ οὐρανοῦ τοῦτο πεσεῖν. ἐγὼ δὲ ἀλληγορικωτέρως φημὶ, ὡς καὶ προείπον, Ἄσιος τις μαθηματικὸς φιλόσοφος ἀστρονομήσας καὶ ἀστρολογήσας καλῶς, τοῦτο κατεσκεύασεν, εἰς τὸ ἀπόρθητον εἶναι τὴν πόλιν, τὸ ἄσυλον τοῦτο φυλάττουσαν. ὅθεν διὰ τὴν ἀστρονομίαν, καὶ τὸ ἀστρολόγημα, ἐμυθεύσαντο, ὡς ἐξ οὐρανοῦ καταπέπτωκεν.

365. Ἑνὸς δὲ λώβης ἀντί.] ἀντὶ δὲ τῆς ἁμαρτίας τοῦ Αἴαντος τοῦ Λοκροῦ, ἡ Ἑλλὰς πᾶσα στενάξει, θρηνοῦσα τὰ ψευδήρια τῶν ναυαγησάντων Ἑλλήνων, ἤτοι αὐτοὺς τοὺς ναυαγήσαντας Ἕλληνας, οὐκ ἐν τάφοις κειμένους, ἀλλ' ἐπὶ τῶν θαλασσίων πετρῶν, οὐδὲ φυλάσσοντας τὴν τέφραν τῶν ἑαυτῶν λειψάνων ἐκ πυρὸς ἐν λάρναξι τεθειμένην, ὡς νόμος τῶν ἐπὶ ξένης χώρας θνησκόντων νεκρῶν, ἀλλὰ φυλάσσοντας ὄνομα ἐλεεινὸν, καὶ [2] ψευδηρίων ἐπιγραφὰς, βρεχομένας τὰς ἐπιγραφὰς τῶν τάφων, ἤτοι τοὺς τάφους αὐτοὺς, θερμοῖς δακρύοις πατέρων, καὶ [*] παίδων, καὶ ἐν τοῖς τῶν γυναικῶν, τῶν τεθνηκότων ἀνδρῶν, θρήνοις. Λώβης.] τίς ἡ λώβη; φασὶν ὅτι ὁ Λοκρὸς Αἴας ἐν τῇ ἁλώσει τῆς Τροίας καταφυγοῦσαν Κασσάνδραν ἐν τῷ ναῷ τῆς Ἀθηνᾶς, καὶ τοῦ Παλλαδίου τῆς Ἀθηνᾶς ἐχομένην, ἀπέσπασεν, καὶ αὐτόθι συνεγένετο· [3] ὀργισθεῖσα δὲ ἡ Ἀθηνᾶ, τοῦτον ἐν τῇ θαλάσσῃ σὺν πολλοῖς ἑτέροις τῶν Ἑλλήνων ἀνεῖλεν. οὕτω μὲν οἱ πολλοί φασι, τὸ δὲ ἀληθὲς οὕτως ἔχει· Καταφυγοῦσαν αὐτὴν ἀπέσπασε τοῦ ναοῦ, καὶ ἔσχε λείαν αὐτὴν, καθάπερ ἑτέρας οἱ λοιποὶ στρατηλάται, ὡς ἔφθασεν ἕκαστος ἁρπάξαι. ἐρασθεὶς δὲ αὐτῆς Ἀγαμέμνων, τῷ Ὀδυσσεῖ τοῦτο κοινοῦται, ὁ δὲ κηρύσσει, ὡς Αἴας ἐν τῷ ναῷ ταύτῃ ἐμίγη. συνέβη γοῦν ἀφαιρεθῆναι αὐτὴν ὑπ' Ἀγαμέμνονος, μισηθῆναι δὲ καὶ τὸν στρατηγὸν Αἴαντα ὑπὸ τοῦ ἀλογίστου πλήθους καὶ σύρφακος. εἰς νοῦν δὲ θέμενος τὸ Ἀχιλλέως ποιῆσαι ἤθελεν, πῶς ἀφῃρέθη τὴν Ἱπποδάμειαν Βρισηΐδα, ἔτι δὲ λογισάμενος καὶ τὸν Παλαμήδους τὸν ἄδικον θάνατον, καὶ φοβηθεὶς μήπως καὶ αὐτὸν δόλῳ ἀνέλωσιν, ἐμβὰς τὴν ναῦν ἐν [4] ἀστροφόρῳ καὶ χειμερίῳ καιρῷ, ἐναντίων ἀνέμων πνευσάντων, ναυαγεῖ περὶ Τῆνον καὶ Μύκονον, ἢ Ἄνδρον καὶ Τῆνον· καὶ τὴν ναῦν περὶ ταῖς πέτραις λυθεῖσαν, μάχεται τινὶ ὁ ἀνὴρ γενναῖος τεξάμενος, περὶ τὰς Γυραίας πέτρας ἐσώθη. μεγάλων δὲ τῶν κυμάτων ἐπερχομένων συντριβείσης, οὐ μέχρι τῆς πέτρας ἀποκοπείσης πρὸς τὴν θάλασσαν αὖθις κατενεχθεὶς, ἀπεπνίγη. μαθοῦσα δὲ ὁ Λοκρὶς ἅπασα τὸ συμβὰν, ἔτι χρόνον ὅλον μελανοφοροῦσα, τὸν ἄνδρα ἐπένθησε, καὶ ἐτησίως ὁλκάδα πληροῦσα θυσιῶν μεγαλοπρεπῶν, καὶ πῦρ ἐμβάλλουσα τῇ ὁλκάδι, ἐξαρτῶσί τε μέλαν ἱστίον αὐτῆς χωρὶς, ἐκπέμπει πρὸς τὸ πέλαγος, καθαγίζουσα θυσίαν τῷ ἥρωι.

367. Χοιράδων.] χοιράδες, σπίλοι, μύρμηκες, τέναγος, ῥαχίαι, αἱ ὕφαλοι λεγόμεναι πέτραι. Ἐπειδὴ ἔθος ἦν τοὺς ἀλλαχοῦ τῆς πατρίδος τεθνηκότας καίειν, καὶ τὴν τέφραν αὐτῶν ἐν κεραμοῖς καὶ λάρναξι καὶ ἀμφιφορεῦσιν εἰς τὴν πατρίδα κομίζειν, ὥσπερ ἐγένετο ἐν τῇ Ψ' τῆς Ἰλιάδος, καὶ ἐπὶ Πατρόκλῳ, καὶ Ἀχιλλεῖ· φησὶν οὖν ὁ Λυκόφρων, ὅτι οὔτε ἐν τῇ πατρίδι ἀποθανοῦνται οἱ Ἕλληνες, οὔτε ἐν τῇ ξένῃ γῇ ἀποθανόντες τὰ ὀστᾶ αὐτῶν ἐν λάρναξιν ἐμβαλόντες ἀποκομίσουσιν εἰς τὰς αὐτῶν πατρίδας, ἀλλὰ ναυαγήσαντες ἀπολοῦνται ἐν ταῖς θαλασσίαις πέτραις, καὶ ὡς τάφοι αὗται αὐτοῖς γενήσονται.

EMENDATIONES

1 Quæ hic dicuntur de Aſio, & Palladio, neuter MSS. Codicum agnoſcit; & quidem non immerito abeſſe videntur, niſi credamus Scholiaſten nugaciſſima Tautologia, quæ paulo ante dixiſſet, iiſdem verbis repetere. 2 Ψευδηρίων, pro ψευδηγορίων, ex utroque MSS. * Ex Bar. 3 Ὀργισθεῖσα δὲ τούτῳ ἡ Ἀθηνᾶ vulgg. Codd. Lectio noſtra, quam Phavorino debemus, clarior eſt, quam etiam tuetur Grav. 4 Ἀστροφόρῳ, pro ἀστροφόρῳ, ex fide omnium MSS. & Phavorini.

373. [*] Ὀφέλτα,

ᵃ Θερμοῖς τεκόντων δακρύοις λελουμένας,	Calidis parentum, ac filiorum lacrymis
Παίδων τε, καὶ θρήνοισι τοῖς ὁμευνίδων.	Perfusas, & lamentis uxorum.
Ὀφέλτα, ᵇ καὶ μύχουρε χοιράδων Ζάραξ,	O Ophelta, & petrarum custos Zarax,
Σπίλοι τε, καὶ ᶜ Τρύχαντα, καὶ τραχὺς Νέδων,	Scopulique, & Trychanta, & asper Nedon,
Καὶ πάντα Διρφωσσοῖο, καὶ Διακρίων	Omnesque Dirphossi, & Diacriorum
ᵈ Γωλεά, καὶ Φόρκυνος οἰκητήριον,	Gurgites, Phorcique domicilium,
ᵉ Ὅσων στεναγμῶν ἐκβεβρασμένων νεκρῶν	Quot suspiria mortuorum cum semifractis
Σοὺ ἡμιθραύστοις ἰκρίοις ἀκούσετε;	Tabulatis ejectorum audietis?
Ὅσων δὲ φλοίσβων ῥαχίας δυσεκβάτου	Quotque strepitus inaccessibilis sali
Δίναις ᶠ παλιρρόθοισιν ἕλκοντος σάλου;	Vorticibus refluis scopulos trahentis?
Ὅσων δὲ ᵍ θυννῶν ἠλοκισμένων ῥαφὰς	Quotque thynnos suturas capitis
Πρὸς πηγάνοισι κρατὸς, ὧν καταιβάτης	Contra cautes sulcatos, quos præceps
Σκηπτὸς κατ' ὄρφνην γεύσεται δεδηγμένων;	Fulmen vastatos per noctem gustabit:

VARIANTES LECTIONES.

a Versum hunc non agnoscit *Bar.* b Καὶ in quodam *Impress* deest. c Τρυχάντα paroxyton. *Bar.* eundemque tonum in *Scholiis* retinet. d Γωλειά *Bar.* ejusque *Scholia*, & alii. γωλεὰ al. e Ὅσιν al. f Παλιρρόθοισιν *Bar.* παλιρρόθοισιν al. *Scaliger* παλιρροιβδοῖσιν legendum putat: sed vulgatam lectionem retinendam esse non immerito existimat *G. Canterus*, cujus Annotationes videndæ. g Θύνων *Seld.* aliique.

373. * Ὀφέλτα, καὶ μύχουρε.*] ἀποστρέφει τὸν λόγον πρὸς τοὺς τόπους, καὶ τὰ ἀκρωτήρια, ἐν οἷς ἔμελλον τὰ τῶν Ἑλλήνων γενέσθαι ναυάγια. ὦ Ὀφέλτα, καὶ Ζάραξ, μύχουρε τῶν χοιράδων, ἤτοι φύλαξ τῶν κοιλοτάτων πετρῶν, ἀντὶ τοῦ εἰπεῖν, ὦ Ζάραξ, ἔχων κοίλας πέτρας. ¹ ὁ Ὀφέλτης δὲ, καὶ Ζάραξ, ὄρη Εὐβοίας. ὁ μὲν Ὀφέλτης ἀπὸ Ὀφέλτου, τοῦ Ἀρχεμόρου, κληθεὶς, ὃς υἱὸς ἦν Λυκούργου, ἱερέως τοῦ Νεμείου Διός. Ζάραξ δὲ, ἀπὸ Ζάρακος, τοῦ υἱοῦ Καρύστου. ὁ δὲ αὐτὸς Ζάραξ κατὰ ² Φιλοστεφανον, καὶ ἑτέρους, Καφηρεὺς λέγεται, νῦν δὲ ὁ Καφηρεὺς ἰδιωτικωτέρως Ξυλοφάγος καλεῖται.

374, 375, 376. Τρύχαντα, καὶ Νέδων, καὶ Διρφωσσὸς ὄρη ³ Εὐβοίας εἰσί. τὸν δὲ Διρφωσσὸν ὁ Εὐφορίων Δίρφυν καλεῖ,

Δίρφυν ἀνὰ τρηχεῖαν ὑπ' Εὐβοίᾳ κακόνεστο.

Διάκρια δὲ, ὄρη τῆς Εὐβοίας, ὅτι ἐκεῖ διεκρίθησαν Ἥφαιστος, Ἀθηνᾶ, καὶ Ἑρμῆς. Ἥφαιστος μὲν λέγων, ὅτι καλὸν ὁ ἄνθρωπος. Ἑρμῆς δὲ, ὅτι καλὸν ἡ οἰκία. Ἀθηνᾶ, ὅτι καλὸν ὁ βοῦς. ταῦτα φασὶν οἱ μῦθοι. Γωλεὰ δὲ, αἱ πρὸς τὴν θάλασσαν καταδύσεις. Φόρκυνος οἰκητήριον.] ἡ θάλασσα.

379. Ὅσων δὲ θύνων.] ⁴ θύννους καλεῖ τοὺς κινδυνεύσοντας Ἕλληνας. Τὸ δὲ ἑξῆς· Ὅσων δὲ θύνων ἠλοκισμένων καὶ κολακοπέντων τὰς ῥαφὰς τοῦ κρατὸς ἐν ταῖς πηγάνοις καὶ πλατείαις πέτραις· ἀπὸ κοινοῦ δὲ τὸ Στεναγμὸν ἀκούσεται.

382, 383. Ὧν καταιβάτης.] οἱ Ἕλληνες μετὰ τὴν τῆς Τροίας ἅλωσιν ἀποπλέοντες, γνοφώδους αὐτοῖς τοῦ ἀέρος, καὶ πνευμάτων, καὶ κεραυνῶν γεγενημένων, ἀπώλοντο, ὥσπερ καὶ Εὐριπίδης ἐν ταῖς Τρῳάσιν ὡς ἀπὸ τῆς Ἀθηνᾶς λέγει,

Καὶ Ζεὺς μὲν ὄμβρον, καὶ χάλαζαν ἄσπετον
⁵ Πέμψει, γνοφώδη τ' αἰθέρος φυσήματα.
Ἐμοὶ δὲ δώσειν πῦρ κεραύνιον λέγει,
Βάλλειν Ἀχαιοὺς, ναῦς τε ⁶ πιμπράναι πυρί.

Καὶ πάλιν ὡς ἀπὸ τοῦ Ποσειδῶνος λέγει,

—— ⁷ ταράξω πέλαγος Αἰγαίας ἁλός·
Ἀκταὶ δὲ Μυκόνου, ⁸ Δήλιοί τε χοιράδες,
⁹ Σκῦρός τε, Λῆμνός θ', αἱ ¹⁰ Καφήρειοί τ' ἄκραι
Πολλῶν θανόντων ¹¹ σώμαθ' ἕξουσι νεκρῶν.

Καταιβάτης.] ὁ σκηπτὸς, ὁ κάτω φερόμενος, καὶ πληκτικὸς, καὶ αἰφνίδιος κεραυνός. εἴδη δὲ κεραυνῶν πέντε· Πρηστὴρ, ὁ καὶ πυρόεις καλούμενος, ὃς καταφερομένου τοῦ πνεύματος, ¹² καὶ ἐκπυρωθέντος, καὶ λεπτυνθέντος γίνεται. Σκηπτὸς, ὁ καὶ καταιβάτης, ὃς γίνεται ¹³ παχυνθέντος τοῦ πυρώδους πνεύματος. ¹⁴ Ἀργὴς, ὃς διὰ τὴν πάνυ λεπτότητα ἢ φλέγει, μελαίνει δέ. Ψολόεις, ὁ ἐν τῷ ψαύσει αἰθαλῶν. Ἑλικίας δὲ, ὁ συστροφὰς καὶ ἕλικας ποιῶν, διὰ μέσην ταχύτητα καὶ ὑγρότητα τῇ πυκνότητι τοῦ ἀέρος ἀντωθούμενος.

EMENDATIONES.

* Ex utroque *MSS.* 1 Ὁ Ὀφέλτης, pro ὁ Ὀφέλτα, ex *Seld.* & *Grav.* ὁ Εὐέλτης *Bar.* 2 Φιλοστεφανον *Bar.* & *Grav.* 3 Εὐβοίας, pro Εὐβοίας, ex utroque *MSS.* Item Εὐβοίᾳ, pro Εὐβοίᾳ· iterumque Εὐβοίας, pro Εὐβοίας, paulo post. 4 Θύνους, pro θύννους, ex *Bar.* 5 Πέμψει *Bar.* πέμψει *Seld.* πέμψει editio *Euripidis Canteriana*; quem locum ex hoc emendandum puto. 6 Πιμπράναι, pro πιμπρᾶν, ex ipso *Euripide.* πιμπρῆσαι *MSS.* omnes, quæ utique lectio non est prorsus rejicienda. 7 Ταράξει *Seld.* 8 Δήλιαι *MSS.* uterque. 9 Σκῦρός τε, pro Σκῦρός τε ex *Euripide.* σκύμνος τε *Bar.* & *Grav.* 10 Καφήρειαι *Seld.* 11 Σῶμα θάψει *Bar.* & *Grav.* 12 Ita emendavi hunc locum ex *Seld.* καὶ ἐκπυρωθέντος γίνεται *Bar.* & *Grav.* καὶ ἐκπυρωθέντος καὶ καταλυθέντος γίνεται *Impress.* 13 Παχυνθέντος, pro παχυνθέντος, ex omnibus *MSS.* 14 Ita restitui hunc locum, ex fide utriusque *MSS.* quem in *Impress.* hoc modo corruptum offendi; ἀργής, ὃς διὰ τὴν πάνυ λεπτότητα. Et ἀργής quidem habent *MSS.* ipsa vero ἀργής volui retinere, præ oculis habens Homericum istud, —————ἀργῆτι κεραυνῷ.

384, 385,

Ὅταν [a] χαρηβαρεῦντας ἐκ μέθης ἄγων,	Quando caput ex crapula gravatos ducens,
Λαμπτῆρα φαίνῃ τὸν ποδηγέτην [b] σκότοις	Facem lucebit tenebrarum ducem
Σίντης, ἀγρύπνῳ προσκαθήμενος τέχνῃ.	Noxius, vigili incumbens fraudi.
[c] Τὸν δ', οἷα δύπτην κηρύλον, διὰ στενοῦ	Illum ſanè, velut urinatorem halcyonem, per anguſtum
Αὐλῶνος οἴσει κῦμα [d] γυμνίτην φάγρον,	Canalem auferet fluctus nudum phagrum,
Διπλῶν μεταξὺ χοιράδων σπαιρόμενον.	Inter duos jactatum ſcopulos
Γυραῖσι δ' ἐν [e] πέτραισι τερσαίνων πτερὰ	In Gyris autem ſaxis pennas ſiccans

VARIANTES LECTIONES.

[a] Al. καρηβαροῦντας [b] Σκότον Bar. eandemque lectionem in *Scholiis* habet. [c] Τὸν δ' MSS. uterque, & idem in *Scholiis* retinent. [d] Γυμνίτην φάγρον Seld. [e] Πέτραισι MSS. uterque.

384, 385, 386. Ὅταν καρηβαροῦντας.] ὅταν ὁ σίντης, ἤτοι ὁ Ναύπλιος, ὁ Παλαμήδους πατὴρ, φαίνῃ περὶ τὸν Καφηρέα, τὸ ἀκρωτήριον Εὐβοίας, λαμπτῆρα καὶ φανὸν, ποδηγέτην σκότους, ἀγχινοῶν, καὶ καρηβαροῦντας ἐκ μέθης ἄγων τοὺς Ἕλληνας. [1] ὁ λείπει δὲ τὸ ὡς, ἵν' ᾖ, ὡς καρηβαροῦντας, ἀλλὰ καλῶς οὕτως ἔχει, καὶ γὰρ Ὅμηρος οὕτως ἐν Ὀδυσσείᾳ φησὶν,

Οἳ δ' ἦλθον οἴνῳ βεβαρηότες υἷες Ἀχαιῶν.

Ἡ δὲ ἱστορία τοιάδε· [2] Ὀδυσσεὺς μὴ θέλων καὶ αὐτὸς συμπλεῦσαι ἐπὶ Τροίαν τοῖς Ἕλλησιν, ὑπεκρίνετο εἶναι μανείς· ζευγνὺς τοίνυν ἵππον καὶ βοῦν, ἠροτρία. τοῦτο δὲ Παλαμήδης, ὁ Ναυπλίου καὶ Κλυμένης τῆς Κατρέως, σοφώτατος ὢν τῶν κατ' αὐτὸν ἀνθρώπων, ἤλεγξε· Τηλέμαχον γὰρ, τὸν υἱὸν τοῦ Ὀδυσσέως, τέθεικεν ἔμπροσθεν αὐτοῦ ἀροτριῶντος· αὐτοῦ δὲ κρατήσαντος τὸ ἄρμα, ἵνα μὴ ὁ παῖς αὐτοῦ φονευθῇ, ἠλέγχθη. συνέπλευσαν οὖν ἐπὶ Τροίαν τοῖς Ἕλλησιν ὅ τε Παλαμήδης τε, καὶ ὁ Ὀδυσσεύς. Παλαμήδης δὲ φθόνῳ Ὀδυσσέως, καὶ πεπλασμέναις τούτου γραφαῖς κατηγορηθεὶς, ὡς προδιδοὺς τῷ Πριάμῳ τοὺς Ἕλληνας· πεισθέντες οὖν οἱ Ἕλληνες ἐλιθοβόλησαν αὐτὸν, καὶ οὕτως ἀναιρεῖται. γέγονε δὲ ὕστερον ἐν Λεπετύμνῳ, ὄρει Μηθύμνης, ἱερὸν τοῦ ἀνδρός. τότε δὲ μαθὼν τὴν τούτου ἀναίρεσιν ὁ τούτου πατὴρ Ναύπλιος, ἔπλευσε πρὸς τοὺς Ἕλληνας, καὶ τὴν τοῦ παιδὸς ἀπῄτει ποινήν. ἀπρακτος δὲ ὑποστρέψας, ὡς πάντων χαριζομένων τῷ βασιλεῖ Ἀγαμέμνονι, μεθ' οὗ τὸν Παλαμήδην ἀνεῖλεν ὁ Ὀδυσσεὺς, περιπλέων λοιπὸν τὰς χώρας τὰς Ἑλληνίδας, παρασκευάσει τὰς τῶν Ἑλλήνων γυναῖκας μοιχευθῆναι, Κλυταιμνήστραν, τὴν τοῦ Ἀγαμέμνονος, Αἰγίσθῳ· Αἰγιάλειαν, τὴν Διομήδους, [3] τῷ υἱῷ Σθενέλου· [4] Μήδαν δὲ, τὴν Ἰδομενέως, ὑπὸ [5] Λεύκου, ὃν καὶ ἀνεῖλε Λεῦκος, καὶ [6] Κλεισιθύραν τὴν θυγατέρα αὐτῆς, ἐν τῷ ναῷ [7] καταφυγούσας· καὶ τῶν λοιπῶν ὁμοίως, καὶ δέκα πόλεις τῆς Κρήτης ἀποσπάσας, ἐτυράννησεν, καὶ μετὰ τὸν Τρωϊκὸν πόλεμον καὶ τὸν Ἰδομενέα τῇ Κρήτῃ καταίροντα ἐξήλασε. ταῦτα πάντα διὰ τοῦ Ναυπλίου γέγονε συσκευαῖς. Ὕστερον δὲ ἀκούσας τῶν Ἑλλήνων ἄνοδον ἐπὶ τὴν πατρίδα, ἧψε φρυκτὸν περὶ τὰ κοῖλα τῆς Εὐβοίας, καὶ, ὃν ἂν εἴποιμι, Καφηρέα, νῦν δὲ Ξυλοφάγον καλούμενον, ὅπου προσπελάσαντες οἱ Ἕλληνες ὡς τοῦ δοκεῖν λιμένα εἶναι, διεφθάρησαν. Τὰ δὲ περὶ τὸν Παλαμήδην καὶ Εὐριπίδης ἐν δράματι Παλαμήδῃ φησὶν,

[8] Ἐκάνετ', ἐκάνετε τὰν πάνσοφον, ὦ Δαναοί,
Τὰν οὐδὲν ἀλγύνουσαν ἀηδόνα μουσᾶν.

Λαμπτῆρα ποδηγέτην σκότους.] τὸν φρυκτὸν λέγει, ὃς κατῆξεν αὐτοὺς εἰς ᾅδην. ἔστι δὲ τὸ σχῆμα παραδοξολογία.

387, 388. [9] Τὸν δ', οἷα δύπτην.] τὸν δὲ γυμνίτην καὶ ὁπλίτην φάγρον, λέγει δὲ τὸν Λοκρὸν Αἴαντα, ἢ τὸν φάγρον γυμνίτην καὶ γυμνὸν, κομίσει τὸ κῦμα διὰ τοῦ στενοῦ αὐλῶνος καὶ ἐπιμήκους πελάγους, ὥσπερ εὐκόλυμβον ἄρρενα ἀλκυόνα, μεταξὺ τῶν δύο χοιράδων κινδυνεύομενον· ἐν ταῖς Γυραίαις δὲ πέτραις σωθεὶς, καὶ ξηρανθεὶς τὰ πτερὰ, διάβροχα ὄντα τῇ θαλάσσῃ, πάλιν πίπτει εἰς τὴν θάλασσαν, ὑπὸ τῶν ὄχθων καὶ πετρῶν τῇ τριαίνῃ καὶ τῇ σμινύῃ βληθεὶς τοῦ Ποσειδῶνος καὶ τῆς θαλάσσης, καὶ συμπλεύσαντας τοῖς [10] φαλλαίναις, καὶ τοῖς λοιποῖς ἰχθύσιν. ὃν ὕστερον ἐκριφέντα ὑπὸ τῶν κυμάτων, ἡ Θέτις θάπτει περὶ τὴν Τρέμοντα, χωρίον τῆς Δήλου. Κηρύλος.] ὁ ἄρσην ἀλκυών, παροξυτόνως διὰ τοῦ η, καὶ ἔστι Δωρικόν. Κείρυλος δὲ διὰ διφθόγγου καὶ προπαροξύτονον, Ἀττικῶς, ὡς φησιν Εὔφρόνιος. σὺ δὲ τὸ κηρύλος ἐπίστασο γράφειν ἡμᾶς τε, καὶ τοὺς Ἀττικοὺς, καὶ Δωριέας, τοὺς δὲ Αἰολέας διφθόγγῳ. ἐκεῖνοι γὰρ τὸ Πηλεὺς, καὶ Νηλεὺς, καὶ τὰ ὅμοια, Πείλευς, καὶ Νείλευς λέγουσι, καὶ διφθόγγῳ γράφουσιν· ὡς οἱ Δωριεῖς τὸ πλῆθος, καὶ μῆνα, καὶ τὰ ὅμοια, διὰ τοῦ ἦτα γράφουσιν. Ἀλλὰ περὶ τοῦ κηρύλου, καί ἅ φησιν [11] Ἀντίγονος λεκτέον· [12] Γηράσαντας τοὺς ἄρσενας ἀλκυόνας αἱ θήλειαι βαστάζουσι τοῖς πτεροῖς· ἐν δὲ τῇ συνουσίᾳ γηράσαντες οἱ ἄρρενες τελευτῶσι. τὸν δὲ λῆρον καὶ μυθικὸν τοῦ κήυκος ἱστορίαν, καὶ τῆς ἀλκυόνος ἐῶ.

389, 390. Διπλῶν μεταξὺ χοιράδων.] Μυκόνου καὶ Τήνου, ἢ Ἄνδρου καὶ Τήνου, ἢ μεταξὺ δύο τινῶν χοιράδων περὶ τὰς Γυρὰς καλουμένας πέτρας. καὶ Ὅμηρος,

EMENDATIONES.

1 Οὐ λείπει δὲ τὸ repoſui, pro ὁ λείπει τὸ, ex *Seld.* λείπει δὲ τὸ *Bar.* & *Grav.* 2 Ita diſtinxi, cum prius ſcriptum eſſet, Ὀδυσσεὺς μὴ θέλων καὶ αὐτὸς συμπλεῦσαι ἐπὶ Τροίαν, τοῖς Ἕλλησιν ὑπεκρίνετο εἶναι μανείς. 3 Τῷ υἱῷ Σθενέλου poſui, pro Σθενέλῳ, conſentiente *Bar.* niſi quod pro Σθενέλου habeat Σθενέλῳ. Quin & *Grav.* τῷ υἱῷ agnoſcit. Cæterum Ægialea, Diomedis uxor, à Cometâ, Sthenelt filio, corrupta dicitur; non autem ab ipſo Sthenelo, quem Trojanæ expeditionis ſocium habuiſſe Diomedem, ex Homero conſtat. 4 Μήδαν poſui, pro Μήδειαν, ex fide *Bar.* Meda enim, non Medea, dicta eſt Idomenei uxor, ut infra patebit v. MCCXX. ubi dicit Lycophron,

——— ὃν συζύγου
Μήδας δάμαρτος ἐγχεωμένου φόνον.

5 Λεύκου poſui, pro Λεύκωνος. Et Λεῦκος, pro Λεύκων, ex omnibus MSS. Leucum enim, ingratum illum proditorem, qui Idomenei domum perdidit, infra vocavit Poeta, v. MCCXVIII,

Λεῦκος στερηθεὶς, φύλακα τῆς μοναρχίας.

6 Κλεισιθύραν poſui, pro Κλεισιθύρην, eandem ob cauſam, v. MCCXXII. 7 Καταφυγούσας pro καταφυγοῦσαν, ex *Bar.* & *Grav.* *Scholiaſtes* enim in plural. numero loqui videtur de Idomenei uxore, & filia; quarum utramque in Cereris templo occidit Leucus, ut poſtea patebit v. MCCXXIV. 8 Ἐκάνετ', ἐκάνετε τὰν πάνσοφον *Bar.* ἐκάνετ', ἐκάνετε τὰν πάνσοφον *Seld.* 9 Τὸν δ', οἷα δύπτην, pro τὸν δ' οἱ δύπτην. 10 Φαλλαίναις *Seld.* φαλαίναις *Bar.* & *Grav.* φαλαίναις *Impreſſ.* 11 Ἀντίγονος, pro Ἀντίγονος, ex *Grav.* & *Phavorino.* Videtur autem intelligi Antigonus Caryſtius, qui ſcripſit de mirabilibus. Conf. Jonſius libro de hiſtor. *Philoſ.* 12 Γηράσαντας, pro γηράσαντες, ſenſu id exigente. Quin & Phavorinus habet γηράσαντας.

Σπίζοντα πόντῳ, δ' ἅτερον ἄλμην ἀποίσ',	Mari stillantes, alteram trahet salsuginem,
Βληθεὶς [a] ἀπ' ὄχθων τῷ [b] τελμωνύχῳ δορί,	Tricuspide à scopulis hasta dejectus,
Ὡ νιν κολαστὴς δεινὸς [c] οὐτάσας Λατρεύς,	Qua illum vindex horrendus vulnerans Mercenarius,
Ἀναγκάσει [d] φάλλαισι κοινωνεῖν [e] δρόμου	Coget unà cum balænis currere
[f] Κόκκυγα κομπάζοντα [g] μαψαύρας [h] στόμβους.	Cuculum jactantem vanas minas.
Ψυχρὸν δ' [i] ἐπ' ἀκταῖς ἐκβεβρασμένον νέκυν	Tum frigidum ad litus expulsum cadaver
Δελφῖνος ἀκτὶς [k] Σειρία [l] καταυανεῖ.	Delphini radius arefaciet Sirii.
Τάριχον ἐν μνίοις δὲ, καὶ [m] βρύοις σαθρὸν	Salsamentum demum putridum in algis, & musco
Κρύψει κατοικτίσασα [n] Νησαίας κάσις,	Sepeliet Nesææ Soror miserta,
Δίσκου μεγίστου τάρροθος Κυναιθέως.	Lapidis maximi adjutrix Cynæthei.

VARIANTES LECTIONES.

a Al. ἀφ'. b Τελμύχῳ Seld. c Οὐτάσας Seld. d Al. φάλαισι. e Δρόμον Seld. f Κόκυγα Bar. sed ad oram paginæ scripsit aliquis Κόκκυγα. g Μαψαύρους Seld. h Στόμφους MSS. uterque, eandemque lectionem in Scholiis retinent. στόμβους al. i Ἐν αὐταῖς Bar. k Σειρίου MSS. uterque. & alii. l Καθαυανεῖ Bar. cum editt. vulgg. at Seld. & alii nonnulli malunt καταυανεῖ, siquidem αὔω, fero, asperum est, ut nos docuit Bisetus in Aristoph. Ranas, Act. 4. Sc. 2. quem videsis. Huic tamen contradicit Tzetzes. m Βρύοις Seld. n Νησαίας Seld.

[1] Γυρῇσι μὲν πρῶτα Ποσειδάων ἐπέλασσεν.

Ἡ δὲ Τῆνος, καὶ Μύκονος, νῆσοί εἰσι τῶν Κυκλάδων. Τὸν δὲ στενὸν τόπον, αὐλῶνα καλεῖ. Γυραῖαι δὲ κυρίως ἐλέγοντο αἱ πέτραι, ἐν αἷς ὁ Αἴας ἀπώλετο.

392. Τελμωνύχῳ δορί.] τῇ τριαίνῃ.

393. [2] Κολαστής.] ὁ Ποσειδῶν, ἤτοι ἡ θάλασσα, ὅτι αὐτὸς ἦν ὁ κολάζων, καὶ τιμωρῶν, καὶ σείων τὴν γῆν. Λατρεύς.] ὅτι τῷ Λαομέδοντι ἐλάτρευσεν ὁ Ποσειδῶν ἐπὶ τῆς Τροίας οἰκοδομήσει. * καὶ Ἡσίοδος ἐκ τῆς Ἡρωϊκῆς γενεαλογίας, *

Ἤματι τῷ, ὅτε τεῖχος Ἐϋδμήτου πόληος
Τεῦξαν ἀείσαι Ποσειδάων, καὶ Ἀπόλλων,

μυθικῶς.

395. Κόκκυγα.] κόκκυξ, ὄρνεον δειλὸν, ὅμοιον ἱέρακι. ἔστι δὲ λάλον, ὃ διὰ δειλίαν οὐ συναυλίζεται τοῖς λοιποῖς ὀρνέοις. ἔστι δὲ καὶ δίσφωνον, ὃ παρὰ Ῥωμαίοις [3] κύκουλος καλεῖται. ἢ οὖν διὰ τὸ μάταιον, τὸν Αἴαντα παρῄκασε κόκκυγι, ἢ διὰ τὸ φλύαρον· φησὶ γὰρ Ὅμηρος,

Φῆ ῥ' ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα θαλάσσης.

ἢ διὰ τὸ μάταιον φθέγγεσθαι, καὶ γὰρ θρασύτατον καὶ φλύαρον τὸ ὄρνεον. Στόμβους.] λοιδορίας. ἐγὼ δὲ στόμβους φημί, τὰς διὰ στόματος ὕβρεις, χλεύας, καὶ στωμυλίας.

396, 397. Νέκυν δελφῖνος.] τὸν νεκρὸν τοῦ Αἴαντος, διὰ τὸ ἐκβρασθῆναι εἰς γῆν· ὁ γὰρ δελφὶς γνοὺς αὐτὸν τελευτῶντα, εἰς γῆν ἐξέρχεται, ὡς ὁ Ὀππιανὸς λέγει. Ἀκτὶς Σειρία.] ὁ σειρίς· ἡ ἡλιακὴ, ἢ τοῦ ἡλίου, καυματωδεστάτη. Σείριος δὲ [4] κυρίως ἀστήρ ἐστιν ἐπὶ τὸ στόμιον κείμενος τοῦ ἀστρῴου κυνὸς, ὃν ἰδιῶται τοῦ ὅλου κυνὸς ὄνομα, καύματος προσαγορεύουσι. περὶ δὲ τοῦ Σειρίου τούτου ἀστέρος ἐν τοῖς Φαινομένοις Ἄρατος λέγει,

Ὀξέα σειριάει [5] (λάμπει, ἢ ξηραίνει) καί μιν καλέουσ' ἄνθρωποι
Σείριον. ———

Καταυανεῖ.] καὶ καθαυανεῖ. * καταυανεῖ, ξηρανεῖ· * αὔω γὰρ, τὸ ξηραίνω, ψιλοῦται. καθαυανεῖ δὲ, ἀντὶ τοῦ λαμπρυνεῖ· αὔω γὰρ, τὸ λάμπω, δασύνεται, ὅθεν καὶ φαύω λέγομεν. τὸ δὲ καθαυανεῖ, ἀντὶ τοῦ λαμπρυνεῖ. τὸ χρῶμα χαρακτηρισμὸς, καὶ ἀστερισμὸς λέγεται· τὸ γὰρ εἰπεῖν λαμπρυνεῖ τὸ νεκρὸν, χαρακτηρίζειν ἐστίν· * ὁ γὰρ ἥλιος ξηραίνει, οὐχὶ λαμπρύνει· καὶ τὸ ξηραινόμενον πανταχοῦ μελαίνεται, διὰ τοῦτο λέγεται χαρακτηρισμὸς τὸ χρῶμα. * Ἡ δὲ ἔννοια τοιαύτη· Τὸν δὲ Αἴαντα ἐκβεβρασμένον τῆς θαλάσσης ὁ ἥλιος ξηρανεῖ, ὡς σῶμα δελφῖνος. λείπει δὲ τὸ ὡς. ὡς τεταριχευμένον δὲ καὶ σαπρὸν κατακρύψει οἰκτείσασα ἡ Νησαίας κάσις, ἤτοι ἡ Θέτις, ἡ βοηθὸς τοῦ μεγίστου δίσκου, ἤτοι Διός. βοηθὸς δὲ τοῦ Διὸς ἡ Θέτις, ὡς καὶ Ὅμηρος,

Ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα θεὰ ὑπελύσαο δεσμῶν.

398. Μνίον.] τὸ κεκολλημένον ἐν θαλασσίαις πέτραις, ἢ ἰλυῶδες, ἢ βοτανῶδες. Βρύον δὲ, τὸ ἐκκοπτὸν, καὶ πλέον ἐν ὕδασι. Σαθρόν.] νῦν τὸ σεσηπμένον. κυρίως δὲ σαθρὸς, ὁ ἀσθενὴς, καὶ σεσηπμένα τὰ ἄρθρα ἔχων.

399, 400. Νησαίας κάσις.] ἡ Νησαία μία τῶν Νηρηΐδων, θυγάτηρ Νηρέως καὶ Δωρίδος, τῆς Ὠκεανοῦ θυγατρός. Κάσις δὲ Νησαίας, νῦν ἡ Θέτις· ἐκ τοῦ ἐπιφερομένου δὲ νοεῖται, φησὶ γὰρ, Δίσκου μεγίστου τάρροθος· οὐκ ἄλλη δὲ τῶν Νηρηΐδων τοῦ δίσκου, ἤτοι τοῦ λίθου, δηλονότι τοῦ Διὸς, γέγονε βοηθὸς, ἀλλὰ μόνη ἡ Θέτις. Δίσκον δὲ τὸν Δία λέγει, διὰ τὸν λίθον, τὸν ἀντὶ Διὸς ὑπὸ Ῥέας σπαργανωθέντα, καὶ ὑπὸ Κρόνου καταποθέντα, ὡς φησιν Ἡσίοδος ἐν τῇ Θεογονίᾳ, τὴν Ὀρφέως ὑποκλέψας καὶ παραφθείρας Θεογονίαν. ταῦτα δὲ οὖν, ὅ τε λίθος, καὶ ἡ κατάποσις, ἀλληγορίας φυσικὰς ἔχονται· καὶ ἡ τοῦ Διὸς βοήθεια, ἡ παρὰ τῆς Θέτιδος,

Ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ', ἠδὲ Ποσειδάων, καὶ [6] Παλλὰς Ἀθήνη.

ὁ δὲ Λυκόφρων μυθικῶς πάντα γράφει. Κυναιθέως.] ὁ Ζεὺς ἐν Ἀρκαδίᾳ τιμᾶται. ἀγχοτικοὶ γὰρ, καὶ κυνηγετικοὶ οἱ Ἀρκάδες, καὶ ἐν ταῖς κυνηλασίαις, καὶ [7] θύουσι τῶν κυνῶν ἐπίμαν αὐτόν. Τάρροθος δὲ, βοηθὸς ἡ Θέτις τοῦ Διός.

EMENDATIONES.

1 Ita restituo versum hunc, ex Homeri Odyssea Γυρῇσι μὲν πρῶτα Ποσειδάων ἐπέλασσε Bar. ἀπέλασσε Seld. ἐπέλασσεν Impress. 2 Hoc modo legendum arbitror hunc locum, auctoritate fretus utriusque MSS. κολαστὴς γὰρ ὁ Ποσειδῶν &c. Impress. * Ex Seld. 3 Κύκκος Bar. & Grav. 4 Σείριος δὲ κυρίως, pro σείριος δὲ κύων, ex fide omnium MSS. 5 Hæc unciis inclusi, quod ad Arati versum non pertineant; in MSS. vero utroque desunt. * Ex omnibus MSS. * Hæc interserui ex Seld. 6 Φοῖβος Ἀπόλλων Bar. & Grav. 7 Θηρεύουσι Bar. & Grav.

Τύμβος δὲ γείτων ὄρτυγος πτερουμένης
Τρέμων, φυλάξει ῥόχθον Αἰγαίας ἁλός.
Τὴν [a] Κασνίαν δὲ, καὶ Μελιναίαν θεὸν
Λυπρὸς παρ᾽ ᾅδην δεννάσει κακορρόθων,
Ἡ μὲν παλεύσει δυσλύτοις οἴστρου βρόχοις,
Ἔρωτας, οὐκ ἔρωτας, ἀλλ᾽ [b] Ἐριννύων
Πικρὰν [c] ἀποψήλασα κηρυλκὸν [d] πάγην.
Ἅπασα δ᾽ ἄλγη δέξεται κωκυμάτων,
Ὅσην Ἄραιθος ἐντὸς, ἠδὲ δύσβατοι

Sepulcrum verò vicinum alatæ Coturnici
Tremens, cavebit Ægæi maris strepitum.
Castniam autem, & Melinæam Deam
Tristis apud inferos vituperabit convicians,
Quæ illum inexplicitis captabit œstri laqueis,
Amores, nec amores, sed Furiarum
Acerbas intendens damnosas pedicas.
Omnis porrò dolores excipiet luctuum,
Quamcunque Aræthus, atque inviæ

VARIANTES LECTIONES.

a Al. Κασσνίαν, al. Κασταιίαν. b Ἐρινύων al. c Ἀποψήλασα Seld. d Al. Πάγην.

401. Τύμβος δὲ γείτων.] ἡ Λητοῦς ἀδελφὴ Ἀστερία φεύγουσα τὴν τοῦ Διὸς μῖξιν, μετέβαλεν ἑαυτὴν εἰς ὄρτυγα, καὶ ἥλατο εἰς τὴν θάλασσαν, καὶ γέγονε νῆσος, ἥτις ἀπ᾽ αὐτῆς Ὀρτυγία, καὶ Ἀστερία ἐκαλεῖτο. ὕστερον δὲ τοῦ Διὸς συγγινομένου Λητοῖ, καὶ παιδοποιοῦντος αὐτὴν ἔγγυον, ἔμελλε γεννῆσαι Ἄρτεμιν καὶ Ἀπόλλωνα. ζήλῳ δὲ Ἥρας μήτε ἐν γῇ, μήτε ἐν θαλάσσῃ [1] ὑποδεχομένης τῆς Λητοῦς περὶ ἀπόταξιν, κελεύει τῷ Ποσειδῶνι Ζεύς. καὶ ἀνέδωκε ταύτην τὴν νῆσον, τὴν Ὀρτυγίαν, καὶ Ἀστερίαν λεγομένην, πρότερον κρυπτομένην τοῖς κύμασι, [2] ὅτι δὲ ὑποστήμασιν τῷ φέρειν, καὶ ἐκ τοῦ φανῆναι αὐτὴν Δῆλον ὠνόμασεν. ἐκεῖ οὖν ἐλθοῦσα ἡ Λητὼ, καὶ δάφνης καὶ φοίνικος πρότερον ἐκεῖ φανέντων ἀψαμένη, τὴν Ἄρτεμιν γεννᾷ, ἡ δὲ ταύτην μαιεύει, καὶ τίκτει τὸν Ἀπόλλωνα. καὶ Ἄρτεμις μὲν τὴν Δῆλον κατέσχεν, Ἀπόλλων δὲ εἰς Λοκίαν κατῆλθεν. Ὀρτυγα γοῦν πτερωμένην τὴν Δῆλον εἶπεν, διὰ τὸ εἰπομένων περὶ τῆς Ἀστερίας. Γείτων δὲ ἐστιν [3] ἡ Μύκων, νῆσος τῆς Δήλου, ἔνθα Αἴας τέθαπται.

402. Τρέμων δέ.] ὀνομαστικῶς οὕτω καλεῖ χωρίον περὶ τῆς Δήλου, ἔνθα ὁ Αἴας τέθαπται. εἰκότως δὲ οὕτως καλεῖται, διὰ τὸ σείεσθαι πάλαι τὴν Δῆλον. Ἡ δὲ ἔννοια τοιαύτη· Ὁ δὲ Τρέμων, ὄνομα χωρίου, ὁ τύμβος δηλονότι τοῦ Αἴαντος, ὁ γείτων τῆς Ὀρτυγος τῆς πτερουμένης, ἤτοι τῆς Δήλου, φυλάξει τὸν ῥόχθον καὶ ἦχον τῆς Αἰγαίας ἁλὸς, τουτέστιν, ἀπέθανεν ὁ Αἴας, ὑπὸ κλυδωνισθέντος. καὶ τοῦτο χαριεντισμός ἐστιν, ἐν τῷ Τρέμοντι γὰρ, χωρίῳ Δήλου, ὁ Αἴας Λοκρὸς κεῖται, πλησίον Τηνίου καὶ Μύκονος, αἵτινες νῆσοι περὶ τὸ Αἰγαῖον πέλαγος κεῖνται. Αἰγαῖον δὲ λέγεται, ὅτι δίκην αἰγὸς κυματοῦται.

403. Κασνίαν.] τὴν Ἀφροδίτην, τὴν μοιχάδα. Κασνίαν δὲ, τὴν ἀδελφοποιόν· τοὺς γὰρ ξένους ἀδελφοὺς, καὶ φίλους, τὰ ἐρωτικὰ ποιοῦσιν. οἱ γὰρ ἐρῶντες [4] φωραθέντες λέγουσιν, ἀδελφός μου, ἢ συγγενής ἐστιν. Μελιναίαν δὲ, τὴν αὐτὴν, διὰ τὸ ἡδὺ τῆς συνουσίας.

404. Λυπρὸς παρ᾽ ᾅδην.] ὁ λυπηρὸς παρὰ τῷ ᾅδῃ δεννάσει καὶ ὑβρίσει. καὶ τοῦτο χαριεντισμός ἐστι τὸ ῥῆμα.

405. Ἡ μὲν παλεύσει.] ἥτις Ἀφροδίτη, ἤγουν αὐτὸς ὁ ἔρως, μὲν καὶ αὐτὸν ἀγρεύσει ἐν βρόχοις καὶ δικτύοις τοῦ οἴστρου, ἤτοι τῆς [5] ἀκολασίας, ὑφ᾽ ἧς, ὡς λοιδορῶν, ἐν τῷ ναῷ τῆς Ἀθηνᾶς τῇ Κασσάνδρᾳ ἐμίγη. Οἶστρος δὲ, ζωύφιον ἐστι σμικρότατον, ὃ ἐγγινόμενον ταῖς μασχάλαις τῶν βοῶν, ἢ τοῖς ὠσὶν, ἐκμαίνει αὐτὰς, καὶ ἄγει κατὰ κρημνῶν, καὶ θαλάσσης, καὶ πυρὸς, εἰ τύχοι. καὶ τοῖς ἰχθύσι δὲ οἶστρος γενόμενος, ἐξωθεῖ τούτους ἐκ τῶν ὑδάτων ἐπὶ τὴν γῆν.

406. Ἐριννύων.] αἱ Ἐριννύες, μυθικῶς τρεῖς εἰσι δαίμονες, ὧν τὰ ὀνόματα, Τισιφόνη, Μέγαιρα, Ἀληκτώ. καὶ κατὰ μὲν Ἡσίοδον, καὶ λοιποὺς, ἐκ τῶν σταγόνων τοῦ αἵματος τῶν αἰδοίων τοῦ Κρόνου ἐγένοντο· κατὰ δὲ Αἰσχύλον, Ἐριννύες Νυκτὸς αὐτῆς τέκνα. καὶ Ἐπιμενίδης ἐκ Κρόνου, ὡς Ἡσίοδος, ταύτας φησὶ γενέσθαι, λέγων,

Ἐκ τοῦ καλλίκομος γένετο χρυσῆ Ἀφροδίτη,
Μοῖραί τ᾽ ἀθάνατοι, καὶ Ἐριννύες αἰολόδωροι.

Ἀλληγορικῶς δὲ Ἐριννύες, αἱ τιμωρητικαὶ δυνάμεις, παρὰ τὸ ἐν τῇ ἔρᾳ, ἤτοι γῇ, ναίειν, ἢ παρὰ τὸ τὰς ἀρὰς ἀνύειν. Τισιφόνη δὲ, παρὰ τὸ τίειν τοὺς φονέας. Μέγαιρα, παρὰ τὸ μεγαίρειν καὶ φθονεῖν τοῖς κακοῖς· Ἀληκτὼ δὲ, παρὰ τὸ μὴ λήγειν τοῦ τιμωρεῖν τοὺς τοιούτους. Κρόνου δὲ καὶ Νυκτὸς παῖδες, διὰ τὸ ἀφανοῦς καὶ ἀοράτως τὰς ἐκδικήσεις ταύτας δυνάμεις [6] ἐπέρχεσθαι.

408. Ἅπασα δ᾽ ἄλγη.] συνοπτικῶς φησιν, ὅτι πᾶσα ἡ Ἑλλὰς στενάζει διὰ τὴν ὁμιλίαν βίαν, τῆς ἐν γάμοις, [7] πολὺ γὰρ πλῆθος Ἑλλήνων, τὸ μὲν ναυαγῆσαν, βραδύτερον κεῖται θαλάσσης· οἱ δὲ τοῖς ἀνέμοις εἰς ξένην γῆν ἐξωθέντες, ἐκεῖ διανοοῦνται.

409. Ἄραιθος.] ποταμὸς Ἠπείρου, οὗ καὶ Καλλίμαχος μέμνηται, λέγων οὕτως,

[8] Αἱ δὲ βαθυκρήμνοιο παρ᾽ ἀγκύλον ἴχνος Ἀραίθου.

EMENDATIONES.

1 Ὑποδεχομένης τῆς Λητοῦς reposui, pro ὑποδεχομένη τῇ Λητοῖ, ex Phavorino. Quinetiam Λητοῦς habent Bar. & Grav. 2 Ita legendum opinor, ὅτι δὲ καὶ ὑποστήμασιν τῷ φέρ. in τῷ φανῆναι Impress. ὅτι δὲ καὶ τρέμουσα ἐκ τοῦ φανῆναι Phavorin. 3 Legendum ἡ Μύκων, non Μύκων. nam antea dixit Scholiastes Ajacem in Mycone insula jacuisse. 4 Φωραθέντες, pro φωραθῆναι, ex fide omnium MSS. 5 Ἀκολασίας, pro ἀσελγείας, ex Bar. & Grav. 6 Ἐπέρχεσθαι, pro ἀπέρχεσθαι, ex fide omnium MSS. Vult enim, Furias non visas homines invadere. 7 Πολὺ γὰρ πλῆθος, pro πολὺ δὲ πλῆθος, ex fide utriusque MSS sensu id exigente. 8 Ita restitui hanc Callimachi versum, Αἱ δὲ βαθυκρήμνου &c. Impress. Αἱ δὲ βαθυκρήμνοιο Seld. Αἱ δὲ βάθυν κρήμνοις Bar. Cl. Bentleius in suis Callimachi fragmentis (quæ non videram cum priorem Lycophronis editionem emisi in publicum) versum hunc sic restituit, p. 387.

Αἱ δὲ διακρήμνου παρ᾽ ἀγκύλον ἴχνος Ἀραίθου.

 410. Λείβηθρα.]

[a] Λειβήθριαι σφίγγουσι Δωτίου πύλαι·
Οἷς ἐμὸς ἔσται κ' Ἀχερουσίαν πάρα
Ῥηγμῖνα δαρὸν ἐστεναγμένος γάμος.
Πολλῶν γὰρ ἐν σπλάγχνοισι τυμβευθήσεται
Βρωθεὶς [b] πολυστοίχοισι καμπέων γνάθοις
Νήριθμος ἐσμός· [c] οἱ δ' [d] ἐπὶ ξένης ξένοι,
[e] Παιῶν ἔρημοι, δεξιώσονται τάφοις.
Τὸν μὲν γὰρ Ἠϊὼν Στρυμόνος [f] Βισαλτία,
[g] Ἀψυνθίων ἄγχουρος, ἠδὲ Βιστόνων,
Κουροτρόφον πάγουρον [h] Ἠδωνῶν πέλας
Κρύψει, [i] πρὶν [k] Τυμφρηστὸν αὐγάσαι λέπας·

Libethriæ Dotii cohibent portæ:
Quibus etiam juxta litus Acherusium
Meæ lugebuntur diu nuptiæ.
In viſceribus etenim balænarum ſepelietur
Multifidis devoratus maxillis
Infinitus numerus: alii peregrè peregrini
Cognatis orbi intrabunt ſepulcra.
Unum quidem Eon Strymonis Biſaltica,
Abſynthiis & Biſtonibus contermina,
Nutricium phagrum prope Edonos
Abſcondet, antequam Tymphreſtum ſpectaverit collem;

VARIANTES LECTIONES.

a Λειβήθριαι al. Et *Seld.* habet ο eadem manu τῷ α ſuperſcriptum. b Al. πολυστίχοισι. c Al. οἱ δ'. d Ἐπὶ ξένοις ξένοι *MSS.* utterque. e Παιῶν *Bar.* f Βισαλτία *Seld.* aliique. Βισαλτία *Bar.* Βισαλτία al. g Ἀψινθίων *Bar.* Ἀψινθίων al. h Ἠδωνῶν *Sold.* quod habuiſſe videtur etiam *Bar.* Sed ω illud emendator aliquis in ο mutavit. i Al. πρὶν ἤ. k Al. Τυμφρηστόν.

410. Λείβηθρα.] πόλις Μακεδονίας, ὅθεν ἦν ὁ Ὀρφεύς, ὥς φησι,

Νῦν δ' ἄγε μοι κέρα [1] Λειβηθρίας ἔννεπε Μοῦσα.

Δώτιον.] ἀκρωτήριον Ὀλύμπου, πλησίον Λειβήθρων. Πύλας δὲ εἶπεν, ὅτι εἰς στενὸν λήγει τὸ Δώτιον, καὶ συγκλείει δίκην πυλῶν. Λέγει δὲ, ὅτι ὅσίαν γῆν ἔχουσιν ἐν τῷ μέσῳ ὁ Ἀχέρων ποταμὸς, καὶ τὸ Δώτιον ἀκρωτήριον, ([2] ἔχουσι δὲ τῆς Ἑλλάδος πάσης, καθὸ τὸ μὲν Δώτιον ἐν Μακεδονίᾳ, ὁ δὲ Ἀχέρων ἐν Ἠπείρῳ, σχεδὸν δὲ τὰ ἄκρα τῆς Ἑλλάδος οὗτοι οἱ τόποι εἰσὶν, ὥσπερ εἴ τις ἄκρα τῆς Θρᾴκης εἴποι τὸ Βυζάντιον, καὶ τὴν Αἶνον) οὗτοι οἱ τόποι θρηνήσουσι διὰ τοὺς ἐμοὺς γάμους.

411, 412, 413, 414. Οἷς ἐμός.] οἵτινες ἄνθρωποι καὶ ἄχει ᾅδου θρῆνος ἔσται διὰ τοὺς ἐμοὺς γάμους. Ἀχερουσία δὲ, λίμνη ἐστὶν Ἡρακλείας τοῦ Πόντου, ὡς καὶ ποταμὸς Ἀχέρων, ὃς νῦν καλεῖται [3] Σαωναύτης, μυθικῶς δὲ Ἀχερουσία, καὶ Ἀχέρων, λίμνη, καὶ ποταμὸς ᾅδου· παρὰ τὸ ἄχη καὶ [4] θλίψεις ἔχειν τοὺς τῶν τεθνηκότων συγγενεῖς. [5] Πολλῶν γὰρ ἐν σπλάγχνοισι καμπέων καὶ κητῶν τυμβευθήσονται νήριθμος καὶ ἀμέτρητος ἐσμὸς, βρωθεὶς ἐν πολυστοίχοισι * καμπέων * γνάθοις, ἀντὶ τοῦ καταβρωθέντες ὑπὸ τῶν θαλασσίων θηρῶν· κάμπη γὰρ, τὰ κήτη.

417, 418. Τὸν μὲν γὰρ Ἠϊών.] τὸν μὲν γὰρ κουροτρόφον πάγουρον, λέγει δὲ τὸν Φοίνικα, τὸν πατρὶ πλεῖστον ἐστυγημένον καὶ μισηθέντα ὑπὸ τῶν βροτῶν, ὅτι ὁ πατὴρ μὲν καὶ αὐτὸν ἔθηκεν ὄμματον καὶ τυφλὸν, ὁπότε ἠναγκάσθη εἰς τὸ νόθον λέχος τοῦ πατρὸς, ἤτοι ὅτε ἐμίγη τῇ τοῦ πατρὸς παλλακῇ, [6] τοῦτον κρύψει ἡ Ἠϊὼν, ἡ ἡ Χρυσόπολις, ἡ Ἀμφίπολις, πόλις τοῦ Στρυμόνος, [7] ἡ Βισαλτία καὶ Θρᾳκική, ἡ ἄγχουρος καὶ γείτων τῶν Ἀψυνθίων, καὶ Βιστόνων, οἵτινες εἰσὶν ἔθνη Θρᾳκικά, πέλας Ἠδωνῶν, καὶ τῶν Μακεδόνων· κρύψει δὲ πρὸ τοῦ αὐγάσαι καὶ ἰδεῖν τὸ Τυμφρηστὸν λέπας καὶ ἀκρωτήριον. Ἠϊών.] πόλις Θρᾴκης ἐπὶ Στρυμόνι, ἔνθα τὸν Φοίνικα τελευτήσαντα ἔθαψεν ὁ Νεοπτόλεμος, ἰδίαν ἐπὶ τῆς πατρίδος. περὶ δὲ τὴν Ἠϊόνα ταύτην καὶ Ἀθηναῖοι τοὺς Μήδους ἐνίκησαν, καὶ ἔστησαν τοῖς νικήσασιν οἱ λοιποὶ Ἀθηναῖοι Ἑρμᾶς τρεῖς λιθίνους, καὶ ἐπέγραψαν,

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
Παισὶν ἐπ' Ἠϊόνι Στρυμόνος ἀμφὶ ῥοὰς,
Λιμόν τ' αἴθωνα, κρατερόν τ' ἐπάγοντες Ἄρηα,
Πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

τούτων δὲ τῶν ἐπιγραμμάτων Αἰσχίνης ὁ ῥήτωρ μέμνηται. Στρυμόνος.] Στρυμὼν, ποταμὸς Θρᾴκης, Βισάλται δὲ, καὶ Ἀψίνθιοι, καὶ Βίστονες, ἔθνη Θρᾳκῶν. ὅθεν Ἀπολλώνιος περὶ Ὀρφέως λέγει,

[8] Βιστονίῃ φόρμιγγι καλῶν [9] ἐξάρχων ἀοιδῶν.

Βίστονες δὲ, ἀπὸ υἱοῦ Ἄρεος Βίστονος, ἢ υἱοῦ Τερψιχόρης. Ὡσαύτως δὲ καὶ Ἠδωνοὶ, ἔθνος Θρᾴκης.

419. Πάγουρον.] διὰ τὸ γηραιὸν, καὶ σκληρόδερμον, τὸν Φοίνικα λέγει. Κουροτρόφον δὲ, ὅτι παῖδα ὄντα Ἀχιλλέα ἀνέτρεψε, κουροτρόφον δὲ εἶπε πάγουρον, πρὸς ἀντιδιαστολὴν τοῦ πινοτρόφου παγούρου. ἔστι γὰρ πάγουρος μικρὸς, ὃς τὴν θαλασσίαν πίνναν τρέφει, καθά φησιν ὁ Ὀππιανός. Ἠδωνοὶ, καὶ Ἤδωνες, Θρᾳκῶν ἔθνη. [10] ἀλλ' οἱ μὲν Ἤδωνες περὶ παραθαλασσίαν οἰκοῦσιν, Ἠδωνοὶ δὲ περὶ μεσόγαιαν.

420. Τυμφρηστός.] πόλις, καὶ ὄρος Τραχῖνος, ἀπὸ τοῦ Τυμφρηστοῦ τινὸς βασιλέως, ἢ Τυμφρηστοῦ, υἱοῦ Ἡρακλέους. λέγεται δὲ τὸ ὄρος ἀρσενικῶς, ἡ δὲ πόλις θηλυκῶς, ὡς Εὐφορίων, [11] Βουκολέων Τρηχῖνα Τυμφρηστοῦ αἰπύς.

EMENDATIONES.

1 Λειβηθρίας *Bar.* 2 Parentheſin heic poſui, ut ſenſus fieret manifeſtus, qui antea paulo obſcurior fuit. 3 Σαωναύτης, pro Σαωναύτης, ex *Phavorino*. Σαωνύτης *Grav.* 4 Malui θλίψεις cum *Phavorino*, & omnibus *MSS.* quam λύπας cum *Impreſſis*. 5 Ita emendavi hunc locum, ex utroque *MSS*, quem *Impreſſa* editt. corrupte hoc modo proferebant. πολλῶν γὰρ ἐν σπλάγχνοισι καμπέων καὶ κητῶν τυμβευθήσεται. Νήριθμος.] καὶ ἀμέτρητος ἐσμὸς βρωθεὶς &c. 6 Sic legendum arbitror hunc locum. Eon enim, Amphipolis, & Chryſopolis, diverſa ſunt ejuſdem urbis nomina. Τοῦτον κρύψει ἡ Ἠϊὼν ἡ χρυσόπολις ἡ Ἀμφίπολις πόλις τοῦ Στρυμόνος *MSS* omnes. τοῦτον κρύψει ἡ Ἠϊὼν πόλις τοῦ Στρυμόνος *Impreſſ.* 7 Ἡ Βισαλτία καὶ Θρᾳκική *Bar.* ἡ Βισαλτία καὶ Θρᾳκική *Seld.* Θρᾳκική etiam habet *Grav.* ὁ Βισαλτία καὶ Θρᾳκικὴ *Impreſſ.* 8 Βιστονίῃ ſubſtitui, pro Βιστονίῃ. 9 Ἐξάρχων *Bar.* 10 Ita lego cum *Seld.* ἀλλ' οἱ μὲν Ἤδωνες περὶ θάλασσαν οἰκοῦσι *Bar.* & *Grav.* περὶ θάλασσαν *Impreſſ.* 11 Βουκολέων Τρηχῖνα Τυμφρηστοῦ αἰπύς *Bar.* Τρηχῖνα Τυμφρηστοῦ habet etiam *Grav.* cum *Impreſſis* conſentit *Seld.* niſi quod pro Τρηχῖνα, quod corruptum videtur, habeat Τρηχῖνα & iſti priori ε ſuperſcriptum ε.

[a] Τὸν πατρὶ πλεῖστον ἐχθρημμένον βροτῶν,	Patri maximè omnium invisum,
Ομηρον ὅς μιν θῆκε τετρήνας λύχνοις,	Qui eum perforatis lucernis excæcavit,
Οτ' [b] εἰς νόθον τρήρωνος [c] ηὐνάσθη λέχος.	Quando in adulterino Columbæ cubuerat lecto.
Τρεισσοὺς δὲ [d] ταρχύσουσι [e] Κερκάφου [f] νάπαι	Tres verò sepelient Cercaphi saltus
Καύηκας, οὐχ [g] ἄποθεν [h] Αλέντα ποτῶν.	Laros, non procul ab Alente fluvio.
Τὸν μὲν, Μολοσσοῦ, [i] Κυπέως, Κοίτου κύκνον,	Primum quidem, Molossi, Cypei, Cubicularis Cygnum,

VARIANTES LECTIONES.

a Τὸν πατρὸς πλεῖστον *Seld.* b Αἱ ἴς. c Ηὐνάσθη *Bar.* ἠυνάσθη al. d Ταρχύσουσι *Bar.* ταρχάσουσι al. e Κερκάφου *Bar.* eandemque lectionem in *Scholiis* retinet. f Νάπαι *Seld.* g Απωθεν al. sic etiam *Seld.* sed ibi ω habet, superscriptam. h Αλέντος al. i Κυπέος *Bar.*

421, 422, 423. Τὸν πατρὶ πλεῖστον ἐχθρημμένον βροτῶν.] Φοῖνιξ ὁ Αμύντορος, ἢ τῆς μητρὸς αὐτοῦ Κλεοβούλης ἱκεσίαις, μιγεὶς τῇ τοῦ πατρὸς παλλακῇ Κλυτίᾳ, ἢ Φθίᾳ κατά τινας, ἐτυφλώθη παρ' αὐτοῦ. φυγὼν δὲ ὁ Φοῖνιξ, ἦλθε πρὸς Πηλέα, καὶ ὃς ἀπαγαγὼν αὐτὸν πρὸς τὸν Χείρωνα, ἐποίησεν ὑγιῆ γενέσθαι ὑπ' αὐτοῦ. καὶ ταῦτα μὲν τὰ μυθικά, τὸ δ' ἀληθὲς οὕτως ἔχει· Μιχθέντα τῇ παλλακῇ γνοὺς αὐτὸν ὁ πατήρ, κατηράσατο μὴ τεκεῖν παῖδας, οὓς καὶ ὀφθαλμοὺς λέγει. ὁ δὲ φυγὼν, ἦλθε πρὸς τὸν Πηλέα, καὶ ὃς ἀγαγὼν αὐτὸν εἰς τὸ ἄντρον τοῦ Χείρωνος, ἔδειξεν αὐτῷ τὸν Αχιλλέα ἐκεῖ παιδευόμενον, καὶ παρέδωκεν αὐτὸν αὐτῷ, εἰπὼν, Ιδὲ καὶ παῖς σου, ἄγαγε οὖν αὐτὸν τὸ λοιπὸν, καὶ παίδευε ὥσπερ χρὴ πατέρα φίλον ἀτάγαν υἱόν. καὶ τοῦτο χάριν ἐμυθεύσαντο, ὅτι ἀπεκόμισεν ὁ Πηλεὺς αὐτὸν πρὸς τὸν Χείρωνα, καὶ ὃς ἐποίησεν αὐτὸν πάλιν βλέπειν. [1] καὶ ὁ Ομηρος δὲ τὰ τέκνα φάους φίλτρα καὶ βιότοιο λέγει. Ομηρος δὲ συμβολικῶς χρὴ νοεῖν τὴν τύφλωσιν τοῦ Φοίνικος, διὰ τὸ ἄπαιδα γενέσθαι, καὶ οὐχ, ὡς οἱ πολλοί φασι, πραγματικῶς, καὶ Ομηρος φησὶν ἐμοὶ συνῳδῶν, ὡς ἀπὸ τοῦ Φοίνικος λέγων πρὸς Αχιλλέα,

[2] Οἷον ὅτε πρῶτον λίπον Ελλάδα καλλιγύναικα,
Φεύγων νείκεα πατρὸς, Αμύντορος Ορμενίδαο,
Ος μοι παλλακίδος περὶ χώσατο καλλικόμοιο,
Τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ' ἄκοιτιν,
Μητέρ' ἐμὴν, ἣ δ' αἰὲν ἐμὲ λισσέσκετο γούνων,
Παλλακίδι προμιγῆναι, ἵν' ἐχθήρειε γέροντα.
Τῇ πιθόμην, καὶ ἔρεξα. πατὴρ δ' ἐμὸς αὐτίκ' ὀϊσθεὶς,
Πολλὰ κατηρᾶτο, στυγερὰς δ' ἐπεκέκλετ' Ερινῦς,
Μή ποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱὸν
Εξ ἐμέθεν γεγαῶτα. θεοὶ δ' ἐτέλειον ἐπαρὰς,
Ζεύς τε καταχθόνιος, καὶ ἐπαινὴ Περσεφόνεια.

Καίτοι τοῦτόν φησιν,

—— Αλλά σε παῖδα, θεοῖς ἐπιείκελ' Αχιλλεῦ,
Ποιεύμην, [3] ἵνα μοί ποτ' ἀεικέα λοιγὸν ἀμύνῃς.

424, 425. Τρεισσοὺς δέ.] τοὺς δὲ τρεῖς καύηκας καὶ λάρους, ἤτοι γεραιοὺς, ἤτοι Κάλχαντα, Ιδομενέα, καὶ Σθένελον, ταρχύσουσι καὶ θάψουσιν αἱ νάπαι καὶ οἱ συνδενδροι τόποι τοῦ Κερκάφου. ὁ δὲ Κέρκαφος, ὄρος Κολοφῶνός ἐστιν, οὐκ ἄποθεν δὲ καὶ οὐ μακρόθεν, ἀλλὰ δηλονότι πλησίον τῶν [4] ποτῶν καὶ ὑδάτων τοῦ Αλεντος, ποταμοῦ Κολοφῶνος. Αλέντα δὲ, καὶ ἐκ Αλεντος, Δωρικῶς εἶπε. Καύηκας δὲ αὐτοὺς ὠνόμασε, [5] διὰ τὸ ἐκ γήρως λευκοὺς εἶναι, ὡς οἱ λάροι· [6] καύηξ δὲ, ὁ λάρος, κατὰ Αἰνιᾶνας, ὥς φησι καὶ Ιππώναξ,

[7] Κίκων δ' ὁ πανδάλητος ἄμμορος καύηξ.

Αποθεν.] τὸ πο μικρὸν γράφε. οὕτοι δὲ ἀγνοήσαντες τὸ μέτρον, μέγα τοῦτο γράφουσι. σὺ δὲ γίνωσκε, ὅτι τὸ δισσοῦ ἐκλείπειν δύναται, ὅτε βούλεται ὁ ποιητὴς, ἴσως τοῖς διπλοῖς· ὡς καὶ πρώην ἔφην σοι, εἰς παράδειγμα [8] παραγαγὼν τὸ,

Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν.

εἰ δὲ μάνιον τοῦτον νομίζεις, ἄκουσον καὶ τῶν κατὰ [9] τὸν Μιμνοῦ τοῦ ζωγράφου χωλῶν ἰάμβων Ιππωνακτείων στίχων,

[10] Μιμνῆ κατωμόχανε, μηκέτι γράψῃς
Οφιν τριήρευς ἐν πολυζύγῳ τοίχῳ,
Απ' ἐμβόλου φεύγοντα πρὸς κυβερνήτην·
Αὕτη γάρ, αὕτη συμφορή τε καὶ κληδὼν,
Νικύρτα καὶ Σάβαυνι τοῦ κυβερνήτου,
Ην αὐτὸν ὄφις τ' ἀντικνήμιον δάκῃ.

ἰδοὺ, ὄφις τὸ ο μικρὸν ἐστιν ἐκλαθὸν ὑπὸ τοῦ φ δασέος ὄντος, ὡς καὶ ἕτερα μυρία εὑρήσεις σκοπῶν. οὕτω καὶ τὸ ἄποθεν μικρὸν ὂν, μακρὸν λογίζεται τῇ τοῦ θ ἐπενθέσει. οἱ δὲ τῶν μέτρων ἀμαθεῖς μέγα τοῦτο γράφουσι, καὶ οὐδὲ ἴσασιν ὅθεν μέγα ἐστίν· σὺ δὲ εἰ μέγα τοῦτο γράφεις, κἂν λέγε, ὅτι ἐπεκτάσει Αττικῇ μέγα τοῦτο γράφω, ὡς τὸ [11] δῆτα, πρῶτα, καὶ τὰ ὅμοια.

426. Τὸν μὲν Μολοσσοῦ.] [12] εἰπὼν τρεῖς ἄνω, νῦν λέγει ἕνα ἕκαστον, καὶ πρῶτον τὸν Κάλχαντα. Μολοσσοῦ, Κυπέως, καὶ Κοίτου, ἐπίθετα Απόλλωνος. Μολοσσοῦ μὲν, ὅτι ἐν Μολοσσίᾳ τιμᾶται. Κυπέως, τοῦ ἐπίλαν ἱματίου ἐνδύοντος ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ· κυπὰς δὲ, τὸ ἱμάτιον λέγεται. Κοίτου, ὅτι σπερμογόνος ὁ ἥλιος, καὶ συνουσίας αἴτιος, ὡς ζωογόνος. Κύκνον.] τὸν Κάλχαντα, διὰ τὸ γηραιὸν, καὶ μαντικόν· καὶ γὰρ οἱ

EMENDATIONES.

1 Καὶ ὁ Ομηρος δὲ φησι τὰ τέκνα &c. *Impress.* Ego illud φησι, ut prorsus inutile, delevi, sequutus *Phavorinum*, & utrumque MSS. 2 Ita restitui, & in ordinem digessi hos versus ex nona Iliade, qui in Codicibus MSS. *Impressisque*, variis modis erant corrupti. 3 Ita emendavi ex eadem Iliade, cum prius scriptum esset; ἵνα μοί ποτ' ἀεικέα λοιγὸν ἀμύνῃς. 4 Ποτῶν, pro ποταμῶν, ex *Grav.* quæ lectio ut Lycophronis textui, sic etiam sequenti explicationi magis accommoda est. 5 Hanc lectionem *MSS.* Codd. acceptam debeo. Διὰ τὸ γήρως, ἢ λευκοὺς εἶναι ὡς τοὺς λάρους *Impress.* 6 Καύηξ, pro καύης, & paulo post, ex *Seld.* 7 Κίκων ὁ πανδάλητος ἄμμορος καύηξ *Bar.* & *Grav.* 8 Παραγαγὼν lego cum omnibus *MSS.* παραγαγεῖν corrupte *Impress.* 9 Τοῦ Μιμναλοῦ ζωγράφου *Seld.* τοῦ μιμνητοῦ ζωγράφου *Impress.* τοῦ Μιμνῆ τοῦ ζωγράφου *Bar.* lectionem nostram jam reperio confirmari à *Grav.* 10 Μιμνῆ κατωμόχανε μηκέτι γράψῃς ὄφιν τριήρευς ἐν πολυζύγῳ (πολυζύγῳ *Seld.*) τοίχῳ ἀπεμβόλου φεύγοντα (φεύγοντα *Seld.*) πρὸς κυβερνήτην. αὕτη γάρ ἐστιν (ἐστι *Seld.*) συμφορά (συμφορὴ *Seld.*) τε καὶ κληδών; (interrogationis signum deest in *Seld.*) Νικύρτα καὶ Σάβαυνι τοῦ κυβερνήτου, ἣν αὐτὸν ὄφις τ' ἀντικνήμιον δάκῃ *Impress.* Μιμνῆ κατωμόχανε μηκέτι γράψῃς ὄφιν, τριήρευς ἐν πολυζύγῳ ἀπ' ἐμβόλου φεύγοντα πρὸς κυβερνήτην. αὕτη δὲ αὕτη συμφορή τε καὶ κληδὼν Νικύρτα καὶ Σάβαυνι τοῦ κυβερνήτου, ἣν αὐτὸν ὄφις τ' ἀντικνήμιον δάκῃ *Bar.* Hæc ego in Iambicos digessi. Cæterum in quinto versu pro Σάβαυνι *Grav.* habet Σιδωνι. Exstat vero Poemation quoddam de Helena à Fed. Morello editum, cujus interpres Græcus Hipponactis versus citavit. Atque is nobiscum legit Μιμνῆ τοῦ ζωγράφου. At v. 4. συμφορή γε καὶ κλύδων. Quam lectionem germanam existimo: nam κλύδων sæpe pro ingenti calamitate accipitur. Dein v. 5. Νικύρτα, καὶ Σαβαυνί. Et v. 6. Τὸ ἀντικνήμιον δάκῃ. 11 Δῆτα, ἄντα *Impress.* & non refert, utrum cum ε, vel α scribantur; mihi tamen magis placuit α, quam habent *Bar.* & *Grav.* eandemque in *Seld.* reperio, & ε supra scriptam.
12 Εἰπὼν, pro εἶπον, ex *Bar.* & *Grav.*

κύκνοι

Συὸς περιπλαγχθέντα θηλείας [a] τόκων,	Suis feminæ qui aberraverit à partubus,
Ὅτ᾽ εἰς ὀλυνθων δῆριν ἑλκύσας σοφὴν	Cum in grossorum certamen callidum trahendo
Τὸν [b] ἀνθάμιλλον, αὐτὸς ἐκ μαντευμάτων	Æmulum, ipse lapsus fatalem
[c] Σφαλεὶς ἰαύσει τὸν μεμορμένον πότμον.	Ex vaticiniis dormiet somnum.
Τὸν δ᾽ αὖ, τέταρτον [d] ἐγγόνων Ἐρεχθέως,	Alterum, nepotum Erechthei quartum,
Αἴθωνος [e] αὐτάδελφον ἐν [f] πλασταῖς γραφαῖς.	Æthonis germanum in historiis fictis.
Τρίτον δὲ, τοῦ [g] μόσσυνας Ἐκτηνῶν ποτὲ	Tertium, Filium ejus, qui Ectenorum quondam
Στερρᾷ δικέλλῃ [h] βουσκαφήσαντος γόνον,	Turres valido subruit ligone,

VARIANTES LECTIONES.

a Τόκου Bar. τόκοιο Seld. b Ἀνθάμιλλον Seld. c Al. σφαγείς. d Ἐγγόνων Seld. e Al. Αὐτάδελφον. f Πλασταῖς Bar. aliique. g Μόσυνας Bar. aliique. h Βουσκαφήσαντος Seld. aliique.

κύκνοι προγινώσκουσι τὴν ἑαυτῶν τελευτὴν, καὶ λιγυρώτατον τότε ᾄδουσι μέλος, ὡς που μέμνηται καὶ Αἰσχύλος λέγων,

——— ——— [1] κύκνου δίκην,
Τὸν ὕστατον μέλψασα θανάσιμον γόον.

τὸ γὰρ ὄρνεον τοῦτο ἱερὸν τοῦ θεοῦ ἐστιν.

427. Συὸς περιπλαγχθέντα.] Ἀγλαΐας καὶ Ἀπόλλωνος Θέστωρ, οὗ Κάλχας, ᾧ χρησμὸς ἐδόθη, ὅτι τότε θνήξεται, ὅτε κρείττονι ἑαυτοῦ ἐντύχοι μάντει. μετὰ δὲ τὴν Ἰλίου πόρθησιν αὐτὸς ὁ Κάλχας, καὶ ἕτεροι, Ἀμφίλοχος, Λεοντεὺς, [2] Ποδαλείριος, Πολυποίτης, ἐν Ἰλίῳ λιπόντες τὰς ναῦς αὐτῶν, εἰς Κολοφῶνα πεζῇ παραγίνονται, κἀκεῖ θάπτουσι Κάλχαντα. ὑποδεχθέντων γὰρ παρὰ Μόψῳ μάντει, υἱῷ Ἀπόλλωνος καὶ Μαντοῦς, [3] καὶ Κάλχαντος καὶ αὐτοῦ φιλονεικήσαντος διὰ μαντείαν, συκῆς ἀγρίας ἑστώσης, ἤρετο Κάλχας [4] τὸν Μόψον, πόσους ὀλύνθους ἡ συκῆ φέρει; ὁ δὲ Μόψος, μυρίους ἔφη, καὶ μέδιμνον, καὶ ἕνα ὄλυνθον περιττὸν, καὶ εὑρέθη οὕτως. Μόψος δὲ ἠρώτησεν Κάλχαντα περὶ συὸς ἐγκύου τινὸς ἑστώσης, πόσους κατὰ γαστρὸς ἔχει; καὶ πότε τέξει; τοῦ δὲ μηδὲν εἰπόντος, αὐτὸς εἶπε, δέκα χοίρους ἔχει, ὧν ὁ εἷς [5] ἄρρην, τέξεται δὲ αὔριον. ὧν γενομένων, περὶ τὸν χρησμὸν ὁ Κάλχας συνιεὶς, ἀθυμήσας τελευτᾷ. ἄλλοι δέ φασιν, ὅτι ἑαυτὸν ἀνεῖλεν. Φήληξ, ὄλυνθος, σῦκον, καὶ ἰσχὰς, διαφέρουσι. Φήληξ γὰρ, τὸ ἄγριον σῦκον λέγεται. Ὄλυνθος, τὸ ἥμερον μὲν, ἄωρον δέ. Σῦκον, τὸ ὥριμον. Ἰσχὰς δὲ, τὸ ξηρανθέν.

431. Τὸν δ᾽ αὖ, τέταρτον.] δεύτερον ὀφείλων εἰπεῖν, πῶς εἶπε τέταρτον; καλῶς ἔχει τὸ τῆς γραφῆς, καὶ σκόπει, ἀνώτερον γὰρ εἶπε, τοὺς τρεῖς δὲ θάψουσιν αἱ νάπαι τῆς Κερκάφου, τὸν Κάλχαντα πρῶτον, δι᾽ ἃ εἴπομεν. αὖ δὲ, ἤτοι δεύτερον δὲ, τὸν τέταρτον γενεὰν [6] ἕλκοντα ἀπὸ τοῦ Διὸς, λέγει δὲ τὸν Ἰδομενέα· Διὸς γὰρ καὶ Εὐρώπης, Μίνως, καὶ Ῥαδάμανθυς, καὶ Φοῖνιξ. τοῦ Μίνωος καὶ Πασιφάης, † τῆς Ἡλίου, Δευκαλίων. Δευκαλίωνος δὲ καὶ Κλεοπάτρας, Ἰδομενεύς. Ψεύδεται περὶ Ἰδομενέως, λέγων αὐτὸν σὺν τοῖς λοιποῖς πλανηθῆναι· Ὅμηρος γὰρ ἐν Ὀδυσσείᾳ λέγει,

Πάντας δ᾽ Ἰδομενεὺς Κρήτην εἰσήγαγ᾽ ἑταίρους,
Οἳ φύγον ἐκ πολέμου, πόντος δέ οἱ οὔτιν᾽ ἀπηύρα.

ἐν Κρήτῃ δὲ καταίρας, ὑπὸ Λεύκου, τοῦ [7] Ἀμύκου τοῦ Τάλω, στασιασάντων, καὶ δέκα πόλεις πορθησάντων, τῆς Κρήτης ἐκβάλλεται. Ἐρεχθεύς.] ὁ Ζεὺς ἐν Ἀθήναις, καὶ ἐν Ἀρκαδίᾳ τιμᾶται· ὁ διὰ τὸ ὀρέξαι καὶ δοῦναι τὴν Ῥέαν τῷ Κρόνῳ λίθον ἀντὶ Διός· ὃ παρὰ τὸ ἐρέχθειν, τὸ κινεῖν· δι᾽ αὐτοῦ γὰρ οἱ σεισμοί.

432. Αἴθωνος αὐτάδελφον.] τὸν Ἰδομενέα. Αἴθωνος δέ τινες, τὸν Ὀδυσσέα λέγουσιν. οὐκ ἔστι δὲ τοῦτο, ἀλλ᾽ οὕτω λέγει, Τοῦ ἐν πλάσμασιν Αἴθωνος. φλυαρεῖ δὲ καὶ τῇ γραφῇ, οὐ γὰρ ἔγραψεν Ὀδυσσεὺς, ἀλλ᾽ ἀπελθὼν εἰς τὴν Ἰθάκην ἀγνοούμενος, ἔλεγε πλάττων, ὅτι Αἴθων καλοῦμαι, [8] εἰμὶ δὲ ἐκ Κρήτης [9] ἀδελφὸς Ἰδομενέως.

433. Τρίτον δὲ, τοῦ μόσσυνας.] εἰπὼν ἀνώτερον πρῶτον, καὶ δεύτερον, ὡς εἶπε μέλλειν θανεῖν ἐν Κολοφῶνι, νῦν λέγει καὶ τὸν τρίτον, ὅς ἐστιν ὁ Σθένελος· καὶ τοῦτο πάλιν ψεῦδος. ὁ γὰρ Διομήδης καὶ αὐτὸς ἀβλαβὴς ἦλθεν εἰς τὸ Ἄργος μετὰ τῶν σὺν αὐτῷ, ὧν εἷς καὶ ἦν ὁ Σθένελος, ἡνίοχος γὰρ ἦν αὐτοῦ. [10] περὶ δὲ τῆς εἰς Ἄργος αὐτῶν ἐλεύσεως ἐν Ὀδυσσείᾳ Ὅμηρος λέγει. ὕστερον δὲ Διομήδης μέλλων ἀναιρεθῆναι ὑπ᾽ Αἰγιαλείας, τῆς γυναικὸς αὐτοῦ, φεύγει εἰς Δαυνίαν, ἥτις καὶ [11] Καλαβρία λέγεται. Μόσσυνες.] κυρίως τὰ ξύλινα τείχη, νῦν δὲ καταχρηστικῶς τὰ τείχη τῶν Ἐκτηνῶν καὶ Θηβαίων λέγει. οὐκ οἶδα δὲ ὅθεν καλεῖ τοὺς Θηβαίους Ἐκτῆνας, οἱ μέντοι οὕτως φασὶ, [12] τοὺς ἐκ κτηνῶν ποτε. διεβάλλοντο γὰρ οἱ Θηβαῖοι, ὡς κτηνώδεις καὶ ἀμαθεῖς, ὡς καὶ ὁ Πίνδαρος περὶ τὸν [13] χοροδιδάσκαλον Αἰνέαν φησὶν, [14] Ἄγε δὲ, ποίησον τόδε, καὶ τόδε, εἰ φεύγομεν ἀρχαῖον ὄνειδος, Βοιωτίαν ὗν. Ἄλλος δέ τις ἱστορικός φησι, Τάρτας, ἔθνος βάρβαρον, τὰς Θήβας παρῴκησαν· οἱ δὲ ἰδιῶται κατὰ ἰδιωτισμὸν [15] παραφθορὰν τοῦ ὀνόματος ἐποίησαν, ἀντὶ τοῦ εἰπεῖν Ταρβοιώτιος, ὗς Βοιώτιος λέγοντες. μέμνηται δὲ τοῦ ἔθνους τούτου καὶ Φρύνιχος ὁ τραγικὸς, ἐν δράματι Πλευρωνίαις, λέγων,

EMENDATIONES.

1 Κύκνου, pro κύκνον, ex utroque MSS. 2 Ποδαλείριος, pro ποδάλειριος, ex Seld. ποδάρκης corrupte Bar. & Grav. 3 Ita distinguo cum Seld. καὶ Κάλχαντος καὶ αὐτοῦ φιλονεικήσαντος, διὰ μαντείαν συκῆς Impress. 4 Τὸν Μόψον, pro τῷ Μόψῳ, ex Bar & Grav. 5 Ἄρρην repofui ex omnibus MSS. ἄρρεν Impress. 6 Ἕλκοντα substitui, pro [illegible], ex omnibus MSS. 7 Ἀμύκου, pro Ἀμύκλου, ex utroque MSS. 8 Εἰμὶ δὲ, pro εἶμι δὲ, ex omnibus MSS. 9 Ἀδελφὸς, pro ἀδελφοὶ, ex Grav. 10 Περὶ, pro παρὰ, ex omnibus MSS. 11 Καλαβρία pro Καλαυρία hic, & aliis in locis quamplurimis. Hoc mendum Auctoribus ita irrepsit passim, ut Καλαυρία, pro Καλαβρία, & rursus Καλαβρία, pro Καλαυρία legatur; cum tamen distinctè Καλαβρία regionem, Καλαυρία insulam significet. Eum in modum apud Strabonem pro Καλαυρία insula, posita est Καλαβρία regio. Idem manifeste invenies & apud Suidam. Johannes Franciscus Picus in Commentariis suis insulam Calauriam, & Calabriam dici scribit, mendosorum Codicum (ut opinor) deceptus errore Nicolaus Gerbelius. 12 Sic emendavi locum istum, ex omnibus MSS. quem mendosissimum habent Impress. Τὺς ἐκ κτηνῶν. ποιῆς διεβάλλεσθαι γάρ. &c. 13 Χοροδιδάσκαλον Αἰνέαν Seld. χοροδιδάσκαλον Αἰνέαν Bar. Vid. Pindar. Olymp. VI. v. 149. 14 Ἄγε δὲ ποίησον uterque MSS. ἄγε φησὶ ποίησον Impress. 15 Παραφθορὰν, pro περιφθορὰν, ex Bar. & Grav. † Τῆς Ἡλίου, pro τοῦ Ἡλίου, ex Grav. Nam Pasiphaë Solis filia erat.

Ὃν Γογγυλάτης εἷλε, [a] Βυλαῖος, Μυλεύς,
[b] Ἀγηλάτῳ μάστιγι [c] συνθραύσας [d] κάρα,
[e] Ἧμος ξυναίμοις πατρὸς αἱ Νυκτὸς κόραι
Πρὸς [f] αὐτοφόντου ζήλου ὥπλισαν [g] μόρου.
Δοιοὶ δὲ ῥεῖθρον [h] Πυράμου πρὸς ἐκβολαῖς
Αὐτοκτόνοις σφαγαῖσι [i] Δηραίνου κύνες
Δμηθέντες, αἰχμάσουσι λοισθίαν βολήν,
Πύργων ὑπὸ πλέρνησι [k] Παμφύλου κόρης·

Quem Gongylates interfecit, Consiliarius, Pistor,
Violento flagello caput confringens,
Quando patris Germanos Noctis Filiæ
Ad mutuæ cupidinem armârant mortis.
Duo ad Pyrami fluentorum ostia
Mutuis mortui cædibus Deræni
Canes, ultimo pugnabunt prælio,
Sub Pamphyli Filiæ turrium radicibus:

VARIANTES LECTIONES.

a Βυλαῖος Seld. b Ἀγηλάτῳ alii (in quibus MSS. uterque) cum tenui spiritu, alii cum aspero proferunt. Vide Scholiasten. c Συνθλάσας Etymolog. συνθλάσας Bar. d Κόρη Etymolog. & Seld. e Ἧμος alias cum tenui, alias cum denso spiritu pingitur f Αὐτοφόντου MSS. uterque, & alii. g Μόρου MSS uterque, & alii. h Πυράμου Bar. i Al. Δηραίνου. k Παμφύλου Bar. eandemque lectionem in Scholiis retinet.

[1] Στρατὸς πρὸς εἰς γῆν τήνδ' ἐπιστρέφει ποδὶ
Ταῦρος, ὃς γῆν ταύτην ἀρχαῖος λαός,
Πεδία δὲ πάντα, καὶ παράκτιον πλάκα
Ὠκεῖα μάργης φλὸξ ἐδαίνυτο γνάθοις.

Γόγγος δὲ τοῦ Καπανέως τοῦ κατασκάψαντος, ἢ τοῦ κατασκάψοντος καὶ μέλλοντος κατασκάψαι τὰ τείχη τῶν Θηβῶν, ὁ Σθένελος ὑπῆρχεν.

435. Ὃν Γογγυλάτης.] ὅντινα Καπανέα εἷλε καὶ ἐφόνευσεν ὁ Ζεὺς, ὁ Γογγυλάτης, διότι αἱ γογγύλαι καὶ αἱ συνεστραμμέναι χεῖρες κινοῦνται· ὁ Βυλαῖος, διότι καὶ τὸ βουλεύειν τοῖς ἀνθρώποις δίδει. ὁ Μυλεὺς, διότι ἀνθρώποις καὶ τὰς μύλας, καὶ τοὺς ἀλέτας κινοῦσιν· ἢ ὁ ἀρτοδότης, ἀπὸ τῆς μύλης.

436. Ἀγηλάτῳ μάστιγι] τῷ κεραυνῷ, ἢ τῷ ἄγαν ἐλαυνομένῳ, ὅθεν ψιλωτέον. ἢ τῷ τοὺς ἀγεῖς καὶ μεμιασμένους ἐλαύνοντι, ὅθεν δασυντέον. ὅτι δὲ ἀγὴς, ὁ μυσαρὸς, ἐξ οὗ λέγεται καὶ ὁ ἄγος, ὁ μυσαρός, Ἱππῶναξ φησιν.

[2] Ὡς οἱ μὲν ἀγεῖ Βουπάλῳ κατηρῶντο.

Περὶ δὲ τῆς τόλμης Καπανέως, καὶ τῆς αὐτοῦ κεραυνώσεως, Εὐριπίδης ἐν Φοινίσσαις φησί,

[3] Καπανεὺς δὲ, πῶς εἴποιμ' ἂν, ὡς ἐμαίνετο;
Μακραύχενος γὰρ κλίμακος προσαμβάσεις
Ἔχων ἐχώρει, καὶ τοσόνδ' ἐκόμπασε,
Μηδ' ἂν τὸ σεμνὸν πῦρ νιν εἰργαθεῖν Διὸς,
Τὸ μὴ οὐ κατ' ἄκρων περγάμων ἑλεῖν πόλιν.
Καὶ ταῦθ' ἅμ' ἠγόρευε, καὶ πετρούμενος
Ἀνεῖρπ' ὑπ' αὐτὴν ἀσπίδ' εἱλίξας δέμας,
* Κλίμακος ἀμείβων ξέστ' ἐνηλάτων βάθρα. *
Ἤδη δ' ὑπερβαίνοντα γεῖσα τειχέων,
Βάλλει κεραυνῷ Ζεύς νιν, ἐκτύπησε δὲ
Χθών. ———

Τὰ δὲ τῶν Θηβῶν τείχη ἔκτισαν ὁ Ἀμφίων καὶ ὁ Ζῆθος, παῖδες Ἀντιόπης, θυγατρὸς Ἀσωποῦ, ᾗ συμμιγεὶς ὁ Ζεὺς ἔτεκεν αὐτούς.

437, 438. * Ἧμος ξυναίμοις. *] Τοῦ βουλεύσαντος τὰς Θήβας, ἢ τοῦ κεραυνωθέντος Καπανέως· πότε; ἡνίκα αἱ τῆς Νυκτὸς θυγατέρες, * Ἐριννύες, * ὥπλισαν τοὺς ἀδελφοὺς τοῦ ἑαυτῶν πατρὸς, λέγει δὲ Ἐτεοκλέα καὶ Πολυνείκην· πρὸς τί ὥπλισαν; πρὸς ζῆλον καὶ ἐπιθυμίαν * αὐτοφόντου μόρου, δηλονότι ἐμφατικὸν τὸ σχῆμα. * Αὐτοφόντην δὲ, τὸν ὑπ' ἀλλήλων μέλλοντα αὐτοὺς ἀναιρεῖν. ἡ δὲ ἱστορία τοιάδε· Οἰδίπους ὁ Λαΐου παῖς, ἀνελὼν τὸν πατέρα ἀγνοίᾳ, ὁμοίως καὶ τὴν μητέρα Ἰοκάστην γήμας, ὡς φησιν Ὅμηρος ἐν τῇ Ὀδυσσείᾳ,

——— ὃδ' ὃν πατέρ' ἐξεναρίξας
Γῆμε. ———

ἔσχεν ἐξ αὐτῆς Ἐτεοκλέα, καὶ Πολυνείκην, καὶ [4] Ἰσμήνην, καὶ Ἀντιγόνην. ὅθεν Ἐτεοκλῆς, καὶ Πολυνείκης ἀδελφοὶ, καὶ υἱοὶ ἦσαν Οἰδίποδος. ἀναγνωρίσας δὲ τὴν μητέρα, ἑαυτὸν ἐτύφλωσεν. αὐτὴ δὲ ἡ μήτηρ ἀγχόναις διώλετο, ὡς καὶ Ὅμηρος,

Ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου.

Ἐτεοκλῆς δὲ, καὶ Πολυνείκης περὶ τῆς βασιλείας μαχόμενοι, ἑαυτοὺς ἀνεῖλον. ὁ μὲν Ἐτεοκλῆς, Θηβαίων ὑπερμαχῶν· ὁ δὲ Πολυνείκης, μετὰ τῶν Ἀργείων πορθῶν αὐτούς. Ἄδραστος γὰρ ὁ Ἀργεῖος τὴν θυγατέρα αὐτοῦ τούτῳ παρέσχεν. μεθ' ὧν ἦν καὶ Καπανεὺς, ὅστις μέλλων πορθεῖν τὰς Θήβας, ἐκεραυνώθη ὑπὸ τοῦ Διός. μέμνηται αὐτοῦ καὶ Ὅμηρος ἐν τῇ δ' τῆς Ἰλιάδ. καὶ ἐν τῇ ζ'.

439. Δοιοὶ δέ.] οἱ δὲ δύο μάντεις, Μόψος, ὁ υἱὸς Ἀπόλλωνος καὶ Μαντοῦς, τῆς Τειρεσίου· καὶ ὁ Ἀλκμαίωνος [5] ἀδελφὸς, Ἀμφίλοχος, ὁ τῆς Ἐριφύλης, τῆς ἀδελφῆς Ἀδράστου τοῦ βασιλέως, καὶ Ἀμφιάρεω τοῦ μάντεως παιδὸς παῖς.

440, 441, 442. Οἱ κύνες.] οἱ μάντεις, οἱ γνήσιοι, [6] οἱ ἱδρυθέντες τοῦ ἐν Δηραίνοις, τόπῳ Ἀβδήρων, τιμωμένου Ἀπόλλωνος, οὗ μνημονεύει καὶ Πίνδαρος ἐν Παιᾶσιν, αὐτοκτόνοις καὶ ταῖς ὑπ' ἀλλήλων σφαγαῖς δαμασθέντες καὶ τεθνηκότες, αἰχμάσουσι καὶ πολεμήσουσι τὴν λοισθίαν βολήν. τὸ δὲ σχῆμα χαριεντισμός, οὐδεὶς γὰρ ἀποθανὼν πολεμεῖ. ἔστι δὲ καὶ κακόπλαστον,

EMENDATIONES.

1 Hos Phrynichi versus emendavi, & in ordinem digessi, cum in aliis Codicibus indistincte, & mendose scripta essent. Στρατὸς πρὸς εἰς γῆν τήνδ' ἐπιστρέφει ποδὶ ὁ ταῦρος. ὃς γῆν ταύτην ἀρχαῖος λαός, πεδίας πάντα καὶ παράκτιον πλάκα, ὠκεῖα μάργης φλὸξ ἐδαίνυτο γνάθοις Impress. Στρατὸς πρὸς εἰς γῆν τήνδ' ἐπιστρέφει (ἐπιστρέφω Seld.) ποδί. Ταῦρος, ὃς γῆν (γῆν τὴν Seld.) ἀρχαῖος λαός. πεδία πάντα (πεδία δὲ παντὶ Seld.) καὶ παράκτιον πλάκα, ὠκεῖα μάργης φλὸξ ἐδαίνυτο γνάθοις MSS. Et pro ... quidem ..., pro πεδίας etiam πεδία mecum habet Grav. 2 Ὡς οἱ μὲν ἀγεῖ Βουπάλῳ κατηρῶντο Bar. Ὅτι μὲν ἀγεῖ Βουπάλῳ κατηρῶντο Seld. Βουπάλῳ Impress. 3 Ita emendavi hos Euripidis versus, ex ipsius Phœnissis, quæ tam in MSS. quam Impressis mutilata, & indistincta extabant. Cæterum versum illum, quem stellulis interpositum vides, penitus in Impressis omissum, itemque in Seld. ex Bar. Grav. & Euripide recuperavi. * Ex omnibus MSS. * Ex omnibus MSS. * Ex Bar. & Grav. idemque cum levi differentia occurrit in Seld. 4 Ἰσμήνην, pro Τερψίνην, ex omnibus MSS. Ismenen enim Oedipi, & Jocastæ filiam fuisse, ex Sophocle notissimum est. 5 Post Ἀλκμαίωνος adjeci ἀδελφὸς, monente Nic. Gerbelio. Nam ex Amphiarao & Eriphyle, nati sunt Amphilochus & Alcmæon, fratres. Quod si παιδὸς deleveris, clarior erit sententia, Oïcleum enim, Amphiarai patrem, vatem fuisse nondum comperio. Gerb. 6 Οἱ ἱδρῦσθαι τοῦ ἐν Δηραίνοις τόπου Ἀβδήρων. τιμώμενοι Ἀπόλλωνα Impress. Ego τόπῳ reposui ex Seld. & τιμωμένου Ἀπόλλωνος, ex omnibus MSS.

Αἰπὺς δ' [a] ἀλιβρὰς ὄχμος ἐν μεταιχμίῳ
[b] Μέγαρσος ἁγνῶν ἠρίων σταθήσεται,
Ὡς μὴ βλέπωσι, [c] μηδὲ νερτέρων ἕδρας
Δύντες, φόνῳ [d] λουθέντες ἀλλήλων τάφους.
Οἱ πέντε δὲ Σφήκειαν εἰς [e] Κεραστίαν,

Altus autem exesusque tumulus, Megarsus,
In medio sacrorum stabit sepulcrorum,
Ut ne videant, nec inferorum sedes
Ingressi, cruore respersa alterutrius sepulcra.
Quinque in Sphecéam Cerastiam

VARIANTES LECTIONES.

a Al. ἀλιβράς. Quam etiam lectionem habet Seld. Sed. τὸ ω habet ... eadem, ut videtur, manu superscriptum. b Μέγαρσος Seld. aliique. Μέγαρσα, vel Μέγαρσον Casaubon. c Μὴ δ' al. d Λουσθέντες al. e Al. Κεραστίδα.

κακότροπον, τὸ καὶ κακόζηλον, πόλεμον γὰρ ὤφειλεν εἰπεῖν πολεμήσουσιν, ὃ βούλεται. πολεμήσουσι δὲ πρὸς τὸ ὑπὸ τὰς πέτρας, καὶ τοὺς κάτω τόπους τοῦ πύργου τοῦ Μεγάρσου. ὁ δὲ Μέγαρσος, κατὰ Δημήτριον τὸν τὰ Παμφυλιακὰ γράψαντα, θυγάτηρ Παμφύλου, ἀφ' ἧς ἡ πόλις Μέγαρσος ἐκλήθη. ἐστὶ δὲ μετωνυμικῶς ἄψυχα καὶ ἐμψύχους, τὴν πόλιν ἀντὶ τῆς ἡρωΐδος, θυγατρὸς Παμφύλου, καλέσας, ὡς καὶ Ἡσίοδος, τὸ ἔργον, τὴν χελιδόνα, Πανδιονίδα εἶπεν. ἡ δὲ Μεγάρσου πόλις κεῖται πρὸς ταῖς ἐκχύσεσι τοῦ Πυράμου ποταμοῦ. Κύβεας Ἀπόλλωνος, τοὺς μάντεις εἶπεν, ἀπὸ μεταφορᾶς τῶν φιλοθυτούντων κυνῶν, ἢ ὅτι τῶν ἄλλων ἁπάντων ἀλόγων μόνος ὁ κύων ἀποβλέπει πρὸς τὰ ἀγάλματα. Ἡ δὲ ἱστορία τοῦ Μόψου καὶ Ἀμφιλόχου τοιαύτη. Μετὰ τὰ κατὰ Τροίαν, ἀμφότεροι ἦλθον εἰς Κιλικίαν, Ἀμφίλοχος δὲ, ὁ Ἀμφιαράου υἱὸς, βουλόμενος χωρισθῆναι εἰς τὸ Ἄργος, παρέδωκε τῷ Μόψῳ τὴν βασιλείαν, ἤτοι τὴν ἡγεμονίαν αὐτοῦ, κελεύσας φυλάξαι μέχρι ἐνιαυτοῦ ἑνός. τελεσθέντος δὲ τοῦ ἐνιαυτοῦ, ἦλθεν ὁ Ἀμφίλοχος, καὶ οὐ παρεχώρει αὐτῷ ὁ Μόψος. διὸ περὶ τούτου πρὸς ἀλλήλους διαφερόμενοι, ὑπ' ἀλλήλων ἀνῃρέθησαν, οὓς θάψαντες οἱ ἐνοικοῦντες, πύργον μεταξὺ τῶν τάφων ᾠκοδόμησαν, ὅπως μηδὲ μετὰ θάνατον ἀλλήλους κατοπτεύωσιν, ὡς καὶ Εὐφορίων,

Πύραμος ἠχήεντα πόλιν δ' ἐκλύσατο Μάλλον,
Ἧς πέρι [1] δηριόωντε κατέκταθεν ἀλλήλοιιν,
Μόψος τ', Ἀμφίλοχός τε, καὶ ἄμφω δῆριν ἔθεντο,
Μουνὰξ ἀλύσκοιο πύλας ἴδον Ἀϊδωνῆος.

Καὶ οὕτω μὲν οἱ πολλοί φασιν, ὅτι μετὰ Μόψου ἀπῆλθεν εἰς Κιλικίαν Ἀμφίλοχος. Ἄλλοι δὲ φασὶν, ὡς καὶ Ἀπολλόδωρος, Ἀμφίλοχος ὁ Ἀλκμαίωνος ὕστερον στρατεύσας εἰς Τροίαν μετὰ χειμῶνα, ἀφίκετο πρὸς Μόψον, καὶ ὑπὲρ τῆς βασιλείας μονομαχοῦντες, ἀλλήλους ἀπέκτειναν. ὡς δέ τινες φασὶν, Ἀμφίλοχος τὸ κληθὲν Ἄργος Ἀμφιλοχικὸν πλησίον Ἀκαρνάνων κατῴκησεν.

443. Ἀλιβρός.] ὑπὸ θαλάσσης βεβρωσκόμενος, ὅθεν ἐμοὶ μέγα τοῦτο δοκεῖ γράφειν. * Ὄχμος.] νῦν πύργος. *

444. Μέγαρσος.] πόλις Κιλικίας μέσον τῶν τάφων Μόψου καὶ Ἀμφιλόχου, καὶ Μεγαρσίας Ἀθηνᾶς ἱερόν. Ἁγνῶν.] πῶς ἁγνῶν ὄντων τῶν ἀλλήλους φονευσάντων τὰ ἠρία; ἢ πρὸς τὸ φονικὸν ἀποβλέψας * τοῦτο * εἶπεν, ἀλλ' ὅτι μάντεις ἀμφότεροι.

447. Οἱ πέντε δὲ] ὁ δὲ Τεῦκρος, Ἀγαπήνωρ τε, καὶ Ἀκάμας, καὶ σὺν αὐτοῖς Κηφεὺς, καὶ Πράξανδρος, εἰς τὴν Κύπρον ἀποπλανηθέντες οἰκήσουσιν. ὁ μὲν Τεῦκρος, ὁ ἐμὸς συγγενὴς, διωχθεὶς ὑπὸ τοῦ πατρὸς αὐτοῦ Τελαμῶνος, ὡς μὴ βοηθήσας καὶ ἀμύνας τῷ Αἴαντος θανάτῳ. ὁ Ἀγαπήνωρ δὲ, ὁ τοῦδε, καὶ τοῦδε, ἐλθὼν εἰς τὴν Κύπρον χαλκορυχήσει, οὗ τὸν πατέρα ὁ Καλυδώνιος κάπρος ἀνεῖλε. τρίτος δὲ ὁ Ἀκάμας, ὁ υἱὸς τοῦ Θησέως, τοῦ λαβόντος τὰ ὅπλα τοῦ Αἰγέως ἐκ τῆς πέτρας· ἤτοι Ἀκάμαντος πρεσβείας ἐλθόντος ποτὲ εἰς τὴν Τροίαν σὺν Διομήδει, ἐρασθεῖσα Λαοδίκη, ἡ Πριάμου θυγάτηρ, ἐμίγη καὶ ἐγέννησε Μούνιτον· ὃν Μούνιτον Αἴθρα, ἡ προμήτωρ Ἀκάμαντος, θεῖσα ἐν χερσὶ τούτου, τῆς Τροίας πορθηθείσης, εἶπε πρὸς αὐτὸν, Ἰδοὺ ὁ παῖς σου. ὃν Μούνιτον συγκυνηγοῦντα ἐν Θρᾴκῃ τῷ πατρὶ Ἀκάμαντι, ὄφις πλήξας ἀνεῖλε, καὶ θρηνοῦσα αὐτὸν καὶ Λαοδίκη ἡ μήτηρ ἀποθνήσκει· [3] ἣν ὁ φλύαρος οὗτος Λυκόφρων πρεσβυγενῆ εἶπε, πορθουμένης τῆς Τροίας, χάσματι γῆς ὑποδεχθεῖσαν. μέσον δὲ τούτων ποιεῖται ἐμβολιμαίαν παραβολὴν, λέγων, Ὅταν δώσῃ αὐτὸν τῷ πατρὶ Ἀκάμαντι ἡ Αἴθρα, ἣν μόνην ἀπὸ πάντων τῶν Ἀττικῶν ἐδούλωσαν Κάστωρ καὶ Πολυδεύκης, οἱ τοιοίδε, καὶ τοιοίδε ὄντες· Κάστορα καὶ Πολυδεύκην μὴ στείλας βοηθὸν, ὦ σῶτερ Ζεῦ, τῇ δευτέρως ἁρπαγείσῃ Ἑλένῃ, [4] μηδὲ τὸν Πρωτεσίλαον στείλας· μηδὲ ἐξελθεῖν ἔτι ὑπὸ τῶν αὐτῶν πλοίων εἰς τὴν γῆν τῶν Τρώων, μηδὲ ὁ Ἴδας, καὶ ὁ Λυγκεύς· οἳ γὰρ μόνοι ἡμέραν διαλύσονται τὰ τείχη τὰ Τρωϊκὰ τὸν πόλεμον τοῦτον ὑπενεγκεῖν, κἂν ἔχωσι προπύργιον τὸν Ἕκτορα. Εἶτα ἑαυτὴν ἡ Κασσάνδρα παραμυθεῖ, καὶ φησὶν, Ἀλλ' ἔστιν ἡμῶν βοηθὸς ὁ Ζεὺς, ὃς φιλονεικίαν αὐτοῖς ἐμβαλεῖ, ὅταν ὑποδέξωνται τὸν Ἀλέξανδρον, οἳ καὶ ἀναιρεθήσονται ὑπ' ἀλλήλων, διὰ τοὺς γάμους μαχόμενοι τῶν ἑαυτῶν ἀνεψιῶν, ἤτοι ἐξαδέλφων, Φοίβης καὶ Ἱλαείρας, πλὴν μόνου Πολυδεύκους. Εἶτα καὶ ἄλλαις χρῆται παραβολαῖς, καὶ φησὶ, Καὶ τούτων μὲν ὁ θεὸς εὐνάσει ἡμῖν τὸ δόρυ, [5] ἄλλο δὲ πολὺ πλῆθος Ἑλλήνων κινήσει καὶ ἀγάγῃ, ὡς οὐδ' ὁ [6] Ἄνιος χορέσει σίτῳ, οἴνῳ, καὶ ἐλαίῳ. Εἶτα φησὶ καὶ περὶ τῶν ἑτέρων δύο, Ὁ Κηφεὺς δὲ, καὶ ὁ Πράξανδρος οἱ πέμπτοι, ἤτοι οἱ πρὸς ἀναπλήρωσιν τῶν πέντε, ὧν εἶπον, στρατηγῶν τέταρτοι εἰς Κύπρον ἀφίξονται. πρῶτος γὰρ Τεῦκρος, δεύτερος Ἀγαπήνωρ, τρίτος Ἀκάμας, ἤτοι οἱ δύο ὁμοῦ τέταρτοι. Σφήκειαν.] ἡ Κύπρος πρότερον Σφήκεια ἐκαλεῖτο, ὥς φησι Φιλοστέφανος ἐν τῷ περὶ Κύπρου, ἀπὸ τῶν ἐνοικησάντων ἐκεῖσε ἀνδρῶν, οἳ ἐκαλοῦντο Σφῆκες. ἐκαλεῖτο δὲ καὶ Κεραστία, ὡς μὲν Ἀνδροκλῆς ἐν τῷ περὶ Κύπρου λέγει, διὰ τὸ ἐνοικῆσαι αὐτῇ ἄνδρας, οἳ εἶχον κέρατα· ὡς δὲ Ξεναγόρας ἐν τῷ περὶ Νήσων, διὰ τὸ ἔχειν πολλὰς ἐξοχὰς, ἃς κέρατα καλοῦσι, Κεραστία ὀνομάσθη.

EMENDATIONES.

1 Δηριόωντε, pro δηεν θύντε, quod in sequenti linea occurrit, ex Bar. δηριόωντε utroque loco habet Grav. & sequente versu πύλας, pro πύλας. * Ex Bar * Ex Bar. & Grav. 2 Αἰτία, pro φίλαν, ex Grav. 3 Ἣν ὁ φλύαρος οὗτος Λυκόφρων, pro ἣν οὗτος ὁ Λυκόφρων, ex Bar. & Grav. 4 Μηδὲ posui, pro μὴ δὲ, ut & paulo post 5 Ἄλλο δὲ πολὺ πλῆθος, pro ἄλλοι δὲ πολὺ πλῆθος posui, ope MSS omnium. 6 Ἄνιος substitui, pro ἀνθρώπινος, ex Bar. & Grav. hujusque emendationis necessitatem Poetæ nostri cum Scholiaste collatio facile indicabit. Error inde videtur ortus, quod ἄνος à celeriter scribentibus soleat poni pro ἀνθρώπινος.

448. Σάτραχος.]

Καὶ [a] Σάτραχον βλώξαντες, Ὑλάτου τε γῆν,
Μορφὼ παρεικήσουσι τὴν [b] Ζηρυνθίαν·
Ὁ μὲν πατρὸς μομφαῖσιν ἠλασμένος
[c] Κυχρέως ἄντρων, [d] Βωκάρου τε ναμάτων,
[e] Οὑμὸς ξύναιμος, ὡς [f] ὀπατρεὺς φονεὺς
Πώλου, νόθον [g] φίτυμα, συγγόνων βλάβη,
[h] Τοῦ λύσσαν ἐν [i] ποίμναισιν αἰχματρίαν
[k] Χέλυδος, ἣν χάρωνος ὠμηστοῦ δορὰ
Χαλκῷ [l] τορητὸν οὐκ ἔτευξεν ἐν μάχῃ,

Et Satrachum venientes, terramque Sylvani,
Morphonem accolent Zerynthiam:
Primus quidem patris criminationibus expulsus
Antris Cychrei, Bocaroque fonte,
Meus cognatus, tanquam patrii occisor
Pulli, filius adulterinus, cognatorum damnum,
Qui rabiem in ovilia bellicosam
Effuderat, quem crudelis leonis pellis
In pugna reddidit invulnerabilem,

VARIANTES LECTIONES.

a Σίτραχον βλώξαντες al. b Τροιζηνίαν al. Ζηρυνθίαν Sold. Ζηρινθίαν al. Ζηρυνθίαν al. c Κιχρέως Sold. istique ῳ habet ῃ superscriptam. al. Κιχρέως al. Κεγχρέως. d Al. Βωκάρου. e Οὐμὸς al. ὁ ὑμὸς al. f Al. ὁ πατρὸς al. ὀπατρεὺς. at quod (auctor separatim hæc legerit, id plane miror. Vide Commentarium nostrum. g Φύτευμα Bar. Sold. h Τοῦ λύσσαν ἐν Sold. i Al. ποίμνησιν. k Al. χέλυος. l Τορητὸν Sold.

448. Σάτραχος.] πόλις, καὶ ποταμὸς Κύπρου. τινὲς δὲ διὰ τοῦ ι γράφουσι Σίτραχον. Ὑλάτου.] τοῦ Ἀπόλλωνος. Ὕλη γάρ ἐστι ἐκεῖ τῆς Κάλεων, τόπου τῆς Κύπρου, ἱερὰ Ἀπόλλωνος, ἀφ' ἧς Ὑλάτην τὸν θεὸν προσαγορεύουσιν.

449. Μορφώ.] τοῦτο τὸ ξόανον φασὶ πεποιῆσθαι τῇ Ἀφροδίτῃ ὑπὸ Λακεδαιμονίων πρὸς νομοθέτου, αἰνιξαμένου τὸ μὴ ἀσελγαίνειν τὰς παρθένους, ἢ πεδῆσαι ταύτῃ τῇ θεᾷ. οἱ δὲ Τυνδάρεων φασί, διὰ τὸ ἁμάρτημα τῆς Ἑλένης. Τὴν Ζηρυνθίαν.] [*] γράφε καὶ τὴν Τροιζηνίαν. [*] ἐν Θρᾴκῃ ἄντρον ἐστὶν, ἐν ᾧ ἡ Ζηρυνθία Ἀφροδίτη τιμᾶται· ἢ ὅτι ἐν Τροιζῆνι ἱερὸν Ἀφροδίτης ὑπὸ Φαίδρας ἱδρυμένον, ὅτι ἤρα Ἱππολύτου, τοῦ Θησέως καὶ Ἱππολύτης, τῆς Ἀμαζόνος, παιδός.

450. Ὁ μὲν πατρὸς μομφαῖσιν.] ἐξελαθήσεται, φησὶν, ὁ Τεῦκρος ἐκ τῆς Σαλαμῖνος ὑπὸ τοῦ πατρὸς Τελαμῶνος, διὰ τὸν Αἴαντα. φασὶ γὰρ, ὅτι Τεῦκρος προσπλεύσαν Σαλαμῖνι, ἀπωσθεὶς παρὰ Τελαμῶνος τοῦ πατρὸς, ὡς μὴ ἀμύνας [1] Αἴαντι, ἐλθὼν ἐν Κύπρῳ, Σαλαμῖνα κτίσας, ᾤκησε, καὶ γήμας Εὔνην τὴν Κύπρου, Αστερίαν ἐγέννησε.

451. Κυχρέως ἄντρων.] ὁ Κυχρεὺς, ἢ Κεγχρεὺς, Σαλαμῖνος καὶ Ποσειδῶνος ὑπῆρχεν υἱὸς, ἐβασίλευσε δὲ Σαλαμινίων, ὥς φησιν Εὐφορίων ἐν Ἱππομέδοντι,

Τοῖος γὰρ Κυχρεῖος ἐνὶ [2] ψαφαρῇ Σαλαμῖνι.

ἐγὼ δὲ καὶ οὕτω γράφω τὸ [3] χρῆ, κἂν πάντες, οὐκ οἶδ' ὅθεν, δίφθογγον τοῦτο γράφουσιν. ἐγὼ γὰρ οὕτω λέγω, ὡς τὸ Πηλεὺς, Πηλεῖος, οὕτω καὶ Κυχρεῖος. τοῦτον δὲ τινὲς τὸν δράκοντα φασίν· ἄλλοι δὲ, ὅτι ὄφις ποτὲ ἐλυμαίνετο τὴν Σαλαμῖνα, καὶ ἀοίκητον αὐτὴν ἐποίει, ὃν ὁ Κυχρεὺς ἀνεῖλεν, ὅθεν καὶ Ἀπόξιφος ἐκλήθη. Τὸ δὲ Κυχρεῖος, ποιητικὸν ἐστι κατὰ διάλεκτον.

452. Οὑμὸς ξύναιμος.] ὁ ἐμὸς συγγενὴς Τεῦκρος, διὰ τὸ εἶναι αὐτὸν ἐξ Ἡσιόνης, τῆς Πριάμου ἀδελφῆς, παρ' [4] Ἡρακλέος δοθείσης τῷ Τελαμῶνι εἰς γέρας, ὡς συνεκπορθήσαντι τὴν Τροίαν. [5] Ὀπατρεὺς, τοῦ ὁμοπατρίου ἀδελφοῦ, γράφουσι, καὶ λέγουσι κακῶς φάναι τὸν ποιητήν· ὁ Αἴας γὰρ, καὶ ὁ Τεῦκρος ὁμοπάτριοι οὐκ ἦσαν· ἀλλ' ὁ μὲν Αἴας Περιβοίας ἦν παῖς, τῆς Περθάονος θυγατρὸς, Τεῦκρος δὲ, Ἡσιόνης. ἐγὼ δὲ ὁ τῷ ποιητῇ προσάπτω νῦν τὴν αἰτίαν, ἀλλὰ τοῖς μεταγράφουσιν. ὀπατρεὺς γὰρ εὑρόντες ἀμυδρῶς γεγραμμένον, ἀντὶ τούτου ὁπατρεὺς ἔγραψαν. τοῦτο δὲ μᾶλλον αἰτιῶμαι τοῦ ποιητοῦ, τὸ εἰπεῖν, ὡς φονεὺς Αἴαντος, οὐ γὰρ ὡς φονεὺς, ἀλλ' ὡς μὴ ἀμύνας ἐδιώχθη ὁ Τεῦκρος.

453. Πώλου.] τινὲς οὕτω συντάσσουσιν, ὡς φονεὺς τοῦ ὀπατρεὺς [6] πώλου, ἤτοι Αἴαντος, ὃ ἐγὼ ὀπατρεὺς γράφω. Ἄλλοι δὲ μέχρι τοῦ φονεὺς στίζουσιν, ἄρχονται δὲ ἀπ' ἄλλης ἀρχῆς οὕτω, Τὸ νόθον φίτυμα τοῦ πώλου, ἤτοι τοῦ Τελαμῶνος, ὅπερ ἐστὶν ἀπαίτιον. Πῶλον δὲ αὐτὸν λέγει, διὰ τὸ ὁρμητικὸν ἄγαν, καὶ τὴν ἐν τῷ πολέμῳ ἀλκήν. Συγγόνων βλάβη.] τῶν Τρώων, διότι κατεπολέμει τοὺς Τρῶας συγγενεῖς αὐτοῦ ὄντας, διὰ τὸ Ὁμηρικὸν,

Ὀκτὼ δὴ [†] προέηκα τανυγλώχινας ὀϊστοὺς,
Πάντες δ' ἐν χροῒ πῆχθεν ἀρηϊθόων αἰζηῶν,
Τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα.

454. Τοῦ λύσσαν ἐν ποίμναισιν.] ὡς φονεὺς τοῦ [7] ὀπατρεὺς Αἴαντος, τοῦ μανέντος ἕνεκεν τῶν Ἀχιλλέως ὅπλων, καὶ ἀπολέσαντος τὰ Ἑλληνικὰ ποίμνια. Ἡ δὲ ἱστορία τοιάδε· Αἴας μανεὶς διὰ τὸ δοθῆναι τὴν πανοπλίαν τοῦ Ἀχιλλέως τῷ Ὀδυσσεῖ, τὰ ποίμνια τῶν Ἑλλήνων ἀνεῖλεν. τῶν Ἑλλήνων δ' ὀνειδιζόντων ὕστερον, καὶ αὐτὸν ἀναιρεῖ μετὰ τοῦ ξίφους, ὅπερ ἔδωκεν αὐτῷ ὁ Ἕκτωρ, ὅτε πρὸς ἀλλήλους ἐμονομάχησαν. καὶ Ὅμηρος,

——— δῶκε ξίφος ἀργυρόηλον
Σὺν κολεῷ τε φέρων, καὶ ἐϋτμήτῳ τελαμῶνι·
Αἴας δὲ ζωστῆρα [8] δίδου φοίνικι φαεινόν.

455. Χάρωνος ὠμηστοῦ δορά.] Χάρων, ὁ λέων κατὰ Μακεδόνας. Ἡ δὲ ἱστορία τοιαύτη· Ἐν Νεμέᾳ, χώρᾳ τοῦ Ἄργους, λέων ἦν ἄτρωτος σιδήρῳ, καὶ βολαῖς πολλαῖς, ὃν Ἡρακλῆς συνθλάσας ταῖς οἰκείαις χερσὶ, σκεπαστηρίῳ τῷ τούτου δέρματι ἐκέχρητο. φίλος δὲ ὢν τῷ Τελαμῶνι, ἄπαιδι ὄντι, καὶ θύοντι

EMENDATIONES.

[*] Hoc adjeci ex *Sold.* quod è cæteris excidisse manifestum est. 1 Αἴαντι, pro Αἴαντα, ex omnibus *MSS.* 2 ψαφαρῇ substitui, pro ψαρῇ. ψαφαρῇ *Sold.* ψαφέρῃ *Bar.* ψαφέρῃ *Grav.* 3 Χρῆ lego cum *Sold.* non χρῆ cum *Impressis* Ista enim dictio, si cum τοῦ pingas, Verbum, si cum linea superducta, nuda syllaba erit. 4 Ἡρακλέος, pro Ἡρακλέα, ex *Grav.* 5 Ita distinguo; vult enim *Scholiastes* in quibusdam exemplaribus scribi ὀπατρεὺς. *Impressi* sic distinguunt, Ὀπατρεύς.] τοῦ ὁμοπατρίου ἀδελφοῦ· γράφουσι καὶ λέγουσι &c. Sed *MSS.* Codices mecum faciunt. Item ubique ὀπατρεὺς & ὀπατρεὺς lego, pro ὁ πατρεὺς & ὁ πατρεὺς, re ita exigente. 6 Πώλου rescripsi, pro πόλου, ex *Grav.* 7 Ὀπατρεὺς substitui, pro πατρεὺς, ex omnibus *MSS.* 8 Δίδου. pro δῶκε. ex ipso *Homero*, in cujus Il. η'. occurrunt hi versus, & omnibus *MSS.* † Προέηκα. pro προίηκα, ex *Grav.* & *Homero* Il. θ'. v. 297.

Μίαν πρὸς ᾅδην καὶ φθιτοὺς πεπαμμένον
Κέλευθον, [a] ἣν γωρυτὸς ἔκρυψε Σκύθης,
Ἡμος καταίθων θύσθλα Κωμύρῳ λέων,
Σφῷ πατρὶ λάσκε τὰς ἐπηκόους λιτὰς,
Σκύμνον παρ' ἀγκάλῃσιν [b] αἰετῷ βρέσας.
Οὐ γάρ τι πείσει [c] φίτυν, ὡς ὁ Λήμνιος
Πρηστὴρ [d] Ἐνυοῦς, οὔποτ' ἐς φύζαν τραπεὶς,
Ταῦρος βαρύφρων, [e] δυσμενεστάτου ξένου
Ἔτυψε δώρῳ [f] σπλάγχνον, ἀρνεύσας λυγρὸν
Πήδημα [g] πρὸς κνώδοντος [h] αὐτουργοὺς σφαγάς.
Ἐλᾷ δὲ πάτρας τῆλε Τραμβήλου κάσιν,
Ὃν ἡ [i] ξυναίμων πατρὸς ἐκλοχεύεται,
Δοθεῖσα [k] προσφαγίχμια τῷ πυργοσκάφῳ·

Unam ad Orcum atque manes viam
Sortitum, quam corytus texit Scythicus,
Quando Comyroni sacrificia adolens Leo,
Patri suo preces dixit impetrabiles,
Aquilæ Catulum in ulnis quatiens.
Nec enim persuadebit Patri Lemnium
Fulmen Bellonæ, nunquam in fugam versum,
Taurum iracundum, inimicissimi Hospitis
Dono pectus percussisse, tristi insilientem
Saltu in spontaneas gladii cædes:
Sed expellet procul è patria Trambeli fratrem,
Quem Soror Patris genuit,
Prædæ data Eversori turrium:

VARIANTES LECTIONES.

a Ὃν al. b Αἰετοῦ Sold. αἰετὴ al. αἰετῷ al. Canterus αἰετὸν, vel αἰετοῦ rescribendum existimat. Al. αἰετ' ἀβρόμῳ al. βρέσας. c Φίτυν Bar. d Ἐνυοῦς Bar. e Δυσμενεστάτου ξένου Sold. f Σπλάγχν' Sold. g Πήδημ' ἀπ' ὀδόντος Sold. h Αὐτουργοῦ Sold. aliique. i Ξύναιμος Sold. k Προδαίχμια al. προδόχμια Bar.

ποτὲ τῷ Διῒ, διατριβομένου τοῦ Ἡρακλέους [1] ὑπ' αὐτοῦ εἰσελθεῖν εἰς τὴν αὐτοῦ οἰκίαν, καὶ θύοντι τῷ ἰδίῳ πατρὶ Διῒ, ὅπως ἐσὼς μετὰ τῆς λεοντῆς, καὶ εὔξασθαι γενέσθαι παιδίον ἄρρεν αὐτῷ. Ἡρακλῆς δὲ λαβὼν χρυσῆν οἰνοδόχον φιάλην, ἔθυσε, καὶ ηὔξατο οὕτως. καὶ μετὰ τὴν εὐχὴν ἔπεμψεν ἀετὸς, καὶ φησί· Τελαμὼν, ἔσται σοι παῖς, ὃν καὶ καλέσεις ἀετὸν, κατὰ τὸ σημεῖον. καὶ γεννηθέντα τὸν Αἴαντα, [2] Αἴαντα ἐκάλεσεν. οὗτος Αἴας ἄτρωτος αὐξηθεὶς, τῇ λεοντῇ τούτου Ἡρακλῆς ἐκάλυψεν, καὶ ταύτην αὐτῷ ἐχαρίσατο, ἐφ' ἣν σκεπόμενος, ὡς λέγουσιν, ἄτρωτος ἦν, πλὴν μόνου τοῦ τόπου κατά τινας τοῦ σκεπομένου μέρους ὑπὸ τοῦ γωρυτοῦ, ὅτε ταύτην ἔρριψεν Ἡρακλῆς· ὅτι δὲ Αἴας, ὑπὸ τοῦ αὐχένος. Ἄλλοι δέ φασιν, ὑπὸ τῆς κλειδὸς ἤγουν στῆθος τὸν Αἴαντα. ταῦτα μὲν ὁ λόγος, οὕτω δὲ ἔχει τὸ ἀληθές· Πολυδέξιος ὢν στρατιώτης ὁ Αἴας, καὶ πολλοὺς πολεμήσας πολέμους, οὐδέποτε ἐτρώθη, τῷ ἄγαν τηρεῖν ἑαυτὸν, καὶ σκέπεσθαι τῷ σάκει. ἐπεὶ δὲ αὐτὸς ἑαυτὸν ἀνεῖλε, τὸ ξίφος κατὰ τῆς πλευρᾶς ὤσας, ἢ τοῦ τραχήλου, εἰς μῦθον ἐτέθη, ὅτι τούτους τοὺς τόπους μόνους εἶχε τρωτούς.

458. Γωρυτὸς Σκύθης.] ὁ τοῦ Τευτάρου, ὃν φησιν Ἡρακλέα διδάξαι τὴν τοξικήν. ἐγὼ δὲ ἔφην, ὅτι ἄλλοι φασὶν, Εὔρυτον, ἢ Ῥαδάμανθυν αὐτὸν διδάξαι, πατρῷον αὐτοῦ γενόμενον.

459. [*] Κώμυρος.] ὁ Ζεὺς ἐν Ἁλικαρνασσῷ τιμᾶται. Λέων.] ἤτοι τοῦ φίλου, Δοσειλῶς. οἱ δὲ Σχολιασταὶ τὸ [illegible] γράφοντες.[*]

461. Σκύμνον παρ' ἀγκάλῃσιν.] Ἡρακλῆς φιλῶν τὸν Αἴαντα, καὶ δεξάμενος αὐτὸν ἐν ταῖς αὐτοῦ ἀγκάλαις, καὶ [3] πάλαι, ηὔξατο ὑπὲρ αὐτοῦ τῷ Διΐ.

462, 463. Οὐ γάρ τι πείσει.] οὐ γὰρ πείσει, φησὶν, ὁ Τεῦκρος τὸν Τελαμῶνα, εἰπὼν, ὅτι ὁ Λήμνιος καὶ ὁ πολεμικὸς Αἴας αὐτὸς ἑαυτὸν ἀνεῖλε, (Λήμνιος γὰρ, ὥς φησιν Ἑλλάνικος, οὗρος ὁπλοποιΐας) ὁ πρηστὴρ καὶ σφοδρὸς ἄνεμος τῆς Ἐνυοῦς καὶ τοῦ πολέμου, (Ἐνυὼ γὰρ ἐπίθετον Ἥρας) ὁ οὔποτ' [4] εἰς φυγὴν τραπεὶς, ταῦρος βαρύφρων, ὡς καὶ Ὅμηρος,

Ἀνδρὶ δ' ἄρ' οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας.

464. Δυσμενεστάτου ξένου δώρῳ.] μονομαχήσας γὰρ τῷ Ἕκτορι, καὶ ἰσοπαλεῖς τῆς μάχης γενομένης, φιλοῦνται, καὶ ἀλλήλοις διδοῦσι δῶρα.

Αἴας μὲν ζωστῆρα δίδου φοίνικι φαεινόν.

μεθ' οὗ καὶ ἀναιρεθεὶς Ἕκτωρ, καὶ ὑπ' Ἀχιλλέως δεθεὶς ἐκ τοῦ ἅρματος εἵλκετο. Αἴας δὲ τὴν σπάθην ἀφ' Ἕκτορος λαβὼν, μετ' αὐτῆς αὐτὸς ἑαυτὸν ἀνεῖλεν, ὥς φησι Σοφοκλῆς· Ἀντικλείδης δὲ ὑπὸ Πάριδος φησὶ τοξευθέντα ἀποθανεῖν.

467. Τραμβήλου κάσιν.] τὸν Τεῦκρον. μετὰ γὰρ τὴν ὑφ' Ἡρακλέους γενομένην τῆς Τροίας ἅλωσιν, Τελαμὼν Θεάνειραν τὴν καὶ Ἡσιόνην, γέρας ὡς ἐξαίρετον ἔλαβεν, ὥς Ἴστρος ἐν Συμμίκτοις φησίν. αὕτη δὲ ἐκ Τελαμῶνος ἔγκυος γενομένη, ἀπέδρασε τὴν ναῦν, καὶ νηξαμένη ἦλθεν εἰς Μίλητον, διανηξαμένη τὴν μεταξὺ θάλασσαν. ἐγὼ δὲ [5] εὑρεθεῖσαν φημὶ παρὰ Πελάμου βασιλεύοντος τῆς Μιλήτου Ἀρίωνος, ὃς αὐτὴν ἐν ὕλῃ κεκρυμμένην εὑρὼν ἐλέησε, καὶ τὸν ἐξ αὐτῆς τεχθέντα Τράμβηλον κληθέντα ἀνέθρεψεν, ὡς ἴδιον παῖδα. τῆς δ' ἐπὶ Ἴλιον στρατείας γενομένης, Ἀχιλλεὺς εἰς Μίλητον παρεγένετο, καὶ τὸν Τράμβηλον ἀντιστάντα ἀνεῖλεν. εἶτα τῆς ἀνδρείας τοῦτον θαυμάσας, [6] καὶ μαθὼν Τελαμῶνος εἶναι υἱὸν, ἔθαψεν αὐτὸν, δακρύσας ὡς συγγενῆ.

469. Τῷ πυργοσκάφῳ.] τῷ Τελαμῶνι. ἱστορεῖ γὰρ Ἑλλάνικος, ὅτι πρὸ τοῦ Ἡρακλέα εἰσελθεῖν ἐν τῇ Τροίᾳ, ὁ

EMENDATIONES.

1 Ὑπ' αὐτοῦ ex Sold. ὑπὸ τοῦ Impress. ὑπὸ τοῦτο Bar. & Grav. 2 Αὐτὸν ἐκάλεσεν. οὗτος Αἴας ἄτρωτος ἦν &c. MSS uterque. Et hæc lectio, si non receptæ præferri, at certe tolerari poterit. * Hæc cum levi variatione in omnibus MSS. occurrunt. 3 Πάλαι, pro πάλιν. 4 Εἰς φυγὴν ἐκάλυσε τραπεὶς Impress. Ego istud delevi, ut prorsus inutile, nixus auctoritate utriusque MSS. 5 Εὑρεθεῖσαν posui, pro εὑρεθεῖσα. 6 Sic lego cum Sold. καὶ Τελαμῶνα μαθὼν ὄντα Impress. Sed Τελαμῶνος habent Bar & Grav. quod equidem tolerari posse.

Τελαμὼν

Ἦν [a] δή ποτ' ἐν ῥήτρῃσι δημοτῶν σταθεὶς,
Γλαυκῷ κελαινὸν δόρπον [b] ὤτρυνε κυνὶ
Στεῖλαι, [c] τριπλᾶς [d] θύγατρας ὁ σπείρας βάβαξ,
Τὸν πᾶσαν ἅλμῃ πηλοποιοῦντα χθόνα,
[e] Ὅταν κλύδωνας [f] ἐξερεύγηται γνάθων,
[g] Λάβρῳ σαλεύων πᾶν τρικυμίᾳ πέδον.
Ὁ δ' ἀντὶ πίπους [h] σκορπίον λαιμῷ σπάσας
Φόρκῳ, κακῆς ὠδῖνος ἔκλαυσε βάρος.
[i] Ὁ δεύτερος δὲ νῆσον ἀγρέτης μολὼν,
Χρῄζων πυθέσθαι πημάτων [k] ξυμβλησίαν,
Χερσαῖος αὐτόδαιτος ἐκγόνων δρυὸς

Quam aliquando ftans in foro popularium,
Cæfio diram hortatus eft cœnam Cani
Mittere, trium Sator filiarum Orator,
Totam falfugine cœnum reddenti terram,
Quando fluctus è buccis eructaret,
Violenter omne concutiens immenfa procella folum.
At Ille pro Pipone Scorpium gutture glutiens
Cano, mali partûs luxit onus.
Secundus autem ad infulam Agreftis accedens,
Scifcitari volens cladium remedium,
Terrigena conviva Nepotum quercûs

VARIANTES LECTIONES.

a Al. δήποτ' una voce. b Al. ὤτρυν. c Τετρὰς Bar. eandemque lectionem etiam in Scholiis habet. d Θυγατέρας ὁ σπείρας Sold. e Ὅτ' ἂν Sold. f Ἐξερεύγεται Sold. g Λάβρῳ lego ex Bar. Canteri etiam judicio fretus. λάβρως Sold. aliique. λαῦρος al. h Σκορπίῳ Sold. i Verfum proximum, qui priorem locum occupavit, tranfpofuit Canterus, ita re exigente. k Al. συμβλησίαν.

Τελαμὼν μέρος τοῦ τείχους καταβαλὼν εἰσῆλθε· σπασθέντος δὲ ὑπ' αὐτὸν Ηρακλέους τὸ ξίφος, ὁ Τελαμὼν παρατηρήσας τοῦτο ἕνεκα δυσχεράναντα τὸν Ηρακλέα, λίθους περὶ αὐτὸν ἐσώρευεν. τοῦ δὲ φαμένου, Τί τοῦτο; Τελαμὼν ἔφη, Εγείρειν μέλλω βωμὸν Ηρακλέος ἀλεξικάκου. καὶ οὕτως τῆς ὀργῆς Ηρακλῆς παύεται, καὶ γέρας αὐτῷ τὴν Ησιόνην, τὴν καὶ [1] Θεάνειραν, δωρεῖται.

470. [*] Ῥήτρῃσι.] δημηγορίαις. [*]

471, 472, 473. Στεῖλαι, τριπλᾶς θύγατρας ὁ σπείρας.] Φοινοδάμας τρεῖς ἔχων θυγατέρας, ἀναγκαζόμενος ὑπὸ τοῦ Λαομέδοντος ἐκθεῖναι αὐτῶν μίαν τῷ κήτει, ἐκκλησίαν συναγαγὼν ἐδημηγόρησεν, δεῖν τὸν Λαομέδοντα, τὸν αἴτιον τοῦ κακοῦ, ἐκθεῖναι τὴν θυγατέρα Ησιόνην, καὶ ἔπεισε τοὺς Τρῶας, διὸ καὶ ἐξετέθη πρὸς βορὰν τῷ κήτει. Ηρακλῆς δὲ αὐτὴν ἔσωσεν, ἀνελὼν τὸ κῆτος. τούτου δὲ ἕνεκα μνησικακῶν ὁ Λαομέδων τῷ Φοινοδάμαντι, τὰς ἐκείνου τρεῖς θυγατέρας ναύταις ἔδωκεν, ἐκθέντας εἰς τὴν ἔρημον τῆς Λιβύης ἐᾶσαι αὐτάς [2] θηριοβρώτους γενέσθαι· ὧν μιᾷ μιγεὶς ὁ Κριμισὸς ποταμὸς ἐν εἴδει κυνὸς, γεννᾷ τὸν [3] Αἰγέσταν, ὃς ἔκτισε τρεῖς ἐκεῖσε πόλεις, Αἰγέσταν, Ἔντελλαν, Ερυκα. Γλαυκῷ κυνί.] [4] τῷ κήτει. Βάβαξ.] ῥήτωρ, παρὰ τὸ βάζω, τὸ λέγω.

476, 477. Πίπους.] πτηνὸν ὄρνεον ἐπὶ θαλάσσῃ εὑρισκόμενον καὶ εὐειδὲς, νῦν δὲ τὴν Ησιόνην οὕτω καλεῖ. [5] Σκορπίον δὲ τὸν Ηρακλέα λέγει, διὰ τὸ φονικόν. [*] Κακὴν δὲ ὠδῖνα, τὸν Ηρακλέα λέγει, ὃν περ ἦν καταπιὸν τὸ κῆτος. [*]

478. Ο δεύτερος.] Αγαπήνωρ. Αγρέτης.] ἀγρευτὴς, παρ' ὅσον Αρκὰς ἦν τὸ γένος· οἱ δὲ ἐπακτῶται, καὶ ἀγρευταί. ἢ ὁ ἄγριος, παρ' ὅσον ἀγρίᾳ τροφῇ ἐχρῶντο οἱ Αρκάδες, ἤτοι βαλάνοις, ὡς καὶ ὁ παροιμιώδης χρησμὸς,

Πολλοὶ ἐν Αρκαδίᾳ βαλανηφάγοι ἄνδρες ἔασι.

480. Χερσαῖος.] ὁ τὴν μεσόγειον τῆς Πελοποννήσου Αρκαδίαν οἰκῶν, ὡς καὶ Ομηρος ἐμφαίνων μὴ ἔχειν ναῦς αὐτοὺς διὰ τὸ πόῤῥω εἶναι τῆς θαλάσσης, οὑτωσὶ λέγει,

Αὐτὸς γάρ σφι δῶκεν ἄναξ ἀνδρῶν Αγαμέμνων
Νῆας ἐϋσσέλμους περάαν ἐπὶ οἴνοπα πόντον
Ατρείδης, ἐπεὶ οὔ σφι θαλάσσια ἔργα μεμήλει.

Εκγόνων δρυός.] Αρκὰς ὁ Διὸς, ἢ Απόλλωνος παῖς, καὶ Καλλιστοῦς, τῆς Λυκάονος θυγατρὸς, ὥς φησι Χάρων ὁ Λαμψακηνὸς, κυνηγῶν ἐνέτυχε τινὶ τῶν Αμαδρυάδων νυμφῶν κινδυνευούσῃ, καὶ μελλούσῃ φθαρῆναι ὑπὸ χειμάῤῥου τοῦ ποταμοῦ ἐν τῇ δρυΐ, ἐν ᾗ γεγονυῖα ἦν ἡ νύμφη, καὶ ἀνέστρεψε τὸν ποταμὸν, καὶ τὴν γῆν χώματι ὠχύρωσεν. ἡ δὲ νύμφη [6] Χρυσοπέλεια τὴν κλῆσιν κατ' Εὔμηλον, συνελθοῦσα αὐτῷ γεννᾷ Ελατον, καὶ [7] Αφείδαντα, ἐξ ὧν εἰσὶν οἱ Αρκάδες, ὥς φησι καὶ Απολλώνιος.

[8] Αλλ' ἤγε πατέρος ἑοῖο (τοῦ Αρκάδος) κενεὴν ἤνεσεν ἀμπλακίην,
Αρκαδίδης· ὁ γὰρ οἶος ἐν οὔρεϊ δένδρεα τέμνων,
Δή ποτ' Αμαδρυάδος νύμφης ἀθέριξε λιτάων,
Η μιν ὀδυρομένη ἀλινῷ μεμλίσσετο θυμῷ.

ἢ ὅτι Αγαπήνωρ ἀπὸ Δρύοπος εἶχε τὸ γένος, ὁ δὲ Δρύοψ υἱὸς Απόλλωνος καὶ Δίας, τῆς Λυκάονος· ταύτῃ γὰρ συνελθὼν Απόλλων, ἔγκυον ἐποίησεν· ἡ δὲ τεκοῦσα τὸ βρέφος, ἔκρυψε δρυὸς στελέχει, ὅθεν καὶ Δρύοψ ἐκλήθη, καὶ ἐξ αὐτοῦ Δρύοπες, οἱ περὶ Παρνασὸν, ὥς φησιν Ηλιος,

Δίᾳ Θειοδάμαντος, ὃν ἐν Δρυόπεσσιν ἔπεφνε.

EMENDATIONES.

1 Θεάνειραν pofui, pro Θεάνιραν, ex emendatione Nic. Gerbelii, confentiente etiam Sold. & Grav. Et paulo ante dixit Scholiaftes, Hefionem vocatam fuiffe Theaniram. Sed Θεάνειραν habet Bar. * Hæc addo ex Bar. & Grav. 2 Θηριοβρώτους, pro θηριοβρότους, ex utroque MSS. 3 Αἰγέσταν hic, & paulo poft refcripfi, pro Αἰγέστην, Ægeftes enim fecundum nonnullos, et nunquam (quod fcio) Ægetes, dictus eft Crimiffi ex Phœnodamantis filiâ filius. Αἰγεστῆ Sold. & linea fequente Αἰγέσταν. Εγέσταν Bar. & Grav & linea fequente Εγέσταν. Et Egeften, atque Egeftam nonnulli dicunt. quos alii Ægeften, & Ægeftam: alii Aceften, & Aceftam alii Segeften, & Segeftam appellare folent. 4 Τῷ κήτει λέγει Impreff. Ego λέγει delevi, Codd. MSS. fecutus. 5 Σκορπίον δὲ νῦν Impreff. Ego νῦν delevi, ex fide omnium MSS. * Hæc interferui ex Bar. & Grav. 6 Χρυσοπέλεια lego, ex Sold. Χρυσοπέλειαν Bar. & Grav. Περιστερίνη Impreff. 7 Αμφιδάμαντα Grav. 8 Sic emendavi hunc locum. Αλλ' ἤγε τοῦ Αρκάδος πατέρος ἑοῖο κενεὴν ἤνεσεν Impreff. Αλλ' ἤγε πατέρος τοῦ Αρκάδος ἑοῖο τίσεν μὲν Sold. Verfum quidem reftituit Nic. Gerbelius, fed τοῦ Αρκάδος (quod certe non erat prætereundum) omifit.

Λυκαινομόρφων, Νυκτίμου κρεοκτόμων,	Lupiformium, Nyctimi sectorum,
Τῶν [a] πρόσθε [b] μήνης [c] φηγίνων [d] πύρνων ὀχὴν	Fagineorum ante Lunam panum cibum
[e] Σποδῷ κατ' ἄκρον χεῖμα θαλψάντων πυρὸς,	In cinere per hyemem summam foventium,
[f] Χαλκωρυχήσει, καὶ τὸν ἐκ βόθρου σπάσει	Æs effodiet, ac glebam evellet
Βῶλον, δικέλλῃ πᾶν [g] μεταλλεύων γνύθος.	Ex fovea, ligone specum omnem scrutans:
Οὗ [h] φίτυν ἠνάριξεν [i] Οἰταῖος [k] σίνυξ,	Cujus Patrem occidit dens Oetæus,
Βουβῶνος [l] ἐν τόρμαισι [m] θρυλίξας δέμας.	Inguinis in vertibulis lacerans corpus.

VARIANTES LECTIONES.

a Πρόσθεν cum ν finali Bar. idque in Scholiis repetit. b Al. μήνης. c Φηγίνων Bar. d Πύργων Bar. eandemque lectionem in Scholiis tuetur. e Σποδῷ Sold. aliique σποδῷ Bar. σποδοῖ al. f Al. χαλκωρυχήσει. g Μεταλλεύων Sold. h Φίτυν Bar. eandemque lectionem in Scholiis habet. i Οἰταῖος Bar. k Σίνυξ Sold. l Al. ἐν τόρμαισι al. ἰσθμαισι. m Θρυλίξας Sold. Θρυλλίξας Bar.

481. Λυκαινομόρφων.] κακῶς ἔφη. λυκομόρφων γὰρ ὤφειλεν εἰπεῖν. οὐ γὰρ λύκαιναι, ἀλλὰ λύκοι γεγόνασιν οἱ Λυκάονος παῖδες, κατὰ τοῦτον. Ἡ δὲ ἱστορία τοιαύτη· [1] Πελασγὸς ἦν παῖς τοῦ Διὸς καὶ Νιόβης, οὗ καὶ Λυκάων παῖς ἐκ Μελιβοίας κόρης, εἴτουν Κυλλήνης, [2] ὥς φασιν ἄλλοι. Πάλιν ἐστὶ κατὰ τοὺς βασιλεῖς τῶν Ἀρκάδων,

[3] Πολλαῖς γάμοισι δέδοικε πεντήκοντα παῖς,
Ἀλλ' ἀσεβεῖς βλάστημα τῶν τέκνων ἔφυ.

ὧν ἦν Μαίναλος Θεσπρωτὸς σὺν Νυκτίμῳ, Καύκων, Λύκος, [4] Φθῖός τε, καὶ Τελέβοας, Αἵμων, Μαντίνους, Στύμφαλός τε, καὶ Κλείτωρ, Ὀρχομενός τε, καὶ ἕτεροι. οἳ πάντες, ὡς ἔφην, ἐνίκων ἀσεβείᾳ, καὶ ὑπερηφανίᾳ. Ζεὺς δ' εἰκασθεὶς ἀνδρὶ χερνήτῃ, παραγίνεται αὐτοῖς. οἱ δὲ καλέσαντες αὐτὸν ἐπὶ ξενίᾳ, σφάξαντες ἕνα παῖδα τῶν ἐπιχωρίων, καὶ τὰ σπλάγχνα συμμίξαντες, παρέθεντο τῇ τραπέζῃ. Ζεὺς δὲ μυσαχθεὶς, τὴν μὲν τράπεζαν ἀνέτρεψεν, ὅθεν νῦν ὁ τόπος Τραπεζοῦς ἐν Ἀρκαδίᾳ καλεῖται· Λυκάονα δὲ, καὶ τοὺς υἱοὺς κεραυνοῖ, πλὴν Νυκτίμου τοῦ νεωτέρου. Νυκτίμου δὲ τὴν βασιλείαν λαβόντος, ὁ ἐπὶ Δευκαλίωνος γέγονε κατακλυσμὸς διὰ τὴν τῶν Λυκάονος παίδων ἀσέβειαν. Ἄλλως· Ὁ Ζεὺς ἐπιξενωθεὶς τῷ Λυκάονι εἱστιᾶτο, οἱ δὲ τούτου υἱοὶ ἀπόπειραν ποιούμενοι εἰ θεός ἐστι, κρεανομήσαντες Νύκτιμον, καὶ τὰ τούτου κρέατα συμμίξαντες τοῖς ἄλλοις κρέασι, παρέθεσαν τῷ Διΐ. ὁ δὲ ὀργισθεὶς ἀνέτρεψε τὴν τράπεζαν, ὅθεν καὶ Τραπεζοῦς πόλις ἐστὶν ἐν Ἀρκαδίᾳ, τοὺς δὲ Λυκάονος παῖδας ἀνεῖλε κεραυνῷ, καὶ τὴν Ἀρκαδίαν συνεχῶς ἐκεραύνωσεν, ἕως ἡ Γῆ προσκαλοῦσα τὸν Δία, τὴν χεῖρα ἐξέτεινε. διὸ φασὶ πρώτως ἐν Ἀρκάσιν ἐκεχειρίαν γενέσθαι. ἐνίους δὲ τῶν Λυκάονος παίδων εἰς λύκους μετέβαλεν, ὡς ὁ Λυκόφρων, οὐκ οἶδα πῶς, ἔφη λυκαινομόρφους γονάς, εἰ μή που εἶδος ἀντὶ εἴδους ὤφειλεν εἰπεῖν, ἀντὶ τοῦ ἀρκτομόρφων. Καλλιστὼ γὰρ, ὡς λέγουσιν, ἡ Λυκάονος θυγάτηρ, συνθηρευτὶς ἦν Ἀρτέμιδι, [5] ἣ Ζεὺς, εἰκασθεὶς Ἀρτέμιδι, συνευνάζεται· ἄρκτον δὲ ταύτην ποιεῖ, διὰ τὸ λαθεῖν τὴν Ἥραν, ἐξ ἧς ὁ Ἀρκὰς ἐγεννήθη. ἐκ ταύτης δὲ τῆς σπορᾶς καλεῖται καὶ ὁ Ἀγαπήνωρ. Νυκτίμου κρεανόμων.] καὶ τοῦτο λῆρος τῶν Λυκόφρονος λόγων, οὐ γὰρ τὸν Νύκτιμον [6] ἐκρεανόμησαν, ἀλλ' ἕτερον ἐπιχώριον παῖδα, ὡς φησιν Ἀπολλόδωρος, καὶ ἕτεροι.

482. Τῶν πρόσθε μήνης.] πρῶτον τοῦτο σκόπει, ὅτι καὶ τὰ ἐπιρρήματα τὸ ν ἐφελκυστικὸν ἔχουσι, φωνήεντος ἐπιφερομένου, συμφώνου δὲ οὐκέτι, ὥσπερ κἀγὼ γράφω, καὶ τούτου ἕνεκα πολλοῖς τῶν ἀμαθῶν διασύρομαι, τὸ αὐτῶν ἐξάμαρτημα προσαπτόντων ἐμοί. Πρόσθε μήνης φηγίνων πύρνων.] ὅτι προσέληνοι οἱ Ἀρκάδες. ἐτρέφοντο γὰρ πρὸ συνόδου τῆς Σελήνης, πυρὶ ὀπτῶντες τὰς βαλάνους. ἢ ὅτι προσέληνοι, οἱ ὑβρισταὶ λέγονται· προσελεῖν γὰρ, τὸ ὑβρίζειν. ἄλλοι δὲ αὐτοὺς ὡς μωροὺς διαβάλλουσιν, ὡς λέγοντας ἀρχαίους εἶναι, καὶ τῆς σελήνης παλαιοτέρους. Τὸ δ' ἀλληγορικώτερον ἐστὶν οὕτως· [7] Ἀστρολογίαν, καὶ ἐνιαυτὸν, μῆνας, ἰσημερίας, καὶ τὰ τοιαῦτα πάντα Ἀρκάδων βασιλεὺς, ὁ Ἄτλας Λίβυς εὗρεν, καὶ σελήνης * τοὺς μῆνας * συλλογισάμενος, ὕστερον Θαλῆς. Ἄλλοι δέ φασιν, ὅτι Ἀρκάδες θυσίας θεοῖς κατέδειξαν, πρῶτον μὲν, δεύτερον ἵππον λευκὸν, τρίτον δρυὸς φύλλα. ὅθεν ἡ Πυθία,

Πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασι.

484. Χαλκωρυχήσει.] ἐπειδὴ χαλκοῦ πολλὰ μέταλλα ἐστὶν ἐν Κύπρῳ. λέγει οὖν, ὅτι παραγενόμενος ἐξ Ἀρκαδίας ὁ Ἀγαπήνωρ εἰς Κύπρον, χαλκὸν ἐργάσεται. ἐγὼ δὲ φημὶ, ὅτι προσεγενήσονται εἰς Κύπρον, ὅπου χαλκωρύχοι εἰσίν. ἀστεϊσμὸς γὰρ τὸ τοιοῦτον στρατηγὸν γενέσθαι χαλκωρύχον. τὸ δὲ σχῆμα φημὶ κατὰ σύλληψιν, ἢ χαριεντισμόν.

486. * Οὗ φίτυν.] τὸν πατέρα * Ἀγαπήνορος πατὴρ ἦν Ἀγκαῖος. οὗτος ἐπὶ τὸν Καλυδώνιον κάπρον ἐξελθὼν, ἀνῃρέθη ὑπ' αὐτοῦ. Τὸ δὲ πλάτος τῆς ἱστορίας Ὅμηρος φησὶ, καὶ Σωσίστρατος ἐν τοῖς Καλυδωνιακοῖς λέγων, "Ὁ δὲ Καλυδώνιος σῦς, πρότερον περὶ τὴν Οἴτην διατρίβων, ὕστερον ἦλθεν εἰς Αἰτωλίαν, Ἀρτέμιδος μήνιδι, [8] ὅτι οὐκ ἔθυσεν αὐτῇ ὁ Οἰνεύς,

—— Ἄλλοι δὲ θεοὶ δαίνυνθ' ἑκατόμβας.

Οἰταῖος οὖν διὰ τοῦτο.

487. Βουβῶνος τόρμαισι.] τῇ περιφορείᾳ τοῦ βουβῶνος συντρίψας τὸ σῶμα. βουβὼν δὲ ἐστὶν ὁ τοῦ ἰσχίου τόπος. ὃν δὲ φησὶν ὁ σφόνδυλος οὗτος βουβῶνα, οὐκ οἶσθα, ἢ βαρβαρίζοντος καὶ φλυαροῦντος τοῦ ἀνδρὸς, ἢ ἐμοῦ ἀμαθαίνοντος. νῦν μὲν γὰρ ἐν τῷ βουβῶνι φησὶ τὸν Ἀγκαῖον πληγῆναι, ὅτε μετ' ὀλίγον φησὶ, Πλήξας ἀφύκτως σφυρόν. ἐγὼ δὲ πάλιν γελάσω σφυρὸν, [9] τὰ περὶ τὸν ἀστράγαλον μέρη βουβωνόφορον οὖν μὴ γελάσωμεν κατὰ τὸν σφόνδυλον τοῦτον, καὶ ψευδεῖς ἱστορίας μυρίας λέγοντα, καὶ ἑαυτῷ, καὶ οὐ μόνον τοῖς ἄλλοις πολλάκις ἐναντιούμενον, ὡς ἔοικεν, ἀμαθαίνω.

EMENDATIONES.

1 Πελασγὸς, pro Πέλαγος, ex Grav. Nam Lycaon ab Hesiodo, Strabone, Hygino & Eustathio Pelasgi filius vocatur. 2 Sic legere volui, ὥς φασιν ἄλλοι ποίησ. ὥς &c. Impress. Sed ὡς habent MSS. 3 Sic digessi in ordinem hos versus. 4 Φθῖος lego cum Sold. Φθῖος Bar. & Grav. Φθιὸς Impress. 5 Sic legendum arbitror hunc locum, & Jovem assumpta Dianæ forma cum Callisto consuetudinem habuisse. ἣ Ζεὺς ἐκρυφθεὶς συνευνάζεται Impress. ἣ (ᾗ Sold.) Ζεὺς εἰκασθεὶς, Ἀρτέμιδι συνευνάζεται MSS. ubi perversa distinctione sensus corrumpitur. 6 Ἐκρεανόμησαν, pro ἐκρεωνόμησαν, ex omnibus MSS. 7 Ἀστρολογίαν posui, pro ἀστραλόγων, ex Bar. & Grav. & γὰρ delevi, sensu ita exigente. * Ex Bar & Grav. ὡς μηνὸς Sold. * Hæc addo ex Sold. & Grav. eademque in Bar. occurrunt, nisi quod hic pro φίτυν, habent φίτυν. 8 Ὅτι, pro ἔτι. 9 Sic legitur in Bar. & Grav. τὸ περὶ τῆς ἀστράγαλον μέρος Sold. τὰ & deinde μέρη Impress.

488, 489,

Ἔγνω δ' ὁ τλήμων σὺν κακῷ μαθὼν ἔπος,	Cognovit verò miser cum damno discens,
Ὡς ¹ Πολλὰ ᵃ χείλευς, καὶ ᵇ δέπας τ' ἐρείων ποτῶν	Multa inter labrum, & poculentas potiones
ᶜ Μέσῳ κυλίνδει Μοῖρα ᵈ παμμήστωρ βροτῶν.	Gubernatricem volvere Parcam mortalium.
Ὁ δ' αὐτὸς ἀργῷ πᾶς φαληριῶν λύθρῳ	Candido namque tota candicans tabo
ᵉ Στόρθυγξ, διδυμαῖος τὸν ᶠ κλαυσοῦντ' ἠμύνατο,	Setosa bestia, moribunda interfe-cturum est ulta,
Πλήξας ἀφύκτως ἄκρον ὀρχηστοῦ ᵍ σφυρόν.	Certò feriens extremam saltatoris plantam.
Τρίτος δὲ, τοῦ μάρψαντος ἐκ κοίλης πέτρας	Tertius verò, sumentis ex cava petra

VARIANTES LECTIONES.

a Al. χειλεῦς oxyton. b [illegible] Bar. c Al. μέσσῳ. d Παμμήστωρ MSS. uterque, & alii. e [illegible] Seld. f Κλαύοντ' Bar, aliique. g Σφύρον paroxyton. al.

488, 489, 490. Ἔγνω δ' ὁ τλήμων.] λῆρος ἐστὶ καὶ τόδε.

¹ Τῷ γὰρ Σαμίῳ Ἀγκαίῳ στροφὴν
Ἐξῆλθε χρησμὸς, μὴ πιεῖν ἐξ ἀμπέλων.

ὁ γὰρ Ἀγκαῖος, υἱὸς ὢν Ποσειδῶνος καὶ Ἀστυπαλαίας, τῆς Φοίνικος, ἐφύτευσεν ἀμπελῶνα κατὰ Ἀστυπάλην, τὰς [illegible] συνῳκισεν [illegible] μάντεως δέ .. * τις * εἶπεν αὐτῷ τῷ Ἀγκαίῳ, ὡς οὐ πίεται οἶνον ἐκ τούτων. ἐκθλίψας δὲ τὸν ἀμπέλου καρπὸν, ἀπέθλιψεν ὁ Ἀγκαῖος τὸν χυλὸν εἰς κύλικα, ὡς πίεσθαι, καὶ [illegible] τοῦ μάντεως, διεκώλυσε τὴν κύλικα. ὁ δ' ἔφη,

Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

βοῆς δὲ γενομένης, ὡς σῦς λυμαίνεται τὴν χώραν, θεὶς τὴν κύλικα ὁ Ἀγκαῖος, ἐξῆλθεν ἐπὶ τὸν σῦν καὶ ἀνῃρέθη. Οὗτος δὲ ὁ Λυκόφρων ἐπὶ τῶν [illegible], τοῦ Ἀγκαίου, [illegible] Ἀκάστου καὶ Εὐρυθέμιδος, τὸν Ἀγκαῖον * καὶ * περὶ τοῦ Καλυδωνίου συὸς τοῦτο ἐδέξατο. Φασὶ δέ τινες, πρῶτον τὴν Ἀταλάντην ἀκοντίσαι κατὰ τοῦ συός.

492, 493. Διδυμαῖος τὸν κλαυσοῦντ' ἠμύνατο.] εἰ μὲν κλαυσοῦντά ἐστιν, ὡς ἐγὼ γράφω, οὕτως συντακτέον· Διδυμαῖος καὶ [illegible] τὸν κλαυσοῦντα καὶ μέλλοντα κλαίειν αὐτὸν ἠμύνατο καὶ ἐτιμωρήσατο, πλήξας ἀφύκτως τὸ κατὰ τοῦτον Ἀγκαῖον [illegible] ἐκεῖνο. Τὸ δὲ χάριν κλαίοντα, μωρόν ἐστιν. ἐπὶ τῆς Ἀλθαίας· Ἀταλάντη γὰρ αὐτὸν ἀπέξεσεν, Μελέαγρος δὲ τὸν [illegible] πλήξας ἀνεῖλεν. Ἀγκαῖος δὲ [illegible] γενναῖον ἐπιπέσων ἐπ' αὐτόν, ἢ ὅτι ἀνεστραμμένος τὴν πέλεκυν, ὡς πλήξαι αὐτὸν, ἀνῃρέθη πληγεὶς ὑπ' αὐτοῦ. καὶ οὕτω μὲν ἐπ' Ἀλθαίου συντακτέον. ἐπὶ δὲ Μελεάγρου οὕτως, ὃ οὕτω βαθύτερόν ἐστι, καὶ ἐμὸν ἐνθύμημα· Ὁ δ' αὐτὸς στόρθυγξ καὶ [illegible], ἤτοι ὁ χοῖρος, διδυμαῖος [illegible] καὶ κλαυθεὶς, τὸν κλαύοντα, ἤτοι τὸν Μελέαγρον, ἠμύνατο, πλήξας ἀφύκτως ἄκρον σφυρὸν, ἤτοι τὸν ἀστράγαλον καὶ [illegible] τοῦ ὀρχηστοῦ καὶ [illegible] πολεμιστοῦ. [illegible] ὅτι δὲ αὐτὸν ἔπληξεν ὁ χοῖρος περὶ τοὺς πόδας, τοῦτο [illegible], ἀλλὰ χωλεύοντος καὶ [illegible] πάντα φησὶν, ὅτι ἠμύνατο αὐτὸν, [illegible] τοὺς πόδας αὐτοῦ, καὶ ποιήσας αὐτὸν μὴ δύνασθαι [illegible] ἀλλὰ τὸ [illegible] ἀνελὼν γὰρ τὸν [illegible], τῇ Ἀταλάντῃ τὴν κεφαλὴν τοῦ συὸς, καὶ τὸ δέρας, [illegible] χαρίζεται. [illegible] δὲ γενομένης τούτου ἕνεκα [illegible] αὐτοῦ ἀδελφοὺς, καὶ ἐχθροὺς αὐτῷ γενομένους, ἀνεῖλεν. Ἀλθαία δὲ, ἡ τούτου μήτηρ λυπηθεῖσα ἕνεκεν τοῦ συμβάντος τοῖς ἀδελφοῖς, τὴν παρὰ τῶν Μοιρῶν δᾶδα κατέκαυσεν, ἣν ἐτήρει, ὡς συμπεπλεγμένου ἕως τοῦ Μελεάγρου ζωῆς ἀκεραίαν φυλαττομένην. τινὲς δὲ, φυλλάδα ἐλαίας εἶναι, ἣ δᾶδα φασὶν, ἣν ἐν τῷ κόλπῳ φοροῦσα, τοῦ Μελεάγρου ἐν τῇ [illegible] συντέτοκε, καὶ ἐφύλαττεν ἀκεραίαν, ὑπὸ τῶν μάντεων τοῦτο μαθοῦσα, ὡς ἐν ὅσῳ ἂν φυλάττοιτο ἡ φυλλὰς ἀβλαβὴς, ἀβλαβὴς καὶ ὁ Μελέαγρος ἔσται, εἰ δὲ φθαρῇ, καὶ ὁ Μελέαγρος συμφθαρήσεται. ταύτην οὖν [illegible] τὰ πάθη τῶν ἀδελφῶν καλακαύσασα, εἰσῆλθεν ἐν τῷ θαλάμῳ, καὶ νεκρὸν εὑροῦσα τὸν παῖδα, συνέκλεισε καὶ αὐτήν. οὕτως ἐγὼ φημὶ συντάσσειν τὸ Κτανόντα.

494. Τρίτος δὲ.] Αἰγεὺς, ὁ Πανδίονος υἱὸς, ἢ Σκύρου, ἢ, κατὰ τὸν Λυκόφρονα, Φημίου, ὁ καὶ υἱοποιηθεὶς τῷ Πανδίονι, βασιλεὺς Ἀθηνῶν, γαμεῖ πρῶτον ⁵ Μῆταν, τὴν Ὁπλήτου, δεύτερον Χαλκιόπην τὴν Ῥηξήνορος. ὡς δ' ἀλλαχοῦ εὗρον, μίαν ἔσχε γυναῖκα ⁶ Αὐτόχθην, τὴν Περσέως. ὡς δ' οὐκ ἐγένετο τούτῳ παῖς, δεδοικὼς ⁷ Πάλλαντα, Νῖσον, καὶ Λύκον, τοὺς ἀδελφοὺς, ἔρχεται εἰς Πυθὼ περὶ παιδὸς μαντευσόμενος, καὶ ἐδόθη τούτῳ χρησμὸς,

Ἀσκοῦ τὸν προὔχοντα ποδεῶνα, φέρτατε λαῶν,
Μὴ λύσῃς, πρὶν ἐς ἄκρον Ἀθηναίων ἀφίκηαι.

ἀπορῶν δὲ διὰ τὸν χρησμὸν, ἀναχωρεῖται εἰς Τροιζῆνα πρὸς Πιτθέα τὸν χρησμολόγον, καὶ ὃς μαθὼν αὐτὸν ἐποίησε συγγενέσθαι τῇ θυγατρὶ Αἴθρᾳ, τῇ δὲ αὐτῇ νυκτὶ καὶ Ποσειδῶν ἐπλησίασεν αὐτῇ· ἐγκύου δὲ τῆς Αἴθρας γενομένης, ὁ Αἰγεὺς ὑπὸ κοίλην ⁸ πέτραν ἔθετο ξίφος, καὶ ὑποδήματα, ὥς φησι Πλούταρχος, καὶ Καλλίμαχος λέγων,

⁹ Ἔργα δέ μιν Τροζῆνι Κολωραίῃ ὑπὸ πέτρῃ
Θῆκε σὺν ἀρπίδεσσι ——————

Καὶ αὐτὸς μὲν ἀποδημεῖ πρὸς Ἀθήνας, τῇ δὲ Αἴθρᾳ ἐντέλλεται, ἐὰν υἱὸς ἐξ αὐτῆς γεννηθῇ, δεῖξαι αὐτῷ τὴν πέτραν, καὶ λαβόντα τὸ ξίφος, καὶ ἐνδυσάμενον τὰ ὑποδήματα, ¹⁰ ὅταν αὐτῷ ἐφαρμόσωσι, καὶ δυνηθῇ κινῆσαι τὸ ξίφος, πέμψειν εἰς Ἀθήνας, ὃ καὶ ἐποίησεν αὐξηθεὶς, διὰ γνωρισμὸν τοῦ πατρός.

EMENDATIONES.

¹ Sic restitui, & in ordinem digessi hos versus, quos Codices universi indistinctè & mendosè proferebant. Τῷ Σαμίῳ ἐν Ἀγκαίῳ &c. [illegible] τῷ γὰρ Σαμίῳ Ἀγκαίῳ (& ubique hanc vocem cum duplici γγ scriptam habet) [illegible] ἐξῆλθε χρησμὸς μὴ πιεῖν ἐξ ἀμπέλων &c. Seld. ² Ex omnibus MSS. ³ Ex hanc vocem interserui ex omnibus MSS. a Τειχοῦντα, pro [illegible] Bar. τῷ Σαμίῳ γὰρ [illegible] &c. Seld. ³ Oτι, pro ὅτι, ex omnibus MSS. ⁴ [illegible] MSS. omnes. ⁵ Μήδαν Seld. [illegible] ex omnibus MSS. Sed vulgata lectio mihi retinenda esse videtur, & citari solent hæc Scholiastæ verba ex Bar. & Grav. nisi quod hic [illegible] habeat. Sed vulgata lectio mihi retinenda esse videtur, & citari solent hæc Scholiastæ verba ex Phanodemo. ⁶ Χαλκιόπην Grav. ⁷ Πάλλαντα, pro πάλλαντας, ex omnibus MSS. constructione etiam id exigente. Historiam pete ex Plutarchi Theseo, & Strabonis Geographia, ubi de Athenis agit. ⁸ Πέτραν Grav. ⁹ Ἐν γάρ μιν legendum esse monuit eruditissimus Bentlejus in Fragm. Callimachi, nixus auctoritate Auctoris Etymologici v. Ἀρπίς. ¹⁰ Ὅταν, pro ὅτι, ex Bar. & Grav. ὅτε Seld.

495, 496

Κέλωρ γίγαντος ὅπλα, [a] τοῦ ποτ' εἰς λέχος	Gigantis arma Filius, cujus olim in lectum
Λαθραῖον αὐτόκλητος Ἰδαία [b] πόρτις	Furtivum voluntaria Idæa Juvenca
[c] Ἡ ζῶσ' ἐς ᾅδην ἵξεται καταιβάτις,	Veniet, ad inferos viva descendens,
Θρηνοῦσιν [d] ἐντακεῖσα Μουνίτου τύχας,	Lacrymis tabefacta mater Muniti,
Ὃν δή ποτ' [e] ἀγρώσσοντα Κρηστώνης ἔχις	Quem aliquando venantem Thracia vipera
Κτενεῖ, πατάξας πτέρναν ἀγρίῳ βέλει,	Occidet, aspero feriens calcem spiculo,
[f] Ὅταν τεκόντος αἰχμάλωτος ἐς χέρας	Quando parentis in manus captiva
Ἡ παππομήτωρ ἔλθῃ [g] δνόφῳ τεθραμμένον	Avia nutritum in tenebris

VARIANTES LECTIONES.

a Τὸν Bar. aliique. b Al. πόρις. c ἵξει legendum putavit Auratus. Vide Canteri Annotationes. d Ἐκτακεῖσα Seld. & alii. e Ἀγρώσσοντα Κρηστῶνος Seld. f Ὅτ' ἂν Seld. g Γνόφῳ MSS. uterque & alii.

495, 496. Κέλωρ.] υἱὸς τοῦ Γίγαντος Θησέως, τοῦ μάρψαντος τὰ ὅπλα, δηλονότι τοῦ Αἰγέως, ἐκ τῆς κοίλης πέτρας. ἢ ὁ κέλωρ, ὁ υἱὸς, τοῦ Θησέως, τοῦ μάρψαντος καὶ λαβόντος τὰ ὅπλα τοῦ γίγαντος, ἤτοι τοῦ Αἰγέως, ὅπερ βέλτιον· ὁ γὰρ Αἰγεὺς Ἀθηναῖος καὶ γηγενὴς ἀπὸ Ἐρεχθέως. τινὲς δὲ καὶ ἕνα τούτων λέγουσι τῶν ἀναδοθέντων ἀπὸ τῶν ὀδόντων τοῦ δράκοντος τῶν ἐν Θήβαις, ὡς καὶ Ἀνδροτίων. Τοῦτον δὲ λέγει ἀπελθεῖν τὸν Ἀκάμαντα, τὸν τοῦ Θησέως παῖδα, ἐν Κύπρῳ, ἀφ' οὗ καὶ ὄρος καλεῖται Ἀκάμας· φασὶ δέ τινες, οὐ μόνον Ἀκάμαντα, ἀλλὰ καὶ Δημοφῶντα, τὸν αὐτοῦ ἀδελφὸν, ἀπελθεῖν εἰς Κύπρον. Τοῦ ποτ' εἰς λέχος.] ἀντίπλοκος, οὗ ποτ' εἰς λέχος λαθραῖον ἵξεται, τοῦ Ἀκάμαντος δηλονότι, ἡ Ἰδαία πόρτις καὶ δάμαλις, ἤτοι ἡ Λαοδίκη. Διομήδης γὰρ, καὶ Ἀκάμας ὁ Θησέως, πρὸ τοῦ ναυστολῆσαι τοὺς Ἕλληνας, ἀπεσταλμένοι πρὸς τοὺς Τρῶας διὰ τὴν Ἑλένην. ἐρασθεῖσα δὲ Λαοδίκη, ἡ τοῦ Πριάμου θυγάτηρ, Ἀκάμαντος, ἐμίγη αὐτῷ, καὶ ἔτεκεν υἱὸν Μούνιτον κληθέντα. φοβουμένη δὲ, δίδωσι τὸ βρέφος Αἴθρᾳ, τῇ τοῦ Θησέως μητρὶ, ἤτοι τῇ μάμμῃ τοῦ Ἀκάμαντος, ἀνατρέφειν αὐτὸ· συνῆν καὶ τῇ Ἑλένῃ ἐν τῇ Τροίᾳ [1] ἡ Αἴθρα, ἐξ Ἀθηνῶν ἁρπαγεῖσα παρὰ τῶν Διοσκούρων, δι' ἃ μέλλει ἐρεῖν· πάλιν δὲ ἁρπαγείσης τῆς Ἑλένης ὑπ' Ἀλεξάνδρου, [2] ἑκοῦσα συνείπετο καὶ αὐτὴ, μᾶλλον δὲ ἡ Αἴθρα αὐτὴ ἔπεισε τὴν Ἑλένην Ἀλεξάνδρῳ ἀκολουθῆσαι. ταύτῃ οὖν τῇ Αἴθρᾳ τὸν Μούνιτον ἔδωκεν ἀνατρέφειν ἡ Λαοδίκη, ἡ δὲ γνοῦσα τὸν ἐγγονὸν αὐτῆς * εἶναι * Ἀκάμαντος τὸ παιδίον, λαβοῦσα ἀνέθρεψεν. ἁλούσης δὲ τῆς Τροίας ἀναγνωρισθεῖσα Ἀκάμαντι, ἀπῇρε μετ' αὐτοῦ, κομίζουσα καὶ τὸν Μούνιτον. περὶ * δὲ τὴν * Θρᾴκην περιαγνομένην, καὶ κυνηγετοῦντα, ὄφις δακὼν τὸν Μούνιτον ἀνεῖλεν, ὡς φησὶν Εὐφορίων,

> Ἢ οἱ Μούνιτον υἷα τέκε πλυνοῖσιν ἐπὶ ὕδρῃ,
> Ἀλλὰ ἑ Σιθονίη τε, καὶ ἐν κνήμοισιν Ὀλύνθου,
> Ἀγρώσσοντ' ἅμα πατρὶ πολυθείων ἔκτανεν ὕδρος.

Καὶ ταῦτα μὲν οὕτως. Ἡ δὲ ἔννοια τοιαύτη· Τῶν πέντε, ὧν εἶπε μέλλειν ἀπελθεῖν εἰς Κύπρον, πρῶτος ἀπελεύσεται ὁ Ἀκάμας, ὁ τοῦ Θησέως παῖς, τοῦ τὰ ὅπλα λαβόντος τοῦ Αἰγέως ἐκ τῆς πέτρας. ὁ γὰρ Ἀκάμας ὀλίγαις ναυσὶ προσέσχε Θρᾳξὶ Βισάλταις, καὶ ἐρᾷ τούτου Φυλλὶς, ἡ θυγάτηρ τοῦ ἐκεῖ βασιλέως, καὶ ὁ πατὴρ αὐτὴν ἐγγυᾷ ἐπὶ προικὶ τῇ βασιλείᾳ. Ἀκάμας δὲ βουλόμενος ἐλθεῖν εἰς τὴν πατρίδα, πολλὰ δεηθεὶς [3] παρὰ Φυλλίδος, καὶ τὴν ἐκείνης, ὀμόσας ἀντιστρέψειν, ἐξέρχεται. καὶ Φυλλὶς αὐτὸν προπέμπει ἄχρι τῶν καλουμένων Ἐννέα ὁδῶν, καὶ δίδωσιν αὐτῷ κιβώτιον, εἰποῦσα ἱερὸν * εἶναι * τῆς μητρὸς Ῥέας, καὶ μὴ ἀνοίγειν αὐτὸ, εἰ μὴ ὅταν ἀπελπίσοι τὴν πρὸς αὐτὴν ἄνοδον. ὁ δὲ ἐλθὼν εἰς Κύπρον, ἐκεῖ κατῴκει. καὶ χρόνου διελθόντος ἡ Φυλλὶς ἀρὰς θεμένη [4] κατὰ Ἀκάμαντος, ἑαυτὴν ἀναιρεῖ. Ἀκάμας δὲ τὸ [5] κιβώτιον ἀνοίξας, [6] φάσματι κρατηθεὶς, ἄνεισιν ἐπὶ τὸν ἵππον, καὶ τοῦτον ἐλαύνων ἀτάκτως, ἀπόλλυται· τοῦ γὰρ ἵππου σφαλέντος ἐκ τῶν ὀπισθίων μερῶν κατενεχθεὶς, τῷ αὐτοῦ ἐμπήγνυται ξίφει. οἱ δὲ ὑπ' αὐτὸν κατῴκησαν ἐν Κύπρῳ. Πόρτις.] πόρτις, ἡ δάμαλις, καὶ ἐκβολῇ τοῦ τ, καὶ προσθέσει τοῦ ρ, πόρρις. καὶ ἔστιν ὁ στίχος χωλίαμβος, ὁ πάθος ἐπὶ τοῦ ἰαμβικοῦ μέτρου. οἱ δὲ μεταχαρεῖς, οἳ καὶ αὐτὸς ὁ ποιητὴς Λυκόφρων, διὰ ἑνὸς ρ γράφοντες, ἀμαθεῖς γραμματικῆς τέχνης φαίνονται, καὶ προσέτι καὶ μετρικῆς, ὡς ἀγνοήσαντες, ὅτι καὶ ὁ χωλίαμβος ὑπὸ τὸ ἰαμβικὸν μέτρον τέτακται. κρεῖττον δὲ χωλεύειν καὶ σκάζειν τὸν πόδα, ἢ καθ' ὁλοκληρίαν τὸν λόγον εἶναι ἀμαθέστατον. Πόρριν δὲ καὶ δάμαλιν λέγει τὴν Λαοδίκην, ἀλληγορικῶς.

497. Ἡ ζῶσ' ἐς ᾅδην.] [7] φεῦ, ὦ Λυκόφρων, πῶς ἀνακόλουθα γράφεις,

> Ἐναντία σύμπασι, καὶ σαυτοῦ πλέον;
> Ἄνω γὰρ εἰπὼν σαῖς γραφαῖς [8] μεγακρότοις,
> „ Ὧν τὴν μὲν αὐτίκ' ἀσπίμενον ἡ τεκοῦσα χόνις,
> „ Κευθμῷ χανοῦσα χείσεται διοσφαγος,
> „ Λεύσσουσαν ἄτην ἀγχίπουν συναιμάτων,
> Ἡγουν [9] χαράδρᾳ συμπεσεῖται, καὶ θανεῖν,
> Ὅταν τὸ καλλίπυργον Ἰλίου πέδον
> Ἑλλὴν στρατὸς πέρσειεν οὐδενεῖ κράτει.
> Ταῦτα πρὶν εἰπὼν, νῦν ἐναντίως λέγεις,
> Τὴν γὰρ θανοῦσαν πρὶν, πεσοῦσαν χαράδρᾳ,
> Αὖθις ἀνιστᾷς, καὶ νεκροῖς αὐτὴν πάλιν,
> Θνήσκουσαν, ὡς φῄς, συμφοραῖς τοῦ Μουνίτου,
> [10] Θρήσσης ἐχίδνης [11] προσβολῇ τεθνηκότος.

499. Κρηστώνη.] ἡ Θρᾴκη, ἀπὸ τῆς Κρηστώνης, Ἄρεος καὶ Κυρήνης θυγατρὸς.

502. Δνόφῳ.] ἀντὶ τοῦ γνόφῳ, Δωρικῶς. οἱ γὰρ Δωριεῖς ἀντὶ τοῦ γ, δ τιθέασιν.

EMENDATIONES.

1 Sic distinguo. Ἡ Αἴθρα ἐξ Ἀθηνῶν, ἁρπαγεῖσα παρὰ τῶν &c. Impress. 2 Ἑκοῦσα, pro ἑκουσία, ex Seld. Non minus recte ἑκουσίως Bar. & Grav. Est enim Euripideum, τὸ ἐφ' ἡμῶν γινόμενον, μηδενὸς ἔξωθεν ἀναγκάζοντος, ἀλλ' τὸ θελήσει φυσικῇ ποιούμενον. Ἑκὼν δὲ, ὁ θελήσει φυσικῇ τι ποιῶν. * Ex omnibus MSS. * Ex Bar. & Grav. & δὲ habet Seld. 3 Παρὰ, pro περὶ, & alibi sæpe. Sic autem hunc locum distinguo ex utroque MSS. Φυλλίδος καὶ τῶν ἐκείνης ὁμόσας, ἀντιστρέψειν ἐξέρχεται Impress. * Ex omnibus MSS. 4 Ἀρὰς θεμένη κατὰ Ἀκάμαντος, pro ἀρὰς θεμένη, καὶ τὰ Ἀκάμαντος, ex fide omnium MSS. 5 Κιβώτιον, pro κιβώτιον, ex omnibus MSS. & emendatione Nic. Gerbelii. 6 Φάσματι, pro φαύματι, ex omnibus MSS. 7 Mecum legit Bar. nisi quod pro Λύκοφρον, habeat Λυκόφρων. At ὦ πῶς Λύκοφρον Impress. & Grav. οὐκ ἀπέλιπε habet. 8 Malim μεγακρότοις cum Bar. & Grav. μακροτέλεις Seld. 9 Χαράδρα, & paulo post χαράδρα Impress. χαράδρᾳ MSS. uterque. 10 Θρήσσης, pro Θρήσσης, ex omnibus MSS. 11 Περιβολαῖς Seld. & Grav.

[a] Βάλῃ νεογνὸν σκύμνον· ᾗ μάνῃ ζυγὸν
Δούλειον [b] ἀμφήρεισαν Ἀκταίων λύκοι,
Τῆς ἁρπαγείσης ἀντίποινα Θυάδος·
Ὧν ὀστράκῳ στρόβιλος ἐντετυμμένος
[c] Κόρσην σκεπάσει, ῥῦμα φοινίου δορός·
Τὰ δ' ἄλλα [d] θριπόβρωτος [e] ἄψαυστος δόμων
Σφραγὶς δοκοῖσι τηρήσει, θάμβος ἐγχώροις μέγα·
Ἃ δὴ πρὸς ἄστρων κλίμακας στήσει δρόμον
Τοῖς ἡμιθνήτοις διπτύχοις Λαπερσίοις·

Catulum injecerit recentem: cui soli jugum
Servile impresserunt Atheniensium prædones,
Raptæ ultionem Bacchæ:
Quorum caput ovalis testæ hemisphærium
Operiet, hastæ cruentæ propugnaculum:
Reliqua porrò vermiculatum non tangens ædes
Sigillum servabit, magnum incolis miraculum:
Id quod ad astrorum gradus muniet viam
Semideis geminis Lapersiis:

VARIANTES LECTIONES.

a Βάλλῃ *Sold.* b Ἀμφήρισαν *Sold.* c Al. κόρσην. d Al. θριπόβρωτος. e Ἄψαυστα *Bar.*

503, 504. Ἡ μάνῃ ζυγὸν.] Πειρίθους, καὶ Θησεύς, ὁ μὲν Διὸς ὤν, ὁ δὲ Ποσειδῶνος, φιλίαν ποιησάμενοι, ἁρπάσαι συνέθεντο Διὸς θυγατέρα· ἁρπάσαντες γοῦν τὴν Ἑλένην, παρατίθενται ἐν [1] Ἀφίδναις τῆς Ἀττικῆς Αἴθρᾳ, τῇ Πιτθέως μὲν θυγατρί, μητρὶ δὲ Θησέως. Κάστωρ δέ, καὶ Πολυδεύκης οἱ Διοσκορίδαι, οἱ τῆς Ἑλένης ἀδελφοί, πορθήσαντες τὴν Ἀττικὴν διὰ τὴν ἁρπαγὴν τῆς Ἑλένης, Αἴθραν λαμβάνουσιν αἰχμάλωτον πρὸς αἰσχύνην αὐτοῦ· † ἁρπαγείσης δὲ πάλιν τῆς Ἑλένης ὑπ' Ἀλεξάνδρου, [2] συναπῆρεν αὐτῇ καὶ ἡ Αἴθρα ἐπὶ Τροίαν. καὶ Ὅμηρος,

Αἴθρη Πιτθῆος θυγάτηρ, Κλυμένη τε βοῶπις.

[3] ὅθεν καὶ αὐτὴν αἰχμάλωτον εἶπεν, ὡς αἰχμαλωτισθεῖσαν ὑπὸ τῶν Διοσκούρων, εἰς ἀντίποινον τῆς ὑπὸ Θησέως ἁρπαγῆς τῆς Ἑλένης. Ὁ δὲ νοῦς οὕτως· Ὅτε ἡ Αἴθρα μετὰ τὴν καθαίρεσιν τῆς Ἰλίου τῷ παιδὶ Ἀκάμαντι Μούνιτον δῷ, τότε ὁ Μούνιτος ἐν Θρᾴκῃ ἀποθανεῖται. Ἀκταίων λύκοι.] οἱ τῶν Ἀθηνῶν ἅρπαγες καὶ πορθηταί, λέγει δὲ τοὺς Διοσκούρους. Ἀκτὴ δὲ ἐκαλεῖτο ἡ Ἀττική, ἢ ἀπ' Ἀκταίωνος βασιλέως, ἢ ὅτι τὸ πλεῖον μέρος τῆς Ἀττικῆς, ἀκτή, [4] ἤτοι παραθαλάσσιον, ἐστίν.

506. Ὧν ὀστράκῳ στρόβιλος.] ἐρρέθη πάλαι, ὅπως ὁ Ζεὺς κύκνῳ ὁμοιωθείς, ἐξ ᾠοῦ, ὥς λέγουσι, τούτους γεννᾷ· ὧν ἑκάτερος τὸ ἥμισυ τοῦ ὀστράκου τοῦ ᾠοῦ περικεφαλαίαν ἐχρῆτο. Στρόβιλος δέ, τὸ περιφερὲς ἀπότομον τοῦ ᾠοῦ.

507. [5] Κόρσην.] κόρση κυρίως ἡ μῆνιγξ λέγεται, νῦν δὲ τὴν κεφαλὴν φησίν, ὡς καὶ Ἐμπεδοκλῆς ἐν τῷ περὶ Νείκους,

Ὡς πολλῶν μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν.

508, 509. Τὰ δ' ἄλλα θριπόβρωτος.] θρίψ, ὁ σκώληξ, ὃς ἐγγίνεται τοῖς ξύλοις. πρὶν γὰρ εὑρεθῆναι τὰς σφραγῖδας, οἱ παλαιοὶ ἐσφράγιζον ξύλοις ὑπὸ θριπῶν βεβρωμένοις, διὰ τὸ αὐτὰ πολυκέντητα εἶναι. Ὁ δὲ νοῦς· Μόνην τὴν Αἴθραν δουλώσαντες καὶ αἰχμαλωτίσαντες ἀντίποινα τῆς Ἑλένης, [6] τὴν ὅλην Ἀττικήν, ὥσπερ ἐσφραγισμένην θριποβρώτῳ σφραγῖδι, [7] περιδραμοῦνται. οἱ γὰρ Διόσκουροι κατὰ Θησέως στρατεύσαντες ἕνεκεν τῆς ἁρπαγῆς τῆς Ἑλένης, ἐφείσαντο πάντων τῶν ἐν τῇ πόλει πλὴν μόνης τῆς Αἴθρας, διὸ καὶ θαυμάσαντες αὐτοὺς οἱ Ἀθηναῖοι, Ἄνακτας, ἤτοι θεοὺς καὶ σωτῆρας, ἐκάλεσαν.

510. Ἃ δὴ πρὸς ἄστρων κλίμακας.] ἅτινα εὐεργετήματα, ἃ περὶ τοὺς Ἀθηναίους οἱ Διόσκουροι ἐνεδείξαντο, ἀποθεώσουσιν αὐτοὺς καὶ καταστερισθήσονται τοῖς ἄστροις· οἱ γὰρ Δίδυμοι εἰς τιμὴν τῶν Διοσκούρων κατεστηρίχθησαν, ὡς καὶ Εὐριπίδης φησὶν ἐν Ὀρέστῃ [8] διὰ Ἀπόλλωνος,

Ἡ δ' ἐστίν, ἣν ὁρᾶτ' ἐν αἰθέρος πτυχαῖς,
[9] Σεσωσμένη τε, κοὐ [10] θανοῦσα πρὸς σέθεν.
Ἐγώ νιν ἐξέσωσα, [11] κἀπὸ φασγάνου
Τοῦ σοῦ κελευσθεὶς ἥρπασ' ἐκ Διὸς πατρός.
Ζηνὸς γὰρ οὖσαν, ζῆν νιν ἄφθιτον χρεών.

Καί μετ' ὀλίγα,

——————————— [12] Ἐγὼ
Δ' Ἑλένην Δίος μελάθροις πελάσω,
[13] Λαμπρῶν ἄστρων πόλον ἐξανύσας,
Ἔνθα παρ' Ἥρᾳ, τῇ θ' Ἡρακλέους
Ἥβῃ πάρεδρος, θεὸς ἀνθρώποις
Ἔσται, σπονδαῖς ἔντιμος ἀεί,
Σὺν [14] Τυνδαρίδαις, τοῖς Διὸς υἱοῖς,
Ναύταις, μεδέουσα θαλάσσης.

511. Τοῖς ἡμιθνήτοις.] ἡμιθνὴς, καὶ ἡμίθνητος διαφέρει· Ἡμιθνὴς γὰρ λέγεται, ὁ ψυχορραγῶν, καὶ ἤδη τὸ ἥμισυ θανών. Ἡμίθνητος δέ, ὁ τὸ ἥμισυ ἔχων θνητόν, καὶ τὸ ἥμισυ ἀθάνατον, ἤτοι ἡμίθεος· ἢ ὁ ἡμέραν ὢν ἐν τοῖς ζῶσι, καὶ ἡμέραν ἐν τοῖς νεκροῖς, ὡς οἱ Διόσκουροι· Ἡ δὲ ἱστορία τοιάδε· Ὑακίνθου ἀδελφὸς Κυνόρτης, Κυνόρτου δὲ παῖς Περιήρης· ὃ καὶ Γοργοφόνης τῆς Περσέως, κατὰ Στησίχορον, Τυνδάρεως, Ἰκάριος, Ἀφαρεύς, καὶ Λεύκιππος. Ἀφαρέως καὶ Ἀρήνης τῆς Οἰβάλου, ἢ Ἀρήνης τῆς Αἰόλου, Λυγκεὺς καὶ Ἴδας. Λευκίππου καὶ Φιλοδίκης τῆς Ἰνάχου, Φοίβη καὶ Ἱλάειρα. Ἰκαρίου καὶ Περιβοίας * τῆς * Ναΐδος, υἱοὶ πέντε καὶ Ὀδυσσέως γυνὴ Πηνελόπη. Τυνδάρεω καὶ Λήδας, Τιμάνδρα, ἣν Ἔχεμος ἔγημε, καὶ Κλυταιμνήστρα, κατά τινας καὶ Ἑλένη, σὺν Κάστορι, καὶ Πολυδεύκῃ. καθ' ἑτέρους δέ, οὗτοι Διὸς ὑπῆρχον, οἳ καὶ Φοίβην, καὶ Ἱλάειραν ἁρπάσαντες ἔγημαν. Καὶ Πολυδεύκους μὲν καὶ Φοίβης γίνεται παῖς Μνησίλεως, ἢ Μνησίνοος, καὶ Ἀσίνεος. Κάστορος δὲ καὶ Ἱλαείρας, Ἀνώγων, ἢ Ἄναξις, καὶ Αὐλωθός. ταύτας δὲ οἱ Διόσκουροι ὄντες ἀπὸ Μεσσήνης ἁρπάσαντες ἔγημαν.

EMENDATIONES.

1 Ἀφίδναις posui, pro Ἀθήναις ex omnibus *MSS.* Non enim Athenis, sed Aphidnis dicuntur Theseus & Pirithous raptam ex Sparta Helenam apud Æthram, Thesei matrem, deposuisse. 2 Συναπῆρεν, pro συναπῇρεν, ex *MSS.* utroque. 3 Sic lego ex *Sold.* ὅθεν αὐτὴν καὶ αἰχμάλωτον εἶπεν, ὡς καὶ αἰχμαλωτισθεῖσαν *Impress.* 4 Ἤτοι, pro εἴ τι, ex *MSS.* omnibus. 5 Sic lego ex *Sold.* Et *Bar.* cum *Grav.* habet κόρσην. Quinetiam *Nic. Gerbelius* μῆνιγξ reponendum esse admonuit. Κόρσην.] κόρση κυρίως ὁ μῆνιξ λέγεται *Impress.* 6 Τὴν ὅλην, pro ἀλλ' ὅλην, quod habent *Impress.* Τὴν αὐτὴν *Grav.* 7 Περιδραμοῦσι *Grav.* 8 Διὰ Ἀπόλλωνος substitui, pro δι' Ἑλένης. Non enim Helena, sed Apollo, apud *Euripidem* ea profatur, quæ sequuntur. 9 Σεσωσμένην *Sold.* 10 Θανοῦσαν *Sold.* 11 Κ' ἀπὸ, pro χ' ὑπὸ, ex *Euripide.* 12 Sic restitui versus hosce, qui confusi extabant:

Ἐγὼ δ' Ἑλένην Διὸς μελάθροις πελάσω.

13 Λαμπρῶν *Edit. Euripidis Canteriana.* Non ideo tamen lectionem receptam mutare volui. 14 Τυνδαρίδαις *Euripid.* Ipse tamen receptam lectionem potiorem hoc loco judico. † Ἁρπαγείσης δέ, pro ἥτις ἁρπαγείσης, ex *Grav.* sensu id exigente.

Οὓς μή ποτ᾽, ὦ Ζεῦ σῶτερ, ἐς πάτραν ἐμὴν	Quos nunquam, ô Jupiter Servator, in meam patriam
Στείλαις, ἀρωγοὺς τῆς [a] δυσαρπάγου κρεκός·	Miseris, vindices bis raptæ Crecis:
[b] Μηδὲ πτερωτὰς ὁπλίσαντες ὁλκάδας,	Neque illi alatas armantes naves,
Πρύμνης ἀπ᾽ ἄκρας γυμνὸν [c] αἴθυρον πόδα	E summa puppi nudum pedem celerem
[d] Εἰς Βεβρύκων ῥίψειαν [e] ἐκβατηρίαν·	In Bebrycum projiciant litus.
[f] Μηδ᾽ οἱ λεόντων τῶν δὲ [g] καρτερώτεροι,	Quin nec Leonibus istis fortiores,
Ἀλλὴν ἄμικτοι, τοὺς Ἄρης ἐφίλατο,	Bello intractabiles, quos Mars amat,
Καὶ δὴ [h] Ἐνυώ, καὶ Τειχώνιτος θεά,	Divaque Bellona, ac Tritonia Dea,

VARIANTES LECTIONES.

a Al. Διαρπάγου. Et hanc lectionem habet etiam Bar. b Μὴ δὲ MSS. uterque, cum aliis. c Αἴψηρον Bar. & alii d Ὡς εἰς Βεβρύκων al. Cæterum hic versus sequenti postponitur in Seld. e Al. ἐκβατηρίαν. f Al. μὴ δ᾽. g Al. καρτερώτεροι. h Ἐνυὼ Bar.

ἐλάσαντες δὲ καὶ μετὰ Ἴδα καὶ Λυγκέως βοῦς Ἀρκαδικὰς, μερίζειν [1] ἐπιτρέπουσι τῷ Ἴδᾳ, ὃς τεμὼν βοῦν εἰς δ᾽ μέρη, τῷ πρώτως εἶπε φαγόντι τὴν ἰδίαν μερίδα εἶναι τὸ ἥμισυ τῶν βοῶν, καὶ τῷ δευτέρῳ τὸ λοιπὸν τῆς ἀγέλης. αὐτὸς οὖν ὁ Ἴδας τὴν ἰδίαν μερίδα κατέφαγε, εἶτα καὶ τὴν τοῦ ἀδελφοῦ, καὶ τὰς βόας ἤλασεν εἰς Μεσσήνην. στρατεύσαντες δὲ οἱ Διόσκουροι, καὶ τὴν ἀγέλην ἐκείνην τῶν βοῶν ἤλασαν, καὶ ἄλλα πολλὰ, κρύψαντες [2] ἐλόχων. Κάστωρ δὲ καὶ Πολυδεύκης ἐκρύβησαν στελέχει δρυὸς. Λυγκεὺς δὲ ἰδὼν Κάστορα, ἐμήνυσεν Ἴδᾳ, ὁ δὲ κτείνει αὐτόν. Πολυδεύκης δὲ διώκων αὐτοὺς, τὸν μὲν Λυγκέα κτείνει δόρατι· ὑπὸ δὲ τοῦ Ἴδα στήλῃ λιθίνῃ ἐκ τοῦ Ἀφαρέως τάφου βληθεὶς τὴν κεφαλὴν, σκοτωθεὶς πίπτει. Ζεὺς δὲ Ἴδαν κεραυνοῖ· Πολυδεύκην δὲ ἀθάνατον ἔμελλε ποιεῖν. ὁ δὲ αἱρεῖται θνήσκειν ἡμέραν, καὶ ἡμέραν ζῆν ὁμοίως τῷ ἀδελφῷ, ἢ καθ᾽ ὁλοκληρίαν εἶναι ἀθάνατος. καὶ ὁ Ζεὺς τοῦτο αὐτοῖς χαρίζεται, ὡς καὶ Ὅμηρος,

> Ἄλλοτε μὲν ζώουσ᾽ ἑτερήμεροι, ἄλλοτε δ᾽ αὖτε
> Τεθνᾶσι, τιμὴν δὲ [3] λελόγχασιν ἶσα θεοῖσι.

Τὴν δὲ ἱστορίαν τῶν Διοσκούρων καὶ Στασῖνος, ὁ τὰ Κύπρια ποιήσας, γράφει,

> ———————— αἶψα δὲ Λυγκεὺς
> Τηΰγετον προσέβαινε ποσὶ ταχέεσσι πεποιθώς,
> [4] Ἀκρότατον δ᾽ ἀναβὰς διεδέρκετο νῆσον ἅπασαν
> Τανταλίδου Πέλοπος, τάχα δ᾽ εἴσιδε κύδιμος ἥρως
> Δεινοῖς ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης,
> Κάστορά θ᾽ ἱππόδαμον, καὶ ἀεθλοφόρον Πολυδεύκεα.

Διπλύχους.] ἔχων πρώτην τὴν ἱστορίαν, ὅτι κατά τινας ἐκ τοῦ ᾠοῦ τρίδυμοι ἐγεννήθησαν, Ἑλένη, καὶ Κάστωρ, καὶ Πολυδεύκης. κατά τινας δὲ, οὐκ ἐκ τοῦ ᾠοῦ, ἀλλ᾽ ἐκ τῆς Λήδας αὐτῆς. καθ᾽ ἑτέρους δὲ, ἐκ τῆς Λήδας μὲν ἐγεννήθησαν Κάστωρ μόνος [5] καὶ Πολυδεύκης, ἐν ἀστέρος μορφῇ μιχθέντος αὐτῇ τοῦ Διὸς, ὅθεν διπλύχους αὐτοὺς λέγει. ὕστερον δὲ τὴν Ἑλένην μόνην φασὶν ἐκ τοῦ ᾠοῦ γεννηθῆναι. Λαπέρσαις.] περὶ τὸ πέρσαι τὴν Λᾶν, πόλιν Λακωνικῆς. ἢ παρὰ τὸ πέρθειν τοὺς λαοὺς, ἤτοι πολεμικοῖς.

513. Δισαρπάγου.] δεύτερον γὰρ ἡρπάγη, ὑπὸ Θησέως πρότερον ἁπλαστὴς, ὥς φησιν Ἑλλάνικος· Δοῦρις δὲ ἀποδοθεῖσαν αὐτὴν φησὶ, τεκοῦσαν τὴν Ἰφιγένειαν, ὡς ὕστερον εἴπομεν πλατυτέρως. καὶ πρότερος μὲν αὐτῆς ἅρπαξ Θησεὺς, δεύτερος δὲ Ἀλέξανδρος. Κρεκὶ.] κρὲξ ὄρνεον ἐστὶ θαλάσσιον, Ἰβιδι ἐοικός, (ἐστι δὲ ἡ Ἶβις περὶ τὴν Αἴγυπτον) ξυνπαροφάγον. Καλλίμαχος δὲ ἐν τοῖς περὶ Ὀρνέων φησὶ, τοῖς [6] γαμοῦσι δυσοιώνιστον εἶναι. καὶ Εὐφορίων ἐν Ἀπολλοδώρῳ, [7] Ποικίλον οὐδὲ μέλαθρον, ὀρχίλος ἔπλε κύζικος, ὃν δ᾽ ἥσσω κακὸν γάμων ἐχθόμενος κρὲξ. Κρεκὶ δὲ τὴν Ἑλένην παρεικάζει, διὰ τὸ δύσγαμον καὶ [8] κακόνυμφον γυναικός.

516. Εἰς Βεβρύκων.] τὴν Τροίαν ποτὲ Βέβρυκες ᾤκησαν, ὅθεν καὶ [9] Βεβρυκίαν αὐτὴν καλοῦσι, [*] ὡς [*] καὶ τὸ,

> [10] Σώζων παλαιὰν Βεβρύκων πατρίαν.

Τινὲς δὲ φασὶν, ὅτι λείπει τὸ ὡς, ἵνα ᾖ, Ὡς εἰς Βεβρύκων ῥίψειαν ἐκβατηρίαν, ὡς πρότερον συμπλεύσαντες τοῖς λοιποῖς Ἀργοναύταις, ὅτε Ἄμυκον, τὸν Βεβρύκων βασιλέα, κατεπύκτευσαν. Δίων δὲ Κοκκειανὸς τοὺς Ναρβωνησίους Βέβρυκας λέγει, γράφων οὕτω, [11] "Τὸν πάλαι μὲν Βεβρύκων, νῦν δὲ Ναρβωνησίων, ἐστὶ τὸ Πυρηναῖον ὄρος· τὸ δὲ ὄρος τοῦτο χωρίζει Ἰβηρίαν, καὶ Γαλατίαν." Ἐκβατηρίαν.] ἔκβασιν, αἰγιαλόν.

517. Μὴ δ᾽ οἱ λεόντων.] τοὺς Ἀφαρέως παῖδας λέγει, Ἴδαν καὶ Λυγκέα. Λέοντας δὲ, τοὺς Διοσκούρους. Ἡ ἔννοια ὕστερον ἐξέθη πλατυτέρως.

519. Ἐνυώ.] ἐπίθετον Ἥρας, παρὰ τὸ ἀνύειν καὶ φονεύειν, ὡς [11] πολεμικὴ, Ἀνυὼ, καὶ Ἐνυώ. Καὶ μυθικῶς μὲν οὕτως· ἀλληγορικῶς δὲ, ἡ πάντα ἀνύουσα, καὶ τρέφουσα, καὶ τελοῦσα, ἡ αὐτὴ γάρ ἐστι τῷ συμμιγεῖ καὶ εὐκράτῳ ἀέρι. Τειχώνιτος.] ἡ Ἀθηνᾶ μυθικῶς, ὅτι ἐν τῷ Τρίτωνι, ποταμῷ Λιβύης, ἐγεννήθη, ὡς Ὅμηρος φησὶ, κατὰ τὸ μυθικὸν,

> ——— Διὸς θυγάτηρ, κυδίστη Τριτογένεια.

καὶ Αἰσχύλος μυθικῶς,

> Εἴτ᾽ ἀμφὶ χεῦμα γενεθλίου πόρου,
> Τρίτωνος ἐν τόποις [12] Λιβυστικοῖς.

Ἡ ὅτι, κατὰ Καλλιθένην, [13] τρίτῃ τοῦ μηνὸς ἐγεννήθη· διὸ παρ-

EMENDATIONES.

1 Ἐπιτρέπουσι, pro ἐπιτροπεύουσι, ex Grav. 2 Ἐλόχων, ex Seld. & Grav. ἐλέγχων Impress. 3 Λελόγχασιν posui, pro λελάχασιν. 4 Ἀκρότατον Seld. 5 Sic ego distinguendum putavi hunc locum, secutus MSS. utrumque. καὶ Πολυδεύκης ἐν ἀστέρος μορφῇ, μιχθέντος αὐτῇ τοῦ Διὸς Impress. Quasi Pollux dicatur stellæ formâ ex Ledâ fuisse genitus; cum nihil minus velit Scholiastes; sed Pollucem ex Ledâ genitum esse, ex Jovis concubitu, qui ipsam sub stellæ formâ vitiavit. 6 Δυσγαμοῦσι Bar. & Grav. 7 Corruptissimi sunt hi versus, nec satis constat, quo modo restitui debeant. Ut igitur conjecturis ansam aliquam præbeam, variantes MSS. lectiones adscribam: Ποικίλον. οὐδὲ μέλαθρον πωτηθεὶς ἔπλη κίζηκος· ὃν δ᾽ ἥσσω κακὸν γάμων ἐρχομένη κρὲξ Bar. Ποικίλον οὐδὲ μέλαθρον ὀρχίλος ἔπλε κύζικος· ὃν δ᾽ ἥσσω κακὸν γάμων ἐχθομένη κρὲξ Seld. 8 Κακόνυμφον substitui, pro κακόνυμφον, sensu id exigente. 9 Βεβρυκίαν, pro Βεβρυκίας, ex omnibus MSS. * Ex Grav. 10 Σώζων, pro σώζει, ex Bar. & ultimo Poematis hujus versiculo, quem hic citavit Scholiastes. 11 Πολεμικὴ, pro πολεμία, ex Seld. Est enim πολεμική, ἡ κρατερά, καὶ δεινὴ ἐν τοῖς πολέμοις. Πολεμία δὲ, ἐπὶ πολίτου ἢ ἐχθροῦ, καὶ πολεμοῦντός τινι. Et πολεμικὴν habent Bar. & Grav. 12 Λιβυστικοῖς Bar. Grav. & Phavorin. 13 Τρίτῃ δὲ τοῦ μηνὸς Impress. Ego δὲ expunxi, ex fide Bar. Cæterum in hac sententia pro Καλλισθένην, Phavorinus habet Κρισθένην.

Ἀθηναίων

Βοαρμία, [a] Λογγάτις, [b] Ὁμολωῒς, Βία.
Οὐκ ἂν τὰ χειρώνακτες ἐργάται διπλοῖ,
Δρύμας τε, καὶ Πρόφαντος, ὁ Κρώμνης ἄναξ,
Ἐλατύπησαν κοιράνῳ ψευδωμότῃ,
Ἓν ἦμαρ ἀρκέσειε πορθηταῖς λύκοις,
[c] Στέρξαι βαρεῖαν ἐμβολὴν [d] ῥαιστηρίαν,
Καίπερ πρὸ πύργων τὸν Καναστραῖον μέγαν
Ἐγχώρειον γίγαντα, δυσμενῶν μοχλὸν,
Ἔχοντα, καὶ τὸν πρῶτον εὐστόχῳ βολῇ
Μαιμῶντα τύψαι [e] ποιμνίων ἀλάστορα·
Οὗ δή ποτ' αἴθων πρῶτα [f] κινήσει δόρυ
Κίρκος θρασὺς, πήδημα λαιψηρὸν [g] δικὼν,

Juga, Longatis, Homolois, Potens.
Nec enim quæ Opifices mercenarii gemini,
Drymius, & Prophantus, Cromnæ rex,
Extruxerunt Regi perjuro,
Unum diem sufficiant populatoribus Lupis,
Ad sustinendam gravem irruptionem vastatricem,
Quamvis ante turres magnum Canastræum
Indigenam habeant gigantem, hostium obicem,
Quique primum certo jactu
Pecorum Vastatorem gestiet ferire:
Cujus quondam initio commovebit hastam
Accipiter audax, saltu prosiliens veloci,

VARIANTES LECTIONES.

a Λογχάτις quidam legendum putant. Vide Canteri Annotationes. b Al. Ὁμολωΐς. c Στέξαι mallet Canterus. Sed mihi videtur nullam esse rationem, ob quam recepta lectio mutari debeat. Vide Commentarium meum. d Ῥαιστηρίαν Sold. e Al. ποιμνίων. f Al. κινήσει. g Δίκων Sold.

Ἀθηναίοις ἡ τρίτη ἱερὰ τῆς Ἀθηνᾶς. Ἢ ὅτι ἐκ τῆς τριτοῦς, * ἤγουν * τῆς κεφαλῆς, τοῦ Διὸς ἐγεννήθη· τριτὼ γὰρ Βοιωτικῶς ἡ κεφαλή. Ἢ ὅτι ἡ αὐτή ἐστι τῇ σελήνῃ· ἡ δὲ σελήνη ἀπὸ συνόδου τριταία φαίνεται. Ἢ ὅτι ἡ αὐτή ἐστι τῇ ψυχῇ· τριμερὴς δὲ ἡ ψυχή· ἔχει γὰρ θυμικόν, ἐπιθυμητικόν, καὶ λογικόν· Ἢ ὅτι ἡ αὐτή ἐστι τῷ ἀέρι· [1] τρίτον δὲ ὁ ἀὴρ γεννᾶται, καὶ μεταστρέπεται, ἔαρι, θέρει, χειμῶνι· τὸ γὰρ παλαιὸν τριμερὴς ἦν ὁ χρόνος. Ἢ ὅτι ἡ αὐτή ἐστι τῇ φρονήσει, γεννηθεῖσα δὲ ἐκ τῆς τριτοῦς καὶ ἐκ τῆς κεφαλῆς, τρία παρέχει τοῖς ἐναντίοις. Ἢ ὅτι, κατὰ Δημόκριτον, τρία ταῦτα χαρίζεται, βουλεύειν καλῶς, κρίνειν ὀρθῶς, πράττειν δικαίως.

520. Βοαρμία.] παρὰ τὸ συναρμόσαι καὶ ζεῦξαι εἰς ζυγὸν καὶ εἰς ἄροτρον βόας. ἡ αὐτὴ γάρ ἐστιν, ὡς ἔφην, τῇ φρονήσει, ἔστι δὲ τιμᾶται παρὰ Βοιωτοῖς· καὶ Λογγάτις ὁμοίως, Λογγὰς γὰρ, χωρίον Βοιωτίας. Ὁμολωῒς δὲ τιμᾶται παρὰ Θηβαίοις· [2] Ὁμολωΐδες γὰρ πύλαι Θηβῶν, ἀπὸ Ὁμολωΐδος, τῆς Νιόβης θυγατρός. [3] Βία.] ἡ δυνατή.

521. Χειρώνακτες.] οἱ διὰ χειρῶν ἐργαζόμενοι, καὶ κτίσαντες τὸ τεῖχος τῆς Ἰλίου μισθωτοί, λέγει δὲ Ποσειδῶνα καὶ Ἀπόλλωνα. Ἡ δὲ ἱστορία δήλη, τὰς δὲ ἀλληγορίας, ὡς πολλὰς, καὶ ἀχρησίμους, [4] ἐνταῦθα ἐατέον. Διπλοῖ.] περισσοσύλλαβον. [5] διπλὸς δὲ κυρίως, καὶ ἐξ αὐτοῦ διπλοῖ ὀξύτονον.

522. Δρύμας.] ὁ Ἀπόλλων, παρὰ Μιλησίοις. Πρόφαντος δὲ, ὁ Ποσειδῶν, παρὰ [6] Θουρίοις. Κρῶμνα δὲ, χωρίον Κορίνθου, ἐξ οὗ οἱ στρατεύσαντες, φασὶν, οἱ περὶ Ἴλιον. Οὐκ ἀνδήξοντο δὲ αὐτῶν τὰς χεῖρας τὰ τείχη, ἀλλ' εἰς μίαν ἡμέραν. Ἔστι δὲ καὶ ἡ Κρῶμνα πόλις Παφλαγονίας, ἐν ᾗ τιμᾶται ὁ Ποσειδῶν. Ἡρόδοτος δὲ τῶν ἀληθείας οὐ φησὶ κτίσαι τὴν πόλιν Ποσειδῶνα καὶ Ἀπόλλωνα, ἀλλὰ [7] Λαομέδοντα χρήματα καταθέμενον ἐκ τῆς θυσίας αὐτῶν, ἀναλῶσαι ταῦτα εἰς τὴν τῶν τειχῶν κατασκευήν.

523. Κοιράνῳ ψευδωμότῃ.] τῷ Λαομέδοντι, παρὰ τὸ ὀμόσαντα δοῦναι Ἡρακλεῖ τοὺς ἀθανάτους ἵππους, ἤτοι τοὺς ἀρίστους καὶ [8] ἐνεργεστάτους, καὶ μὴ δοῦναι σώσαντι Ἡσιόνην ἐκ βορᾶς τοῦ κήτους. κακῶς εἶπε κοιράνῳ, ὀφείλων εἰπεῖν τυράννῳ, ἢ βασιλεῖ. Κοίρανος γὰρ ὁ διαστάτης λέγεται· Τύραννος δὲ, ὁ βίαιος μονάρχης· Βασιλεὺς δὲ, ὁ ἔννομος καὶ δίκαιος κρατῶν. δείκνυσι δὲ καὶ Ὀρφεὺς τὴν τούτων διαφορὰν, οὕτω λέγων ἐν τῇ Δωδεκαετηρίδι,

Ἔσται δ' αὖτις ἀνὴρ ἢ κοίρανος, ἠὲ τύραννος,
Ἢ βασιλεὺς, ὃς τῆμος ἐς οὐρανὸν ἵξεται αὐτοῦ.

526, 527. Κάναστρα.] ἀκρωτήριον μεθόριον Μακεδονίας καὶ Θρᾴκης, οὗ πλησίον ᾤκησαν οἱ Γίγαντες. λέγει δὲ νῦν τὸν Ἕκτορα διὰ τὸ γενναῖον, διὸ καὶ ἐγχώρειον αὐτὸν εἶπε. Δυσμενῶν μοχλὸν.] τὸ κατὰ δυσμενῶν ὀχύρωμα καὶ ἀσφάλισμα.

528. Καὶ τὸν πρῶτον.] τὸν Πρωτεσίλαον· πρῶτος γὰρ ἀποπηδήσας τοῦ πλοίου πρὸς τὸν Τρωϊκὸν αἰγιαλὸν, ἀνῃρέθη ὑφ' Ἕκτορος.

529, 530, 531. Μαιμῶντα.] αἱμῶντα, καὶ αἱμαλέος δηλῶντα, καὶ ἐξ αὐτοῦ προσθήκῃ τοῦ μ, μαιμῶντα. Ποιμνίων ἀλάστορα.] ὀλετῆρα τῶν Ἑλλήνων. ποιμνίων δὲ εἶπεν, ὅτι ὁ ποιητὴς τὸν βασιλέα ποιμένα λαῶν καλεῖ, ποίμνια δὲ τὸν ὑπ' αὐτὸν λαόν. Γράφεται δὲ καὶ ποινίων, ἀντὶ τοῦ τῶν ἐλθόντων ποινὰς ἀποτῖσαι τοῖς Τρωσὶν ὑπὲρ τῆς ἁρπαγῆς τῆς Ἑλένης, τῆς ὑπ' Ἀλεξάνδρου γενομένης. Τινὲς δὲ τὸ ποιμνίων ἀλάστορα, ἐπὶ Πρωτεσιλάου λαμβάνουσι, ἤγουν τὸν πορθμοῦντα τὰ τῶν Τρώων

EMENDATIONES.

* Ex Grav. 1 Τρίτος δὲ ὁ ἀὴρ γεννᾶται. posui ex Sold. τρίτων Impress. τρίτος γὰρ ὁ ἀὴρ &c. Bar. τρίτος γὰρ ὁ ἀὴρ. γεννᾶται γὰρ καὶ &c. Thavorinus. Τριταῖος γὰρ &c. Grav. 2 Sic legendum arbitror hunc locum, & mecum faciunt MSS. uterque. & Thavorinus. 3 Βία.] ἡ δυνατή. scribo ex Sold. Βία γὰρ, ἡ δυνατή. Impress. Βία ἡ δύναμις. Bar. Grav. & Phavorin. 4 ἐνταῦθα. pro ἐν ἑαυτῷ ex Grav. 5 Sic lego cum Sold. nisi quod post διπλὸς addiderim δὲ ex Bar. qui etiam διπλοῦ legit. διπλοῦς γὰρ κυρίως. καὶ ἐξ αὐτοῦ διπλοῖ ὀξύτονα Impress. 6 Θουρίοις, pro Θουρίῳ, ex Grav. & emendatione Nic. Gerbelii. Θουρίους Phavorin. 7 Λαομέδοντα, pro Λαομέδοντι, ex Sold. Deinde αὐτῶν, pro αὐτῷ. 8 ἐνεργεστάτους, pro ἐναργεστάτους. ex omnibus MSS.

Γραικῶν ἄριστος, ᾧ πάλαι [a] τεύχει τάφους	Græcorum præstantissimus, cui jampridem sepulcrum parat
Ἀκτὴ Δολόγκων [b] εὐπρεπὴς κεκμηκότι,	Defuncto pulcrum Thracum littus,
[c] Μαζουσία, προὔχουσα, Χερσαίας [d] κέρως.	Uberosum, prominens, Chersonesi cornu.
Ἀλλ' ἔστι γάρ τις, ἔστι [e] καὶ παρ' ἐλπίδα	Sed est profectò quidam, etiam præter spem,
Ἡμῖν ἀρωγὸς πρευμενὴς, ὁ [f] Δρύμνιος	Nobis adjutor propitius, Drymnius
Δαίμων, [g] Προμανθεὺς, Αἰθίοψ, Γυράψιος·	Deus, Promantheus, Æthiops, Gyrapsius:
Ὃς, τὸν πλανήτην ὀρθάγην ὅταν δόμοις	Qui, cum Erronem convivam hospitio
[h] Σίντην [i] καταρρακτῆρα δέξωνται πικρὸν	Noxium vastatorem acceperint
Οἱ δεινὰ [k] κἀπόθεστα πείσεσθαί ποτε	Qui gravia sunt & rejicienda passuri,
Μέλλοντες, ἔν τε δαιτὶ, καὶ [l] Θαλυσίοις	Atque in epulo, ac Cerealibus
Λοιβαῖσι μειλίσσωσιν ἀστεργῆ Κράγον,	Libaminibus morosum placabunt Cragum,

VARIANTES LECTIONES.

a Τεύχη Sold. b Εὐπρεπὴς Sold. c Al. ἡ μαζουσία d Al. κέρας. e Παρελπίδα Sold. f Al. Δρύμιος. g Al. Περμαθεύς. h Al. σίντιν. al. σίντιν. i Καθαρρακτῆρα cum simplici ρ Bar. καθαρρακτῆρα al. k Al. κἀπίθεστα. l Θαλύσιοις Sold. Θαλασσίοις al. Θαλυσίαις al.

ποίμνια, χρὴ δὲ τοῦτο μᾶλλον λαμβάνειν ἐπὶ Ἕκτορος. * Κίρκον, τὸν Πρωτεσίλαον λέγει. Χρησμὸς ἐδόθη τοῖς Ἕλλησι, πρῶτον σφαγῆναι τὸν, ὃς καὶ πρῶτον πατήσει ἐξελθὼν τοῦ πλοίου εἰς τὸν Τρωϊκὸν ἀνδροβόσκον αἰγιαλόν. ἐξελθόντα δὲ πρῶτον τὸν Πρωτεσίλαον, ἀνεῖλεν αὐτὸν ὁ Ἕκτωρ, ὡς καὶ Ὅμηρος,

——— Τὸν δ' ἔκτανε φαίδιμος Ἕκτωρ
Νηὸς ἀποθρώσκοντα. *

Αἴθωνα κίρκον, λέγει τὸν Πρωτεσίλαον. Ἱστορεῖ δὲ ὁ Σοφοκλῆς ἐν Ποιμέσιν, ὑπὸ τοῦ Ἕκτορος ἀναιρεθῆναι τὸν Πρωτεσίλαον· ὁμοίως δὲ καὶ Δημήτριος ὁ Σκήψιος· καὶ παρ' Ὁμήρῳ γέγραπται,

—— Τὸν δ' ἔκτανε φαίδιμος Ἕκτωρ
Νηὸς ἀποθρώσκοντα. ———

Ἔστι δὲ ὑπερβατὸν οὕτως· Οὐ δή ποτε κίρκος θρασὺς πρῶτον κινήσει δόρυ, πήδημα [1] λαιψηρὸν δικὼν, ἀντὶ τοῦ [2] ἐκβολήσας πρῶτον καὶ κινήσας.

532, 533. Γραικῶν ἄριστος.] ὁ Πρωτεσίλαος· Γραικοὶ γὰρ πρότερον, οἱ τῆς Ἑλλάδος ἐκαλοῦντο, ὕστερον δὲ ἀφ' Ἕλληνος ἐκλήθησαν Ἕλληνες. Ὦ, πάλαι.] ᾧτινι ἐκ παλαιᾶς εἱμαρμένης ἑτοιμάσει τοὺς τάφους ὁ εὐπρεπὴς καὶ εὔθετος ἀκτὴ, καὶ ὁ ποηώδης καὶ ὀχθώδης αἰγιαλὸς τῶν Δολόγκων. Δόλογκοι δὲ, [3] ἔθνος Θρᾳκικὸν, ἀπὸ Δολόγκου, τοῦ Κρόνου καὶ Θρᾴκης παιδός. Ἔστι δὲ Χερρόνησος Θρᾴκης, ὅπου Πρωτεσίλαος κεῖμενος, ὡς θεὸς τοῖς ἐγχωρίοις ἐτιμᾶτο.

534. Μαζουσία.] οἱ μὲν ἄλλοι ἡ Μαζουσία λέγουσι μετὰ τοῦ ἄρθρου, καὶ φασὶν αὐτὴν ἀκρωτήριον εἶναι Ἐλαιοῦντος. Ἐγὼ δὲ μαζουσία φημὶ, ἡ μαστοειδὴς, ἤτοι ἡ εἰς μαστοῦ θέσιν ἐξεικασμένη. Χερσαίας κέρας.] [4] τὸ ἀκρωτήριον, λέγει δὲ αὐτὴν τὴν Χερρόνησον.

536, 537. Ὁ Δρύμνιος δαίμων.] ὁ Ζεύς. Δρύμνιος * δὲ * παρὰ Παμφυλίοις, [5] Προμανθεὺς, παρὰ Θουρίοις. Αἰθίοψ, καὶ Γυράψιος, παρὰ Χίοις.

538. Ὃς τὸν πλανήτην.] ὅστις Ζεὺς θήσει βαρὺν κολωὸν καὶ θόρυβον ἐν μέσαις ταῖς λέχαις καὶ ταῖς πρὸς [6] ἀλλήλους συντυχίαις, ὅταν ἐν τοῖς δόμοις δέξωνται τὸν [7] πλανήτην καὶ πλανώμενον ὀρθάγην καὶ ξένον, λέγει δὲ τὸν Ἀλέξανδρον, τὸν σίντην καὶ βλαπτικὸν καταρράκτην καὶ αὐτὸν, διὰ τὸ ἁρπακτικὸν, τὸν πικρὸν οἱ Διόσκουροι, καὶ οἱ Ἀφαρέως παῖδες, οἱ δεινὰ καὶ ἀπόθετα μέλλοντες παθεῖν, πότε; ὅταν δέξωνται, ὡς εἶπον, τὸν Ἀλέξανδρον, μειλίσσουσί τε καὶ καλλιερεύουσι τὸν ἀστεργῆ Κράγον, τὸν Δία, ἔν τε δαιτὶ, καὶ θαλυσίαις λοιβαῖς. Ὅλον δὲ, ὅπερ φησὶ, τοῦτο ἐστὶν, ὅτι ὅταν τὸν Ἀλέξανδρον δέξηται ὁ Μενέλαος, τότ' ἐνστήσεται ἀρχὴ τῆς ἔχθρας τοῦ Ἴδα καὶ [8] Λυγκέως, καὶ τοῖς Διοσκούροις, διὰ τὰς Λευκίππου θυγατέρας, Φοίβην τε καὶ Ἱλάειραν, ἃς προκατεγγυηθείσας τοῖς Διοσκούροις ἁρπάσαντες οἱ περὶ τὸν Ἴδαν, εἰς μάχην κατέστησαν, ὅτε Ἀλέξανδρον ξενίσουσιν οἱ Διόσκουροι, ὁ δὲ ἁρπάζει τὴν Ἑλένην, οἱ δὲ οὐ δυνήσονται ἐλθεῖν εἰς Ἴλιον, διὰ τὸν ἐνστησόμενον αὐτοῖς πόλεμον. Ὀρθάγην.] τὸν ξένον, κατὰ διάλεκτον. ἔστι δὲ καὶ Ὀρθάγης, δαίμων πελεσπόδης παρὰ τῇ Ἀφροδίτῃ. Τὸν ὀρθάγην, τὸν Ἀλέξανδρον, ἤτοι τὸν ἅρπαγα. ἢ τὸν καταφορῶν, παρὰ τὸ ὀρθιάζειν.

539. * Καταρράκτην.] ὄρνεον ἁρπακτικόν. *

540. Οἱ δεινὰ κἀπόθεστα.] οἱ Ἀφαρέως παῖδες, καὶ οἱ Διόσκουροι. ὅτε γὰρ ἐξένιζον Διόσκουροι τὸν Ἀλέξανδρον, ἐγένετο ἡ στάσις αὐτοῖς, κατὰ τὸν Λυκόφρονα * μὲν, * διὰ τὰς Λευκίππου θυγατέρας κατ' ἐμὲ δὲ, καὶ τοὺς λοιποὺς, ὡς ἄνωθεν εἶπον, ἕνεκα βοῶν. ὅτε γὰρ ἐστασίαζον αὐτῶν, Ἀλέξανδρος ἁρπάσας τὴν Ἑλένην, ὡς εἶπεν ὁ Λυκόφρων φησὶν, ᾤχετο εἰς Τροίαν.

542. Ἀστεργῆ Κράγον.] τὸν Δία λέγει, ὅτι οὐκ ἔστερξε τὰς θυσίας αὐτῶν, ὅτι θύοντες τοῖς ἄλλοις θεοῖς, ἐπελάθοντο αὐτοῦ, ὅθεν αὐτοὺς εἰς στάσιν καὶ φιλονεικίαν ἐνέβαλε. Κράγον δὲ τὸν Δία ἐτίμων ἐν Λυκίᾳ.

EMENDATIONES.

* Ex Sold. 1 Λαιψηρὸν, pro λαιψηρὸν. 2 Ἐκβολήσας, pro ἐκβολάς. 3 Ἔθνος Θρᾳκικὸν, ἀπὸ &c. prius scriptum fuit. Ego ἀπὸ delevi, Phavorinum secutus. 4 Τὸ ἀκρωτήριον, pro τὸ ἀκρωτηρίῳ, ex Sold Et hujus emendationis ratio cuilibet attendenti facile patebit. * Hæc vox est ex Bar. 5 Προμανθεὺς, pro Περμανθεὺς. ex Bar. 6 Ἀλλήλους, pro ἀλλήλας. 7 Πλανήτην, pro πλανήτης, ex utroque MSS. 8 Λυγκέως reposui, pro Λυγκῆ, & alibi sæpe γ illud mutavi in κ. * Hoc addo ex Sold, idemque occurrit in Bar. & Grav. nisi quod καθαρράκτην habeant, pro καταρράκτην. * Ex MSS. utroque.

Θήσει βαρεῖαν κολῳὸν ἐν λέσχαις [a] μέσον.	Grave efficiet in mediis confabulationibus jurgium.
Καὶ πρῶτα μὲν μύθοισιν ἀλλήλοις ὀδὰξ	Ac primum quidem verbis inter se mordicus
[b] Βρύξουσι, [c] κηκασμοῖσιν [d] ὠκειωμένοι·	Mordebunt, conviciis exasperati:
[e] Αὖθις δ' ἐναιχμάσουσιν αὐτανέψιοι,	Pòst verò pugnabunt Consobrini,
Ἀνεψιαῖς ὄρνισι χρεμισμῶσι [f] γάμοις	A sobrinis Avibus propulsare nuptias
Βιαιοκλῶπας, ἁρπαγάς τε συγγόνων	Violentas, rapinasque cognatorum
Χρήζοντες, [g] ἀλφῆς τῆς ἀεδνώτου δίκην.	Volentes, in raptûs indotati supplicium.
Ἡ πολλὰ δὴ βέλεμνα [h] Κνηκείου πόρος	Multa certè jacula Cnecei fluentum
[i] Ῥιφθέντα τόλμαις αἰετῶν ἐπόψεται,	Aquilarum jacta videbit audaciâ,
Ἄπιστα καὶ θαμβητὰ [k] Φηραίοις κλύειν.	Incredibilia & stupenda Pheræis auditu.
Ὁ μὲν, [l] κρανέῳ κοῖλον οὐτάσας στύπος	Alter quidem, cavum cornu feriens truncum
Φηγοῦ κελαινῆς, διπτύχων ἕνα φθερεῖ,	Quercûs nigræ, Geminorum perdet alterum,
Λέοντα ταύρῳ συμβαλόντα φύλοπιν.	Leonem cum Tauro prælium committentem.
Ὁ δ' αὖ στύμνῳ πλευρ' ἀναρρήξας βοὸς,	Alter autem venabulo latera rumpens Bovis,

VARIANTES LECTIONES.

a Μέσαις Seld. b Βρύξουσι Etymolog. c Κηκασμοῖσι Seld. d Ὠκρωμένοι Bar. e Αὖτις Seld. f Γάμῳ Seld. g Ἀλφῆς τοῖς ἀέδνοις Seld. h Κνηκίου MSS. uterque, cum aliis. i Ῥιφθέντα Bar. aliique. k Φηραίοις Seld. l Κρανίῳ Seld.

544. Ὀδάξ.] κυρίως μὲν τοῖς ὀδοῦσι, νῦν δὲ τοῖς στόμασι λέγει.

546, 547, 548, 549. Αὐτανέψιοι.] καὶ ἀνεψιοί, [1] οἱ ἀδελφῶν παῖδες, οἱ καὶ καλοῦνται ἐξάδελφοι. ἦσαν δὲ ἐξάδελφοι οἱ Διόσκουροι, Ἴδας τε καὶ Λυγκεὺς, ἤγουν Τυνδαρίδαι, καὶ Ἀφαρεῖς, Λεύκιππός τε, καὶ Ἴκαρος, ἀδελφοὶ, [2] υἱοὶ Οἰβάλου, καὶ τούτων γίνονται παῖδες οὗτοι, Τυνδάρεω μὲν Θέσει, φύσει δὲ Διὸς οἱ Διόσκουροι, ἤγουν Κάστωρ, καὶ Πολυδεύκης· Ἀφαρέως δὲ, Ἴδας, καὶ Λυγκεύς. Λευκίππου δὲ, Φοίβη, καὶ Ἰλάειρα. [3] Ἡ σύνταξις οὕτως· Αὖθις δὲ καὶ εἰς τοὐπίσω, ὃ αὖθις καὶ πάλιν, μετὰ τὰς λοιδορίας οἱ αὐτανέψιοι, ἤτοι οἱ παῖδες τοῦ Ἀφαρέως, ἐναιχμάσουσι καὶ πολεμήσουσι τοὺς βιαιοκλῶπας, τοὺς ἁρπαγάς τε τῶν συγγόνων, ἤτοι τοὺς Διοσκούρους. ἀλλὰ τί δὲ αὐτοῖς πολεμήσουσι; [4] χρήζοντες χρεμισμῶσι καὶ βοηθοῦσι τῶν ἀνεψιαῖς ὄρνισι, [*] τῇ Φοίβῃ καὶ τῇ Ἰλαείρᾳ, [*] εἰς τοὺς γάμους, ἀλλὰ δίκην τῆς ἀλφῆς καὶ φιλαρπάσεως, τῆς ἄνευ ἕδνων καὶ προγαμιαίων δώρων· ὁ γὰρ Λυκόφρων οὕτω φησὶ τὸν πόλεμον αὐτῶν γεγονέναι, ὑποδηλῶσαι φησὶ τοὺς Διοσκούρους ὑπὸ τῶν Ἀφαρέως παίδων, ὡς μὴ δεδωκότας ἕδνα ὑπὲρ τῶν Λευκίππου θυγατέρων· τινὲς δὲ ἐλάσαι βοῦς τοῦ Ἀφαρέως, καὶ δοῦναι τοῦ Λευκίππου, ὅθεν αὐτοῖς ὁ πόλεμος· λέγει δέ. ἔστι δὲ ἡ ἱστορία ὡς ὕστερον εἴπον, τότε γὰρ οἱ Διόσκουροι καὶ παῖδας εἶχον ἐκ τῶν [5] Λευκιππίδων, ὡς εἶπον· καὶ τοῦτο καχάζηλον ὀνειδίζοντες αὐτοὺς μετὰ τοσοῦτον χρόνον περὶ ἕδνων. ἀλλὰ πάντως ὡς νεωστὶ τῶν κορῶν [6] ἁρπαγεισῶν ἄνευ ἕδνων τοῦτο φησὶ, [7] καὶ ἔστι προφανῶς τοῦτο λησμῶδες· ἔδειξα γὰρ, ὅτι τότε καὶ παῖδας ἐξ αὐτῶν εἶχον οἱ Διόσκουροι.

550. Κνηκίου [*] πόρος. [*]] ποταμὸς Λακωνικῆς, ὃς ὕστερον ἐκλήθη [8] Οἰνοῦς, περὶ ὃν ἐπολέμησαν οἱ Διόσκουροι, καὶ οἱ Ἀφαρέως παῖδες, ὡς αὐτοὺς καλεῖ.

552. Φηραίοις.] Λάκωσι· Φηραὶ γὰρ πόλις Μεσσηνίας, ἤτοι Ἀρκαδίας, ἢ ἡ Ἀρκαδία Λακώνων, ἀφ' ἧς ἦσαν οἱ περὶ τὸν Ἴδαν, καὶ τὸν Λυγκέα. Ἄπιστα εἶπε, διὰ τὸ μὴ προσδοκᾶν αὐτοὺς ποιεῖν μάχας, ὡς ὄντας ἐξαδέλφους.

553. Ὁ μὲν κρανέῳ.] ὁ μὲν Ἴδας κρανίνῳ δόρατι κοῖλον στέλεχος τῆς δρυὸς οὐτάσας, [9] τῶν διπτύχων, ἤτοι τῶν Διοσκούρων, (δίδυμοι γὰρ ἐγένοντο) ἕνα φθερεῖ καὶ ἀνελεῖ, λέγει δὲ τὸν Κάστορα, ὃν καὶ λέοντα λέγει· ταῦρον δὲ τὸν Λυγκέα, διὰ τὸ ὀξυδερκές· φασὶ γὰρ ὅτι καὶ τὰ ὑπὸ γῆν ἔβλεπε. τοῦτο δὲ περὶ τὸν Αἰγύπτου παῖδα ἐφασαν τὸν Λυγκέων, ὅτι καὶ τὰ ὑπὸ γῆν ἔβλεπε, διὰ τὸ ἐρευνεῖν πολλὰ τῶν μετάλλων.

556. Ὁ δ' αὖ στύμνῳ.] ὁ δὲ Πολυδεύκης στύμνῳ καὶ σιδηρῷ ἀκοντίῳ τὰ πλευρὰ ῥήξας τοῦ βοὸς, ἤγουν τοῦ Λυγκέως, κλινεῖ περὶ Ἴδας, ἤτοι [10] ἀνελεῖ.

EMENDATIONES.

1 Sic emendavi hunc locum, quem non omnino agnoscit *Bar. Impressi* autem hoc modo mutilârunt, οἱ ἀδελφῶν παῖδες. καλοῦνται καὶ ἐξάδελφοι οἱ Διόσκουροι. 2 Υἱοὶ Οἰβαλίδαι *Impressi.* υἱοὶ Βάλλ *Seld.* Ego reposui υἱοὶ Οἰβάλου. Videtur enim Tyndarus filius fuisse Oebali, à quo Laconiæ pars ea, in qua regnavit Tyndarus, Oebalia dicta est; unde & Dioscuri *Oebalidæ* nomine Patronymico. 3 Ἡ σύνταξις αὖθις δὲ καὶ εἰς τοὐπίσω *Impressi.* ἡ σύνταξις αὖθις δὲ εἰς τοὐπίσω *Seld.* Ego οὕτως addo ex *Bar* & *Grav.* 4 Χρήζοντες, pro χρήσοντες, ex utroque *MSS.* * Ex *Bar.* & *Grav.* 5 Λευκίππων *Impressi.* Ego reposui Λευκιππίδων, i. e. filiabus Leucippi, re ita exigente. Λευκίππου θυγατέρων *Grav.* 6 Ἁρπαγεισῶν, pro ἁρπαγεῖσαν ex *Bar.* & *Grav.* 7 Καὶ ἔστι προφανῶς τοῦτο λησμῶδες lego cum *Seld.* καὶ ἔστι προφανὲς καὶ ληρῶδες *Bar.* καὶ ἔστι ληρῶδες ὁ λόγος *Impressi.* * Ex *MSS* utroque. 8 Οἰνοῦς, pro Σινοῦς, ex *Bar.* Nunquam enim Sinus dictus est Cnaceus, at Oenus fortasse dici potuit, & urbis cognominis in Laconia meminit *Stephanus* Byzantinus. 9 Sic distinguendo clariorem reddidi hanc sententiam, quam hoc modo obscurarunt *Impressa* editt. Τῶν διπτύχων, ἤτοι τῶν Διοσκούρων. Δίδυμοι γὰρ ἐγένοντο, ἕνα φθερεῖ. 10 Ἀνελεῖ, pro ἀνέλῃ, ex *MSS.* omnibus.

558. Κεῖνον

Κλινεῖ πρὸς οὖδας· τῷ δὲ δευτέραν ἔπι	In solum prosternet: in hunc verò secundum
Πληγὴν ἀθαμβὴς κριὸς ἐγκορύψεται,	Intrepidus ictum Aries incutiet,
Ἄγαλμα πήλας τῶν Ἀμυκλαίων τάφων.	Columnam vibrans Amyclæi sepulcri,
Ὁμοῦ δὲ χαλκὸς, καὶ κεραύνιοι βολαὶ	Simul autem ferrum, & ictus fulminei
Ταύρους καταξανοῦσιν, ὧν ἀλκὴν ἑνὸς	Tauros conterent, quorum unius vires
Οὐδ' ὁ Σκιαστὴς, Ορχιεὺς, [a] Τελφούσιος	Ne Sciastes quidem, Orchieus, Telphusius
Ἐμέμψατ', ἐν χάρμαισι ῥαιβώσας κέρας.	Contempsit, in pugna curvato cornu.
Καὶ τοὺς μὲν ᾅδης, τοὺς δ' Ολύμπιοι πλάκες	Et hos quidem infernus, illos verò cœlestes regiones
Παρ' ἦμαρ [b] αἰεὶ δεξιώσονται ξένους,	Alternis diebus hospites excipient,
[c] Φιλαυθομαίμους, ἀφθίτους τε, καὶ φθιτούς.	Fratrem amantes, mortalesque, & immortales.
Καὶ τῶν μὲν ἡμῖν [d] δυνάστης δαίμων δόρυ,	Ac horum quidem nobis hastam Jupiter sopiet,
Βαιόν τι μῆχαρ ἐν κακοῖς δωρούμενος·	Parvum quoddam præstans in malis solatium:
Ἄλλων δ' [e] ἄπλατον χειρὶ κινήσει νέφος,	Aliorum autem intractabilem movebit nubem,
Ὧν οὐδ' ὁ Ῥοιοῦς [f] ἶνις εὐνάζων μένος	Quorum neque Rhœonis Filius mitigans impetum

VARIANTES LECTIONES.

a *Canterus* mallit Τιλφώσιος, auctore *Pausania*, Δελφούσιος legi posse existimat *Meursius*. Eorum Annotationes videsis. b Al. αἰεὶ. c Al. φιλαυθομαίμους. d Ἀναξ *Seld.* e Ἄπλαστον *Seld.* ἄπλατον quidem habet *Bar.* Sed isti secundæ α emendator aliquis recentiori manu superposuit ι. f Ἶνις *Bar.* ἶνις paroxyton. *Seld.*

558. Κριὸς [1] ἐγκορύψεται.] ἀπ' ἔξωθεν δεῖ λαβεῖν τὸ ὡς, ἵν' ᾖ, Ὡς κριὸς ἐγκορύψεται· *. καλεῖ δὲ τὸν Ἴδαν κριὸν, τὸ δὲ ἐγκορύψεται * ἀπὸ μεταφορᾶς τῶν κριῶν· εἰώθασι γὰρ κριοὶ ἐν τῷ μάχεσθαι τοῖς κέρασιν ἀλλήλους πλήττειν, τοῦτο δ' ἐστὶ κυρίως τὸ κορύπτειν, ὡς καὶ Θεόκριτος,

——— [2] φυλάσσεο μή σε κορύψῃ.

560. Ὁμοῦ δὲ χαλκὸς.] Πολυδεύκης καὶ Κάστωρ, ὡς οἱ πάλαι εἶπον * ἐμμέτρως, * ἐκρύβησαν [3] ἐν κοίλῳ κοιλῷ δρυός. Ἴδας δὲ βαλὼν, ἀνεῖλε τὸν Κάστορα, εἶτα Πολυδεύκης ἀνεῖλε Λυγκέα, Ἴδαν δὲ ὁ Ζεὺς ἐκεραύνωσεν, πρότερον τὸν [4] Ἴδα ἐκ τοῦ τάφου τοῦ αὐτοῦ πατρὸς Ἀφαρέως στήλην, ἤτοι λίθον, ἐπὶ τὸν Πολυδεύκην ῥίψαντος, καὶ σκοτίσαντος αὐτόν.

561, 562, 563. Ὧν ἀλκὴν ἑνός.] Μάρπησσαν, τὴν Εὐήνου θυγατέρα, [5] καταγγυηθεῖσαν τῷ Ἴδᾳ, ἁρπάσας ὁ Ἀπόλλων, ἐρασθεὶς αὐτῆς, εἰς μάχην αὐτῷ κατέστη. λέγουσι οὖν ἀμφοτέρους ἐρίσαντας, ἐν τῇ τοξικῇ ἴσους γενέσθαι. Ζεὺς δὲ Ἑρμῆν πέμψας, ἐκέλευσεν ὃν ἂν ἡ Μάρπησσα προκρίνῃ, λαβεῖν. ἡ δὲ, ἐρωτηθεῖσα τίνα ἂν αἱροῖτο; τὸν Ἴδαν τοῦ Ἀπόλλωνος προκρίνει, φοβηθεῖσα μὴ γηράσκουσαν αὐτὴν ὁ Ἀπόλλων ἐάσῃ. λέγει οὖν, ὅτι οὐδ' ὁ Ἀπόλλων τὴν ἀνδρείαν τοῦ Ἴδα ἐμέμψατο, ἐν μάχῃ κλίνας τὸ τόξον αὐτοῦ, καὶ κυκλοτερὲς ποιήσας. ὡς καὶ Ὅμηρος,

[6] Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν,

Τῶν τότε, καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον,

Φοίβου Ἀπόλλωνος, καλλισφύρου εἵνεκα νύμφης.

Σκιαστὴς, Ορχιεὺς, παρὰ Λάκωσιν ὁ Ἀπόλλων· Τελφούσιος δὲ [7] παρὰ Βοιωτοῖς.

567. Καὶ τῶν μὲν ἡμῖν.] τῶν [8] Ἀφαρειδῶν, καὶ Διοσκούρων καταπαύσει ὁ εἱμαρμένη τὸ δόρυ, τουτέστιν ἀποθανόντες, οὐκ ἐπελεύσονται τῇ Τροίᾳ, ὡς καὶ Ὅμηρος,

Ὣς φάτο, τοὺς δ' ἤδη [9] κάτεχεν φυσίζοος αἶα,

Ἐν Λακεδαίμονι αὖθι, φίλῃ ἐν πατρίδι γαίῃ.

570. Ὧν οὐδ' ὁ Ῥοιοῦς ἶνις.] Σταφύλου, τοῦ υἱοῦ Διονύσου, θυγάτηρ γίνεται Ῥοιώ, ᾗ ἐμίγη Ἀπόλλων. γνοὺς δὲ τοῦτο ὁ Στάφυλος, βαλὼν εἰς λάρνακα, πρὸς τὴν θάλασσαν ἀφῆκεν. ἡ δὲ προσπελάσθη τῇ Εὐβοίᾳ, καὶ ἐξελθοῦσα τῆς λάρνακος περί τι ἄντρον γεννᾷ παῖδα, καὶ Ἄνιον καλεῖ, διὰ τὸ ἀνιαθῆναι δι' αὐτόν. τοῦτον Ἀπόλλων ἤνεγκεν εἰς Δῆλον, ὃς Δωρίππην γήμας, γεννᾷ τὰς Οἰνοτρόπους, Οἰνώ, Σπερμώ, Ἐλαΐδα· αἷς ὁ Διόνυσος ἐχαρίσατο, ὁπότε βούλοιντο, οἶνον, σπέρματα, καὶ ἔλαιον λαμβάνειν, κατὰ τὰς τῶν ὀνομάτων θέσεις. Φερεκύδης δέ φησιν, ὅτι Ἄνιος ἔπεισε τοὺς Ἕλληνας παραγενομένους πρὸς αὐτὸν, αὐτοῦ μένειν τὰ ἐννέα ἔτη, δεδόσθαι δὲ αὐτοῖς παρὰ τῶν θεῶν τῷ δεκάτῳ ἔτει πορθῆσαι τὴν Ἴλιον, καὶ πορθήσειν αὐτήν. χρησμὸς γὰρ τοῖς Ἕλλησιν ἐδόθη, Τροίας κρατήσειν τῷ δεκάτῳ χρόνῳ. ὑπέσχετο δὲ αὐτοῖς, καὶ ὑπὸ τῶν θυγατέρων

EMENDATIONES.

1 Ἐγκορύψεται, pro ἐγκορύψεται. Et paulo post, ex *MSS.* utroque. * Hoc interserui ex *Seld.* 2 Φυλάσσεο, pro φυλάσσου, ex *Seld.* & ipso *Theocrito.* * Ex *MSS.* omnibus. 3 Ἐν κοίλῳ κοιλῷ, pro ἐν κοίλῳ κρημνῷ, ex *Seld.* κοιλῷ *Bar.* & *Grav.* 4 Ἴδα, pro Ἴδαν, ex *MSS.* utroque 5 Sic lego cum *Seld.* quæ in *Impressis* confuse extabant, καταγγυηθεῖσαν τῷ Ἴδᾳ, ἐρασθεὶς αὐτῆς Ἀπόλλων καὶ ἁρπάσας. At καταγγυηθεῖσαν τῷ Ἴδᾳ ἁρπάσας Ἀπόλλων &c. habet *Bar.* & *Grav.* 6 Ἴδεώ θ', ὃς κάρτιστος. pro Ἴδας θ' ὃς κάρτιστος. ex *Bar.* & *Grav.* ipsoque *Homero.* 7 Sic distinxi, & emendavi hunc locum, ex fide utriusque *MSS.* παρὰ Βοιωτοῖς. καὶ τῶν μὲν ἢ μετὰ τῶν &c. *Impressi.* 8 Ἀφαρειδῶν, pro Ἀφαρητιάδων. 9 Κάτεχεν φυσίζοος αἶα, pro κατέχε φυσίζωος Αἶα, ex ipso *Homero.*

αὐτοῦ

Σχήσει, τὸν ἐννέωρον ἐν νήσῳ χρόνον	Cohibebit, novennale in Insula tempus
Μίμνειν ἀνώγων, θεσφάτοις πεπεισμένους,	Manere jubens, oraculis persuasos,
Τροφὴν [a] τ' ἀμεμφῆ πᾶσι τριπτύχους κόρας	Annonamque omnibus abundantem tres Puellas
Ἴσκων παρέξειν, Κυνθίαν ὅσοι σκοπὴν	Dicens præbituras, quicunque Cynthiam speculam
Μίμνοντες ἠλάσκουσιν [b] Ἰνωποῦ πέλας,	Manentes pererrabunt Inopum juxta,
Αἰγύπτιον Τρίτωνος [c] ἕλκοντος ποτόν·	Ægyptium Nili trahentem liquorem:
Ἃς δὴ [d] Πρόβλαστος ἐξεπαίδευσε θρασὺς,	Quas Problastus audax docuit,
[e] Μυληφάτου χλοῖο δαιδαλευτρίας,	Molitæ alimoniæ concinnatrices,
Ἔρπιν τε [f] ῥέζειν, ἠδ' ἀλοιφαῖον λίπος,	Vinumque facere, & unctoriam pinguedinem,
Οἰνοτρόπους Ζάρηκος ἐκγόνους φάβας·	Viniferas aves, Zarecis neptes;
Αἳ καὶ στρατοῦ βούπειναν [g] ὀθνείων κυνῶν	Quæ & exercitûs canum immodicam famem
Τεύχουσιν ἀλθαινοῦσιν, ἐλθοῦσαί ποτε	Confectricem curabunt aliquando,
Σιθῶνος εἰς θυγατρὸς ἀναστήλειον.	Ad Sithoniæ Prolis accedentes sepulcrum.

VARIANTES LECTIONES.

a Δ' MSS. uterque. Alii neutrum agnoscunt. b Οἰνωποῦ Bar. idemque in Scholiis habet. c Al. ἕλκοντες. d Πρόβλαστος quidem habet Seld. Sed isti C eadem, ut videtur, manu υ superimposita est. e Μυληφάτων χλόης Bar. aliique. f Ῥέξειν Bar. g Al. ὀθνείαν.

αὐτοῦ τρέφεσθαι. μέμνηται τούτων καὶ ὁ τὰ Κυπριακὰ συγγραψάμενος. Σχήσει δ' ὁ Ῥοιοῦς] ἀντὶ τοῦ ὁ μῦθος, ὁ δ' ὁ τῆς Ῥοιοῦς υἱὸς σχήσει, τὸν ἐνναετῆ χρόνον συνάξων καὶ ἀθροίζων, ἀναγκάζων καὶ κελεύων μίμνειν ἐν τῇ νήσῳ Δήλῳ, πεπεισμένους καὶ πειθομένους αὐτοὺς τοῖς θεσφάτοις καὶ σημείοις κελεύων μίμνειν, ἴσκων τε καὶ λέγων τὰς τριπτύχους καὶ τρεῖς [1] αὐτοῦ κόρας παρέξειν ἀμεμφῆ τροφὴν πᾶσι, δηλονότι τοῖς Ἕλλησιν, ὅσοι μίμνοντες καὶ καρτεροῦντες, ἱλάσκουσι καὶ διατρίβουσι περὶ τὴν Κυνθίαν σκοπιὰν καὶ ἐξοχὴν, πέλας καὶ πλησίον τοῦ Ἰνωποῦ ποταμοῦ. * Εἰ* θέλοις, εἰπὲ, ἕλκοντες καὶ πίνοντες ποτὸν καὶ ὕδωρ Αἰγύπτιον * ὃ τοῦ Ἰνωποῦ ἕλκοντος ποτὸν καὶ ὕδωρ,* ἤτοι τοῦ Νείλου, ὅντινα Τρίτωνα λέγει. Τὸ ἴσκων, Ὅμηρος μὲν ἐπὶ τοῦ ὁμοιοῦν, Λυκόφρων δὲ, ἐπὶ τοῦ λέγειν.

574. Κυνθ.] ὄρος Δήλου, ὅθεν ὁ Ἀπόλλων Κύνθιος καλεῖται.

575. Ἰνωπός.] ποταμὸς Δήλου, ὃς πληροῦται, ὅτε καὶ ὁ Νεῖλος ἀρδεύει τὴν Αἴγυπτον, ὅθεν ἔφασαν καὶ αὐτὸν ἐκ τῶν Νείλου ὑδάτων πληροῦσθαι διά τινων ἀδήλων πόρων.

576. Τρίτωνος.] τοῦ Νείλου, παρὰ τὸ τρίτον μετονομασθῆναι· πρότερον γὰρ Ὠκεανὸς ἐκαλεῖτο, εἶτα Αἴγυπτος, καὶ τρίτον Νεῖλος, ὅθεν αὐτὸν Τρίτωνα καλεῖ.

577. Πρόβλαστος] ὁ Διόνυσος, ἐπεὶ, ὅταν βλαστάνωσιν αἱ ἄμπελοι, θύουσιν αὐτῷ. ἢ ὅταν μέλλωσι κόπτειν τὰς βλάστας, ἢ ὅταν κλᾶν καὶ κλαδεύειν ταύτας. Θρασύς.] ὅτι ἀναιδεῖς οἱ οἰνωθέντες.

578. Μυληφάτου] τοῦ Δημητριακοῦ καρποῦ.

579. Ἔρπιν.] χάλις, καὶ ἔρπις, ὁ οἶνος. χάλις μὲν, παρὰ τὸ χαλᾷν τὰς ἶνας, * ἔχων τὴν δύναμιν* ἔρπις δὲ, παρὰ τὸ ἕρποντας ποιεῖν τοὺς πίνοντας ἀμέτρως· ὅθεν καὶ Αἰγύπτιοι ἔρπιν καλοῦσι τὸν οἶνον. Ἱππωνάκτειοι δὲ εἰσὶν αἱ λέξεις, φησὶ γὰρ,

Ὀλίγα φρονοῦσιν οἱ χάλιν πεπωκότες.

Ἀλλαχοῦ πάλιν,

Οὐδ' αὐτίκ' ἐλθὼν σὺν τριοῖσι μάρτυσι,
Ὅπου τὸν ἔρπιν ὁ σκύτος καπηλεύει,
[2] Ἀνθρώπινον οὖρον τὴν στήλην [3] ὀφείλοντα.

580. Ζάρηκος.] Ζάραξ, υἱὸς Καρύστου, ἢ Καρύκου, τοῦ Χείρωνος· ὃς Ζάραξ ἔγημε Ῥοιὼ τὴν Σταφύλου μετὰ τὸ μιγῆναι Ἀπόλλωνι, καὶ ἔσχεν ἐξ αὐτῆς δύο παῖδας. ὥσπερ καὶ τὸν Θησέα λέγει [4] Αἰγέως υἱὸν, τὸν Ἡρακλέα Ἀμφιτρύωνος, Κάστορα καὶ Πολυδεύκην Τυνδάρεως, καίτοι ἐν ἄλλοις [5] ὁμολογουμένως ἐκ τοῦ Διὸς γενέσθαι· οὕτως καὶ τὸν Ἄνιον φησὶν υἱὸν Ζάρηκος, οὐ φύσει ἀλλὰ θέσει, φύσει γὰρ υἱὸς Ἀπόλλωνος. ὁμοίως καὶ τὰς θυγατέρας Ἀνίου, ἐκγόνους λέγει Ζάρηκος, οὔσας Ἀπόλλωνος, διὰ τὸ γῆμαι τὸν Ζάρηκα τὴν Ῥοιώ. Ἔκγονον δὲ οἱ λοιποὶ τὸν υἱὸν, μετὰ τοῦ κ γράφουσι, τὸ δὲ ἔγγονον μετὰ τοῦ γ. [6] ἐγὼ δὲ ἀντιστρέφω τὸν ἔκγονον, ὡς ἐκ τοῦ γένους γενόμενον, κ γράφω· τὸν δὲ υἱὸν, ἔγγονον * μετὰ τοῦ γ,* ὡς ἐγγεννηθέντα. Φάβας.] φαβὸς εἶδος ὀρνέου, νῦν δὲ τὰς Οἰνοτρόπους λέγει.

581. Αἳ καὶ στρατοῦ.] Ἀγαμέμνων, τῶν Ἑλλήνων λιμῷ συνεχομένων, μετεπέμψατο τὰς Οἰνοτρόπους διὰ τοῦ Παλαμήδους, καὶ ἐλθοῦσαι εἰς τὸ Ῥοίτειον, [7] ἔτρεφον αὐτούς. Ὀθνείων κυνῶν.] λέγει τῶν Ἑλλήνων, διὰ τὴν ἀναίδειαν, ὅτι ξένοι ὄντες, ἀναιδεῖς ἐτύγχανον· ἢ διὰ τὸ μὴ εἶναι ἐκ μιᾶς γῆς πάντας.

583. Σιθῶνος εἰς θυγατρὸς.] Σιθῶνος, τοῦ υἱοῦ Ἄρεος καὶ [8] Ἀγχιρόης, τῆς Νείλου θυγατρὸς, ἢ Πρωτέως, κατά τινας, θυγάτηρ Ῥοιτεία, ἀφ' ἧς τὸ Ῥοίτειον, τόπος Τροίας, ὠνομάσθη. ὑπέσχετο οὖν ὁ Ἄνιος τοῖς Ἕλλησι, τῷ δεκάτῳ ἔτει συμπέμπειν τὰς θυγατέρας εἰς τὸ Ῥοίτειον, ἔστι δὲ τοῦτο ἀκρωτήριον περὶ τὴν Τροίαν. ταῦτα μὲν αἱ Μοῖραι πάλαι τοῖς μίτοις διὰ τῶν χαλκῶν ἀτράκτων κλώθουσι.

EMENDATIONES.

1 Αὐτοῦ τρέφεσθαι substitui ex MSS. omnibus. αὐτὰς τρέφεσθαι Impress. * Ex Bar. & Grav. * Hoc addo ex Bar. excepto quod Ἰνωποῦ posui, pro ἀσωποῦ, qua voce etiam alibi usus est ille Codex; & post ποτὸν adjeci καὶ. Idem occurrit in Grav. * Ex Grav. 2 Ἀνθρωπίνου οὖρον lego ex Seld. ἀνθρώπινον οὖρον Impress. ἀνθρώπινος οὖρον Bar. 3 Ἐκνεφεῖσθαι Seld. ubi Scholium videtur in Textum irrepsisse. 4 Αἰγέως posui, pro Αἰγαίου. Nemini enim ignotum esse potest Thesei patrem fuisse Ægeum. 5 Ὁμολογουμένως, pro ὁμολογουμένους, ex Seld. 6 Ἐγὼ δὲ ἀντιστρέφω τὸ ἔγγονον. ὅ ἐστιν. ὡς &c. Impress. Ego ἔγγονον delevi, ex auctoritate MSS. omnium. * Ex Grav. 7 Ἔτρεφον, pro ἔτρεφε, ex Seld. & Grav. 8 Ἀγχιρόης Grav. Bar.

585. Στρύμωνι.]

[a] Καὶ ταῦτα μὲν μίτοισι χαλκέων πάλαι	Atque hæc quidem jamdiu staminibus durorum
Στρόμβων [b] ἐπιρροιζοῦσι γηραιαὶ κόραι.	Volvunt senes Puellæ turbinum.
[c] Κηφεὺς δὲ, καὶ Πράξανδρος οὐ ναυκληρίας	Cepheus autem,& Praxander, non militaris
Λαῶν δόακτες, ἀλλ' ἀνώνυμοι στοραὶ,	Classis ductores, verum ignobiles genere,
Πέμπτοι τέταρτοι γαῖαν ἵξονται θεᾶς,	Quinti quarti venient in Terram Deæ,
Γόλγων ἀνάσσης· ὧν ὁ μὲν Λάκων' ὄχλον	Golgorum Reginæ: alter quidem Laconicam turbam
Ἄγων Θεράπνης, [d] θάτερος δ' ἀπ' Ὠλένου,	Ducens à Therapne, alter verò ab Oleno,
[e] Δύμης τε Βουραίοισιν ἡγεμὼν [f] στρατοῦ.	Et Dyma Buræi ductor exercitûs.
Ὁ δ' [g] Ἀργυρίππαν, Δαυνίων παγκληρίαν,	Alius Argyrippam, Dauniorum possessionem,
Παρ' Αὐσονίτην [h] Φυλαμὸν δομήσεται,	Juxta Phylamum Ausoniam exstruet,
Πικρὰν ἑταίρων [i] ἐπτερωμένων ἰδὼν	Amaram sociorum conspicatus alatorum

VARIANTES LECTIONES.

a Καὶ non agnoscit Bar. b Ἐπὶ ῥοιζοῦσι Bar. ἐπιρροιζοῦσι al. c Al. Κηφεὺς. al. Κηφεύς. d Ἅτερος Seld. e Δύμης τε Βουραίοισιν ἡγεμὼν ἔχων Etymologus, si bene memini. f Al. στρατοῦ. g Al. Ἀργυρίππαν. h Φυλαμὸν Seld. eandemque lectionem in Scholiis retinet. Πύγραμον Stephanus Byzantinus Lib. de Urb & Pop. Πυγραμὸν reponendum existimat Meursius, cujus Commentarius videndus. i Ἐκπεπτερωμένων mavult Canterus, emendatione, ut opinor, minime necessaria; cum recepta Lectio non minus commode retineri possit. Ejus Annotationes consulendæ.

585. Στρόμβων.] ἀτράκτων, παρὰ τὸ στρέφεσθαι. Χαλκέων δὲ, τῶν στερεῶν. Γηραιαὶ κόραι.] αἱ Μοῖραι, Ἐπιρροιζοῦσι δὲ, ἀντὶ τοῦ νήθουσι.

586, 587, 588. [1] Κηφεὺς δὲ, καὶ Πράξανδρος.] πέντε στρατηγῶν μέλλειν ἀπελθεῖν εἰς Κύπρον, καὶ εἰπὼν περὶ τῶν τριῶν, νῦν μετέβη καὶ ἐπὶ τοὺς δύο, καὶ φησὶν, ὅτι ὁ Κηφεὺς, καὶ ὁ Πράξανδρος, οὐ βασιλεῖς, ἀλλ' ἀνώνυμοι ὄντες, οἱ πέμπτοι, ἤτοι οἱ περὶ ἀναπλήρωσιν τοῦ ἀριθμοῦ, ὧν εἶπον, πέντε ἀνδρῶν, τέταρτοι ἵξονται εἰς Κύπρον. πρῶτος γὰρ Τεῦκρος, δεύτερος Ἀγαπήνωρ, τρίτος Ἀκάμας, εἶτα οὗτοι οἱ δύο ὁμοῦ τέταρτοι ἵξονται, ἀναπληροῦντες, ὡς ἔφην, τὸν τῶν πέντε ἀριθμόν. ζητοῦσι δὲ τινες, διὰ τί τοὺς μὲν συμβολικῶς καὶ τύπως καλεῖ λύκους, καὶ παρδάλεις, καὶ δράκοντας, οὐκ ἄλλην κλῆσιν τοιαύτην; καὶ γὰρ ἐπὶ πάντων πλαγίως τὴν κλῆσιν τούτων ἐδήλωσε, τούτοις δὲ φανερῶς ὠνόμασε· καὶ ῥητέον, διὰ τὸ ἀνωνύμους καὶ ἀφανεῖς εἶναι αὐτοὺς, ἠναγκάσθη εἰπεῖν τὰς ὀνομασίας αὐτῶν, ἐν γὰρ τῷ καταλόγῳ τοῦ Ὁμήρου οὐ φέρονται. ἦν δὲ ὁ Κηφεὺς ἐξ Ἀχαΐας, ὁ δὲ Πράξανδρος ἐκ Λακεδαιμονίας, καὶ οὗτοι παρεγένοντο εἰς Κύπρον, ὥς φησι Φιλοστέφανος.

589, 590, 591. Γόλγων.] [2] Γόλγοι, τόπος, καὶ ἔθνος Κύπρου, θεᾶς δὲ τῆς Ἀφροδίτης ἱερόν. ἀφ' ὧν ὁ μὲν Πράξανδρος ὑπάρχει, ἄγων τὸν Λάκωνα καὶ Λακεδαιμόνιον ὄχλον ἀπὸ τῆς Θεράπνης. ἡ δὲ Θεράπνη, πόλις Λακωνική. Θάτερος δὲ, ἤτοι ὁ ἕτερος, ὁ Κηφεὺς, ἀπὸ τῆς Ὠλένου, τῆς Δύμης τε, τῶν Ἀχαϊκῶν πόλεων, ἡγεμὼν ὑπάρχει τοῦ στρατοῦ. [3] Τοῖς Βουραίοισιν.] ἀντὶ τοῦ, τῶν Βουραίων· περὶ δὲ ταύτας τὰς πόλεις, ἤτοι τὴν Θεράπναν, ὅπερ ἐστὶ πόλις Λακωνική, καὶ τὸν Ὤλενον, [4] πόλιν Ἀχαΐας, καὶ τὴν Δύμην, πόλιν, ἡ χώραν [5] Ἀχαΐας, καὶ πρότερον συνῴκει γένος πολὺ, καὶ γέγονεν ὁ ἐπὶ Δευκαλίωνος κατακλυσμὸς, καὶ ὕστερον ὑπὸ σεισμοῦ καταποντίσθησαν, ὡς Ἐρατοσθένης φησί· μέμνηται δὲ καὶ Καλλίμαχος λέγων,

[5] Βοῦρά τε, δεξαμένοιο βοώπιος Οἰνιάδαο.

καὶ Ἀντίμαχος ἐν Θηβαΐδι,

[6] Ὡς ἐπεπειθέσθην, ὥσπερ Καυκωνίδα Δύμην
Ἐπεχεύεσθαι παιδὸς τῶν Ἐπειῶν ἀρχόντες.

Τὸ καὶ δεύτερος ἀπὸ τοῦ ἅτερος γέγονεν· εἰ δ' ἦν ἀπὸ τοῦ ἕτερος, [7] θεύτερος ἂν ἦν.

592, 593, 594. Ὁ δ' Ἀργυρίππαν.] ὁ δὲ Διομήδης ἀπ' Αἰτωλίας ἀπελαθεὶς, τῆς ἑαυτοῦ πατρίδος, τὴν Ἀργυρίππαν πόλιν, μεθερμηνευομένην Ἄργος ἵππειον, δομήσεται καὶ κτίσει, παγκληρίαν τῶν Δαυνίων, ἤτοι τῶν Καλαβρῶν, παρὰ τὸν Αὐσονίτην καὶ Ἰταλικὴν, ὃ παρὰ τὸν Αὐσονίτην Φυλαμὸν, ἰδὼν τῶν ἑταίρων αὐτοῦ μοῖραν πικρὰν, ὀρνεωμένην, ἐπτερωμένην, τουτέστιν ἰδὼν τοὺς αὐτοῦ φίλους εἰς ὄρνεις ἐρωδιοὺς ἀλλαγέντας. τὸ δὲ σχῆμα κακόπλαστον ἐστίν. ἀποθανόντος γὰρ Διομήδους, ἐρωδιοὶ γεγόνασι, πῶς οὖν φησὶν, ἰδών; κηλεῖται δὲ τοῦτο τὸ σχῆμα ἔμψυχον, καὶ εἰδωλοπεποιημένον.

EMENDATIONES.

1 Κηφεὺς hic, & infra habent MSS. uterque. 2 Sic legendum arbitror hunc locum. vel sic, Γόλγος, τόπος Κύπρου, ἔνθα θεᾶς τῆς Ἀφροδίτης ἱερόν Venus enim ibi præcipue colebatur, vide Commentarios. Γόλγος, τόπος ἔνθα Κύπρου θεᾶς τῆς Ἀφροδίτης. ἀφ' ὧν &c. Stephan. edit. Γόλγος, τόπος ἔνθα Κύπρ. θεᾶς τῆς Ἀφροδίτης ἀφ' ὧν &c. Basil. Γόλγοι, τόπος, καὶ ἔθνος Κύπρου, θεᾶς δὲ τῆς Ἀφροδίτης. ἀφ' ὧν Bar. 3 Τοῖς Βουραίοισιν, pro τοῖς Βοραίοισιν, ex emendatione Nic. Gerbelii, itemque Seld. Βοραίοισιν Bar. 4 Πόλιν, pro πόλεις. 5 Post Ἀχαΐας periodum delevi, sensu id exigente, ex auctoritate MSS. utriusque. 6 Ita scribo hunc versum ex emendatione Nic. Gerbelii. Βουρά τε δεξαμένοιο δέδωκε Οἰνιάδαο Impress & Seld. Βοῦρα τε δεξάμενοι ζύνατο Bar. 7 Varias ex hisce Antimachi versibus corruptelas sustuli, præcipuum fuit, quod Καυκωνίδα posui, pro Καυκωνίδι, ex Seld. & Grav. Καυκωνίδην Bar. Cæterum Antimachus Dymen vocavit Cauconidem, à Caucone fluvio, ut testatur Stephanus Byzantinus, Δύμη, πόλις Ἀχαΐας ἐσχάτη πρὸς δύσιν. Ὁ πολίτης, Δυμαῖος, καὶ Δυμαῖα λέγεται, καὶ Δύμιος. Ἀντίμαχος δὲ Καυκωνίδα φησὶν αὐτήν, ἀπὸ Καύκωνος ποταμοῦ. Item Strabo, Lib viii Τὴν δ' Ἀντιμάχου Καυκωνίδα τὴν Δύμην εἰρῆσθαι, οἱ μὲν δέχονται ἀπὸ τῶν Καυκώνων ἐπιβάντας ὀρίσασθαι αὐτῇ, μέχρι δεῦρο κατοικοῦντας. καθάπερ ἐπάνω προείπομεν. οἱ δ' ἀπὸ Καύκωνος ποταμοῦ τινος, ὡς αἱ Θῆβαι Δίρκαῖαι, καὶ Ἀσωπίδες, Ἄργος δ' Ἰνάχιον, Τροία δὲ Σιμουντίς. 8 Θάτερος lego, pro θ' ἅτερος, ex Seld. Paulo post, Αὐσονίτην bis posui, pro Αὐσονίτιν.

Οἰωνόμικτον μοῖραν, οἳ θαλασσίαν	Avibus mistam sortem, qui marinam
Δίαιταν αἰνήσουσι πορκέων δίκην,	Laudabunt vitam, piscatorum more,
Κύκνοισιν ἰνδαλθέντες εὐγλήνοις δομήν·	Oloribus assimilati pulcroculis,
ᵃῬάμφεσι δ' ᵇἀγρώσσοντες ἑλλόπων θορούς,	Rostris autem venantes piscium spumas,
Φερώνυμον νησῖδα ᶜναίσονται πρόμου	Cognominem Principis habitabunt Insulam,
Θεατρομόρφῳ πρὸς κλιτὺν γεωλόφῳ	Theatriformem juxta collem editum
Ἀγγοπλαστήσαντες ἐμπέδοις τομαῖς	Certis compingentes sectionibus
Πυκνὰς χαλιάς, Ζῆθον ἐκμιμούμενοι.	Densos nidos, imitatione Zethi.
Ὁμοῦ δ' ἐς ἄγραν, κἀπὶ κοιταίαν νάπην	Simul porrò ad venationem, & nocturnum saltum

VARIANTES LECTIONES.

a Ῥάμφεσι el. ῥάμφεσι Sold. b Ἀγραίνοντες Sold. c Νάσσονται Sold. aliique.

595, 596, 597. Οἳ θαλασσίαν δίαιταν.] οἵτινες φίλοι τοῦ Διομήδους ἐρωδιοί, ἢ λάροι γενόμενοι, αἰνήσουσι τὴν ἐν θαλάσσῃ διαγωγήν, δίκην καὶ τρόπον τῶν πορκέων καὶ ἁλιέων, ἰνδαλθέντες καὶ ὁμοιωθέντες εἰς τὴν δομὴν καὶ τὸ δέμας κατὰ μεταπλασμὸν κύκνοις εὐγλήνοις καὶ εὐοφθάλμοις.

598, 599, 600, 601, 602. Ῥάμφος καλεῖται τὸ ἐπικαμπὲς χεῖλος τῶν ὀρνέων, * ὡς καὶ Καλλίμαχος,

Ῥάμφει καθεύδειν τόργος ὑποπλέει νέκυν. *

²Τὸ δὲ ἑξῆς οὕτως· Ἐν δὲ τοῖς ῥάμφεσι καὶ τῷ ὀρνιθικῷ ῥύγχει ἀγρεύσοντες καὶ ἀγρεύοντες τοὺς θορούς, ἤτοι τὰ σπέρματα τῶν ἰχθύων, ἤτοι τοὺς ἰχθῦς, νάσσοντες καὶ κατοικήσουσι τὴν φερώνυμον νησῖδα τοῦ πρόμου καὶ προμάχου αὐτῶν, ἤτοι τὴν Διομήδειον νῆσον, πρὸς τῇ κλιτύϊ, ἤτοι πλησίον τοῦ κλίτους καὶ ᵉ τῆς ἐξοχῆς, τῆς γεωλόφου καὶ ὑψηλῆς, τῆς θεάτρῳ ὁμοίας, ³ἀγγοπλαστήσαντες καὶ κτίσαντες ἐν ταῖς ἐμπέδοις καὶ στερεαῖς χαραγμαῖς πυκνὰς καλιάς, Ζῆθον ἐκμιμούμενοι, κατὰ μίμησιν τοῦ Ζήθου, ὥσπερ ἐκεῖνος σὺν τῷ ἀδελφῷ Ἀμφίονι τὰς ἐν Βοιωτίᾳ Θήβας ⁴ἔκτισε. * Θεατρομόρφῳ.] ἢ ὅτι θεάτρῳ ὅμοιός ἐστιν ὁ τόπος, ἐν ᾧ διατρίβουσιν. ἢ ὅτι περιφερής ἐστιν ἡ νῆσος, θεάτρου γὰρ σχῆμα παρὰ τοῖς γεωμέτραις περιφερές. *

603. Ὁμοῦ δ' ἐς ἄγραν.] αὕτη ἡ ἔννοια, καὶ ἡ σύνταξις σαφεστάτη ἐστί, τὴν δὲ περὶ Διομήδους ἱστορίαν λεκτέον· Διομήδης μετὰ τὴν Ἰλίου πόρθησιν καταπλεύσας εἰς Ἄργος, τὴν ἑαυτοῦ πατρίδα, καὶ εὑρὼν τὴν ἑαυτοῦ γαμετὴν Αἰγιάλειαν συμφθειρομένην Κομήτῃ, τῷ υἱῷ Σθενέλου, διὰ τὸ αὐτὸν ἐν τῇ Τροίᾳ τρῶσαι τὴν Ἀφροδίτην, καὶ μέλλων ὑπὸ τῆς αὐτῆς Αἰγιαλείας ἀναιρεθῆναι, τότε μὲν εἰς τὸν τῆς Ἀργείας Ἥρας βωμὸν καταφυγὼν σώζεται, ὕστερον δὲ εἰς Ἰταλίαν ᾤχετο, εἰς τὸ Δαύνιον, ἔθνος βάρβαρον, ὃ ἐβασίλευσε Δαῦνος, ὃς πολιορκούμενος ἐδεήθη Διομήδους βοηθῆσαι αὐτῷ, ὑποσχόμενος δώσειν αὐτῷ τὸ γῆς μέρος. ὁ δὲ βοηθήσας, καὶ νίκην περιποιήσας Δαυνίοις, ἔκτισε πόλιν Ἀργυρίππαν, ἤτοι ἵππειον Ἄργος. ὕστερον δὲ ὁ Δαῦνος αἵρεσιν αὐτῷ ἐδίδου, εἰ βούλοιτο, ἢ ὅλην τὴν λείαν λαβεῖν τοῦ πολέμου, ἢ τὴν γῆν πᾶσαν· κριτὴς δὲ τούτου γέγονεν ⁵Ἄλαινος, νόθος ἀδελφὸς Διομήδους, ἐρῶν Εὐίππης, τῆς Δαύνου θυγατρός, ὃς ἔκρινε τὸν Δαῦνον ἔχειν τὴν γῆν, Διομήδην δὲ τὴν λείαν λαβεῖν. ἐφ' ᾧ ὀργισθεὶς Διομήδης, κατηράσατο μὴ δύνασθαι σπείρειν τὴν γῆν, μηδὲ σπειρομένην ἀναδιδόναι καρπόν, εἰ μή τις αὐτὴν σπείρει τῶν αὐτοῦ συγγενῶν, ἢ συμπολιτῶν, καὶ μετακινῆσαι τὰς στήλας αὐτοῦ μηδένα δύνασθαι. ὕστερον δὲ ὁ Διομήδης παρὰ τοῦ Δαύνου ἀνῃρέθη, οἱ δὲ φίλοι αὐτοῦ θρηνοῦντες αὐτόν, μετεβλήθησαν εἰς ὄρνεα ὅμοια κύκνοις, ἃ τοὺς βαρβάρους φεύγει, φοιτᾷ δὲ παρ' Ἕλλησιν, ὥστε ἐκ τῶν χειρῶν αὐτῶν λαμβάνειν τροφάς, καὶ δύνειν εἰς τοὺς κόλπους ⁶αὐτῶν. ⁷οἰκεῖ δὲ ταῦτα ἐν τῇ ἀπὸ τοῦ Διομήδους καλουμένῃ Διομηδείᾳ νήσῳ. οἰκοδομεῖ δὲ οὕτως οἱ ὄρνιθες ὥσπερ πόλιν, κατὰ γὰρ τὸν ὄρθρον βρέχουσι τὸν τόπον ταῖς πτέρυξι, καὶ βρέχοντες εἰς ἄγραν πορεύονται, καὶ τὰ ληφθέντα θέντες ὁμοῦ, διαιροῦσιν ἀλλήλοις. κεῖται δὲ ἡ Διομηδεία νῆσος περὶ τὸν Ἰόνιον κόλπον, καὶ τὴν Ἀδρίαν. οἱ γὰρ Ἰάπυγες, καὶ Ἄπουλοι περὶ τὸν Ἰόνιον κόλπον οἰκοῦσιν. ⁸Ἀπούλων δὲ ἔθνος, κατὰ τὸν Δίωνα, Πευκέτιοι, Πεδίκυλοι, καὶ Δαύνιοι, καὶ Ταραντῖνοι, καὶ Κάνναι. Διομήδους πεδίον ἐστὶ περὶ τὴν Ἀπουλίαν τῆς Δαυνίων. ἡ δὲ ⁹Μεσσαπίγα, καὶ Ἰαπύγα ὕστερον ¹⁰Σαλεντία, εἶτα Καλαβρία ἐκλήθη. ἡ δὲ Ἀργυρίππα, πόλις τοῦ Διομήδους ¹¹μετεκλήθη Ἀπούλης Ἄρπος. ὃ δέ φησιν ὁ Λυκόφρων ἐμπροσθεν, ὅτι ἀκαρπήσουσι τῆς Δαυνίων γῆς ¹²διὰ τὰς ἀρὰς Διομήδους, μεταπεμψάμενοι οἱ Δαύνιοι συμπολίτας τοῦ Διομήδους, καὶ βαλόντες ζῶντας εἰς γῆν, ἐποίησαν ¹³καρποῦσθαι τὴν γῆν, ψεῦδός ἐστιν· ἐπὶ Φαβίου γὰρ Μαξίμου ¹⁴Βερρουκώσου, ἤτοι ἀκροχορδονώδους, οὐ Δαύνιοι, ἀλλὰ Ῥωμαῖοι τοῦτο ἐποίησαν, Ἑλληνικὸν καὶ Γαλατικὸν ἀνδρόγυνον κρύψαντες ἐν μέσῃ τῇ ἀγορᾷ, ἐκ χρησμοῦ τινὸς δειματωθέντες, λεγομένου Ἕλληνα καὶ Γαλάτην καταλήψεσθαι τὸ ἄστυ.

EMENDATIONES.

* Hæc adjeci ex *Seld.* quæ me, nescio quo modo, in priore Editione præterierant. Porro τόργος reposui pro νόμος, ex mente eruditissimi Bentleji in Fragment. Callimachi p. 288. Καθεύδειν est vox nihili: neque difficile erat veram lectionem reperire: sed in præsentia nihil succurrit, inquit ibidem Vir clarissimus. ² Τὸ δὲ ἑξῆς οὕτως reposui, pro τὸ δὲ ἑξῆς ὅτως, ex emendatione *Nic. Gerbelii*. e Hoc modo restitui hunc locum ex *Seld.* nisi quod hic pro θεάτρῳ, habeat θεάτρου. At *Impress.* τῆς ἐξοχῆς τῆς γεωλόφου καὶ ὑψηλοῦ τῷ θεάτρῳ ὁμοίας. Et Cod. *Baroccianus*, τῆς ἐξοχῆς καὶ τῆς γεωλόφου καὶ ὑψηλῆς θεάτρῳ ὁμοίας. ³ *Impressi* Codd. has lineas sic distinguendo obscurant, Ἀγγοπλαστήσαντες.] καὶ κτίσαντες ἐν τοῖς ἐμπέδοις καὶ στερεαῖς χαραγμαῖς. Πυκνὰς καλιὰς Ζῆθον ἐκμιμούμενοι.] κατὰ μίμησιν &c. ⁴ Ἔκτισε, pro Ὤικησεν, ex *MSS.* omnibus. * Hæc adjeci ex *Seld.* in quo tamen non hoc loco, sed paulo infra occurrunt. ⁵ Ἄλαινος, pro Ἄλθαινος, ex *MSS.* utroque. Et quod Diomedis fratri nomen erat Alænus, paulo infra patebit. ⁶ Αὐτῶν, pro αὐτοῦ, ex *MSS.* omnibus. ⁷ Οἰκεῖ δὲ ταῦτα, pro οἰκεῖ δὲ ταῦτα, ex *MSS.* omnibus. οἰκοῦσι δὲ ταῦτα legendum putavit *Nic. Gerbelius*. ⁸ Sic emendavi hunc locum ope *MSS.* Codd. & *Gerbelii*. Ἀπούλων δὲ ἔθνος κατὰ τὸν Δίωνα Πευκέτιοι, τῶν Δίκυλοι, καὶ Δαύνιοι, καὶ Ταραντῖνοι, καὶ Κάνναι Διομήδους &c. *Impress.* ⁹ Pro Μεσσαπίγα, *Strabo* habet *Messapia* in *Aldino* Codice, inquit *Gerbelius*. ¹⁰ Σαλεντία lego ex *Seld.* Σαλεντίνη *Bar.* & *Grav.* Σαλαδία *Impress.* ¹¹ Μετεκλήθη Ἀργυρίππα Ἄρπι legendum esse monet *Cluver.* Ital. Antiq. p. 1616. Nam quæ prius *Argyrippa*, postea vitio pronuntiationis *Arpi* dicta est ab *Apulia* incolis. ¹² Διὰ τὰς ἀρὰς, pro διὰ τῆς ἀρχῆς, ex *MSS.* utroque. ¹³ Καρποῦσθαι, pro καρποῦν, ex *MSS.* omnibus. ¹⁴ Βερρουκώσου posuit *Nic. Gerbelius* ex *Plutarcho*. Βερρουκώσου *Impress.* Βερρουκάτου *Seld.* Βερρουκάτου *Bar.* & *Grav.* Cæterum Fabius Maximus, Dictator Romanus, Βερρούκωσος, i. e. Verrucosus, dictus est è Verrucis, quarum numero insignis fuit.

Νύκτωρ [a] σελῶνται, πάντα φεύγοντες βροτῶν
Κάρβανον ὄχλον, ἐν δὲ [b] Γραικίταις πέπλοις
Κόλπων ἰαυθμοὺς [c] ἠθάδας διζήμενοι,
Καὶ κρίμνα χειρῶν, κἀπιδόρπιον τρύφος
[d] Μάζης [e] ἀπάσονται, προσφιλὲς κνυζούμενοι,
Τῆς πρὶν διαίτης τλήμονες μεμνημένοι.
Τροιζηνίας δὲ τραῦμα φοιτάδος πλάνης
Ἔσται κακῶν τε πημάτων παραίτιον,
Ὅταν θρασεῖα, θουρὰς οἰστρήσῃ κύων
Πρὸς λέκτρα, τύμβος δ' αὐτὸν [f] ἐκσώσει [g] μόρου
Ὁπλοσμίας, [h] σφαγαῖσιν [i] ηὐτρεπισμένον·
Κολοσσοβάμων δ' ἐν πλυχαῖσιν Αὐσόνων

Noctu proficiſcentur, omnem fugientes
Barbaram turbam, ſed in Græcis veſtibus
Sinuum dormitoria ſolita quærentes;
Polentamque, & de prandio fruſtum panis
Ex manibus capient, amabiliter ganniendo,
Prioris victus miſeri memores.
Trœzeniæ autem vulnus erit vagi
Erroris cauſa, triſtiumque cladium,
Quando audax, laſciva Canis ſtimulabitur
Ad concubitum, templumque illum Hoploſmiæ
A morte ſervabit, neci paratum.
Columniſcenſor autem in Italorum territorio

VARIANTES LECTIONES.

a Τελοῦνται Sold. b Χερνίταις Sold. c Ἠθάδας διζήμενοι Bar. Verſum hunc hoc modo profert Codex Baroccianus, Μάζης ἀπάσονται προσφιλῶς κνυζούμενοι. Ubi notatu dignum eſt in voce μάζης ſubſcriptam eſſe ι quam alibi fere negligit. e Al. ἀπάσονται f Εκτιώση Sold. & alia. g Notandum in utroque MSS. poſt μόρου diſtinctionis notam poni, ut Ὁπλοσμίας non tam ad τύμβος, quod fit in cæteris, quam ad σφαγαῖσιν referri poſſit. h Al σφραγαῖσιν. i Ηὐτρεπισμένος Bar. ubi tamen ον ſuperſcripſit τῷ ος manus aliqua recentior.

607. Καὶ κρίμνα χειρῶν.] κρίμνα, εἶδος κριθῆς, νῦν δὲ τὸ ἀπόσπασμα τοῦ κυκεῶνος λέγει, ὡς καὶ Καλλίμαχος,

Καὶ κρίμνον κυκεῶνος ἀποσπάζοντος ὁρᾷς.

610. Τροιζηνίας δὲ τραῦμα.] ἐν Τροιζῆνι Φαίδρα ἱερὸν Ἀφροδίτης ἱδρύσατο ἐπὶ τῷ Ἱππολύτου ἔρωτι. Εὐριπίδης φησὶ,

———————— Ἱππολύτῳ δ' ἔπι

Τὸ λοιπὸν ὀνόμαζεν [1] ἱδρῦσθαι θεάν.

ἡ δὲ Ἀφροδίτη, καθά φησι Μίμνερμος, ὑπὸ Διομήδους τρωθεῖσα παρεσκεύασεν τὴν Αἰγιάλειαν πολλοῖς μὲν μοιχοῖς * μοιχευθεῖσαν, * συγκοιμηθεῖσαν δὲ καὶ Ἱππολύτῳ, καὶ Κομήτῃ, τῷ Σθενέλου υἱῷ. Διομήδης δὲ παραγενόμενος εἰς τὸ Ἄργος, ἐπιβουλεύεται ὑπ' αὐτῆς. τοῦ δὲ καταφυγόντος εἰς τὸν βωμὸν τῆς Ἥρας, διὰ νυκτὸς φυγὼν σὺν τοῖς ἑταίροις, καὶ ἦλθεν εἰς Ἰταλίαν πρὸς Δαῦνον βασιλέα, ὃς αὐτὸν δόλῳ ἀνεῖλεν. Ἡ δὲ σύνταξις, καὶ ἡ ἔννοια τοιαύτη· Τὸ τραῦμα δὲ τῆς Ἀφροδίτης, ὃ ἐτρώθη παρὰ τοῦ Διομήδους, [2] ἔσται αὐτῷ παραίτιον τῆς φοιτάδος πλάνης, καὶ κακῶν τε πημάτων, ὅταν ἡ θρασεῖα, θουρὰς καὶ ὁρμητικὴ κύων, ἤτοι ἡ γυνὴ Διομήδους Αἰγιάλεια, [3] οἰστρήσῃ καὶ μανικῶς ὁρμήσῃ πρὸς τὰ λέκτρα καὶ τὰς μίξεις, ἐκσώσῃ δὲ αὐτὸν ἀπὸ τοῦ μόρου ὁ τύμβος καὶ ὁ ναὸς τῆς Ὁπλοσμίας, ἤτοι τῆς Ἥρας, ηὐτρεπισμένον καὶ ἑτοιμασθέντα ταῖς σφαγαῖς. * Ὁπλοσμίας.] ἡ Ἥρα ἐν τῇ Πελοποννήσῳ τιμωμένη. * Τύμβος.] τύμβον καλεῖ τὸν τάφον, ὡς τὸ,

Ὁ δ' ἀμφὶ τύμβον τ' Ἀγαμέμνονος θαμειάς.

καὶ Δοσιάδας φησὶν ἐν τῷ περὶ Ἀγώνων, τοὺς βωμοὺς τάφους καλεῖσθαι.

615. Κολοσσοβάμων.] ἁλούσης τῆς Τροίας, Διομήδης ἀντὶ βάρους λίθους ἐκ τοῦ τείχους τῆς Τροίας εἰς τὴν ἑαυτοῦ ναῦν ἔβαλε. παραγενόμενος * δὲ * εἰς τὸ Ἄργος, καὶ μόλις φυγὼν τὸν ἐκ τῆς γαμετῆς αὐτοῦ θάνατον, παρεγένετο εἰς Ἰταλίαν· εὑρὼν δὲ πανουργοῦντα τὸν Κολχικὸν δράκοντα λυμαινόμενον τὴν Φαιακίδα, ἔκτεινε, τὸ τοῦ Γλαύκου χρυσοῦν ἀσπίδα κατέχων· λυόμενοι γὰρ ὁ δράκων τὸ χρυσοῦν ἦν δέρας τοῦ κριοῦ. τιμηθεὶς δὲ ὁ Διομήδης ἐπὶ τούτῳ σφόδρα, ἀνδριάντας κατεσκεύασεν ἑαυτοῦ ἐκ τῶν λίθων τῆς Ἰλίου, ὧν ἐνεβάλετο τότε εἰς τὴν ναῦν, καὶ ἔστησε τούτους κατὰ πᾶν τὸ ἐκεῖ πεδίον. ὕστερον δὲ ἀνελὼν ὁ Δαῦνος αὐτὸν, [4] ἔρριψε καὶ τοὺς ἀνδριάντας εἰς τὴν θάλασσαν· οὗτοι δὲ [5] ἀνεχόμενοι ὑπὸ τῶν κυμάτων, πάλιν ἐξήρχοντο πρὸς τὰς βάσεις αὐτῶν. ἱστορεῖ δὲ τοῦτο Τίμαιος ὁ Σικελὸς, καὶ Λύκος ἐν τρίτῳ. Καὶ ἡ μὲν ἱστορία τοιαύτη, ἡ δὲ σύνταξις οὕτως ἔχει· Κολοσσοβάμων δὲ παθεὶς, ἤτοι ἀνδριαντογλύφος· κολοσσὸς γὰρ, ὁ ἀνδριάς. παθεὶς δὲ ποῦ; ἐν ταῖς πλυχαῖς καὶ περιπολίσμασι καὶ πόλεσι τῶν Αὐσόνων, ἱδρύσει καὶ ἑδράσει τὰ κῶλα αὐτοῦ, ἤτοι τὰ ὀστᾶ, ἤτοι γλυφήσονται ὡς ἀνδριὰς ἀπὸ τῶν χερμάδων καὶ μεγάλων λίθων, τῶν γυπίδων καὶ θεμελιακῶν τοῦ Ποσειδῶνος, ὃν Ἀμοιβέα καλεῖ, [6] αὐτὸς γὰρ σὺν Ἀπόλλωνι τὴν Τροίαν ἐπύργωσε. πῶς δὲ γλυφίσονται ὡς ἀνδριάς; ὁ Διομήδης ἐκβαλὼν ἀπὸ τοῦ πλοίου αὐτοῦ δηλονότι τὴν πέτρον καὶ τὸν λίθον ἑρματίτην καὶ ἐξισωτὴν τοῦ πλοίου· ἐν γὰρ τοῖς κενοῖς πλοίοις οἱ πλέοντες βάλλουσι [7] λίθους, ὅπως ὀρθῶς καὶ μὴ λοξῶς τῇ κουφότητι πλέωσιν. Ἄλλως· Ἐπὶ κολοσσοῦ δὲ βεβηκὼς, ἤγουν ἐφ' ὑψηλοῦ τόπου, ἐν τῇ πλακὶ τῶν Ἰταλῶν, στηρίξει τὰ σκέλη ἐπὶ λίθων τοῦ τειχοποιοῦ τῶν ἐδαφῶν Ποσειδῶνος, τὴν ἐξισωτὴν τῆς νεὼς ἐκβαλὼν πέτρον. Αὔσονας δὲ καλῶς εἶπεν οὗτος ὁ Λυκόφρων, τούς τε Φαίακας, καὶ Δαυνίους· Αὔσονες γὰρ κυρίως, ὥσπερ καὶ περὶ τὰς ἀρχὰς ἔφην, οἱ Αὔρουγκοι λέγονται, μέσον Καμπανῶν κείμενοι καὶ Οὐόλσκων. ἔνιοι δὲ καὶ μέχρι Λατίου Αὐσονίαν ὀνόμασαν εἶναι, ὥστε ἐκ τούτου τινὲς καὶ πᾶσαν τὴν Ἰταλίαν φασίν. ὁ δὲ σοφὸς οὗτος Λυκόφρων ἐκ εἴδους ποιεῖ ἀδιάφ

EMENDATIONES.

1 Ἱδρύσασθαι Bar. ἱδρύσθαι Sold. * Ex Sold. 2 Ἔσται pro ἔστω, ex Grav. & Lycophronis textu. 3 Οἰστρήσῃ, pro ἐστρήσῃ ex Bar. * Hæc adjeci ex Bar. & Grav. * Ex MSS. utroque. 4 Ἔρριψεν αὐτοὺς Impreſſ. Ego αὐτοὺς delevi, ut ſupervacaneum, ex auctoritate MSS omnium. 5 Ἀνεχόμενοι, pro ἀπερχόμενοι, ex Grav. 6 Αὐτὸς γάρ. pro αὐτὸς δὲ, ex MSS. utroque. 7 Λίθους, pro λίθον, ex MSS. omnibus

τὰς

Σταθεὶς, ἐρείσει κῶλα χερμάδων ἔπι	Stans, membra fulciet in saxis,
Τοῦ [a]τειχοποιοῦ [b]δαπέδων [c]Ἀμοιβέως,	Solo Architecti Amœbei,
Τὸν ἑρματίτην νηὸς ἐκβαλὼν πέτρον.	Saburratoribus expositis è navi lapidibus.
Κείσει δ' Ἀλαίνου τοῦ κασιγνήτου [d]σφαλεὶς,	At Alæni judicio fratris deceptus,
Εὐχὰς ἀρούραις [e]ἀμφετητύμοις βαλεῖ,	Veras immittet arvis preces,
Δηοῦς ἀνεῖναι μή ποτ' [f]ὄμπνιον στάχυν,	Ut nunquam Cereris almam emittant aristam,
Γύας [g]τιθαιβώσσοντος ὀρδηθμῷ Διὸς,	Arva nutricante imbribus Jove,
Ἢν μή τις αὐτοῦ ῥίζαν Αἰτωλῶν σπάσας	Nisi quis Ætolus ab ipso trahens originem
Χέρσον λαχήνῃ, βουσὶν αὔλακας τεμών.	Terram fodiat, bubus proscindens sulcos.
Στήλας δ' ἀκινήτοισιν ὀχμάσει πέδον,	Columnis autem immotis terram continebit,
Ἃς οὔτις ἀνδρῶν ἐκ βίας καυχήσεται	Quas nemo per vim gloriabitur
[h]Μετοχλίσας [i]ὀλίγον· ἦ γὰρ ἀπλέρως	Vel parum dimovisse; etenim citò
Αὐταὶ παλιμπόρευτον ἵξονται βάσιν,	Ipsæ reducem ibunt gressum,
[k]Ἄνδηρ' ἀπέζοις ἴχνεσι δατούμεναι.	Mancis terentes litora vestigiis.
Θεὸς δὲ πολλοῖς αἰπὺς αὐδηθήσεται,	Magnus verò à multis Deus appellabitur
Ὅσοι παρ' Ἰοῦς [l]γρῶνον οἰκοῦσι πέδον,	Juxta cavum Ionis habitantibus solum,
Δράκοντα τοῦ [m]φθείροντα Φαίακας κτανών.	Dracone perdente Phæacas occiso.

VARIANTES LECTIONES.

a Al. τειχοποιοῦ. b Γηπέδων al. γαπέδων δ' Seld. c Ἀμοιβέως Bar. eandem etiam in Scholiis lectionem observat. d Σφαγεὶς al. e Ἀφ' ὑπνώμενα Seld. f Ἔμπνιον Seld. g Τιθαιβώσσοντος Seld. h Μετοχλίσας al. i Οὐκ ἴσον Seld. aliique. k Al. ὡς δ' ἂν γ'. l Al. χρῶνον οἰκοῦσι. al. οἰκοῦντες. m Φθείροντα Seld. aliique.

τοὺς Φαίακας, καὶ Δαυνίους, ἤτοι τοὺς Καλαβρούς, Αὔσονας καλεῖ. τὰ δὲ τῶν πάνυ [1]νεωτέρων θαυμάζω, ὅτι ἀμαθίας καὶ ἀναισθησίας ἀδείᾳ καὶ ἡμᾶς τοὺς Ἑλληνικοὺς χρόνους ὄντας Αὔσονας λέγουσι.

617. Τειχοποιοῦ.] ὁ Ποσειδῶν εἴρηται διά τι λέγεται, ὅτι τὴν Τροίαν σὺν Ἀπόλλωνι ἐπυργώσατο· *περαιτέρω δὲ πλατύνειν τὴν ἱστορίαν, ἢ δι' ἐπῶν, ἢ καταλογάδην ῥητῶν, καίτοι μυρία λέγειν εἰδότα, περιττὸν ἐστίν.* Ἀμοιβέως.] τὸν Ποσειδῶνα λέγει, ὅτι ἐν Δελφοῖς οὕτω τιμᾶται, ἐπεὶ ἠμείψαντο πρὸς ἀλλήλους, ὁ μὲν Ποσειδῶν Καλαυρείαν, ὁ δ' Ἀπόλλων Δελφούς.

619. Κείσει δ' Ἀλαίνου.] λέγεται ὅτι ὁ Ἀλαινος νόθος ἦν ἀδελφὸς Διομήδους, ὃς ἐρῶν Εὐίππης, τῆς Δαύνου θυγατρὸς, καὶ κριτὴς αἱρεθεὶς, χαριζόμενος αὐτῇ, τὸν Διομήδην ἔκρινε τὰ λάφυρα λαβεῖν, καὶ μὴ τὴν γῆν.

621. Δηοῦς ἀνεῖναι.] Δηὼ λέγεται ἡ Δημήτηρ, παρὰ τὸ δηίω, τὸ μερίζω, ἡ μεμερισμένη πᾶσιν. Ἀνεῖναι δὲ, ἀντὶ τοῦ ἀναδοῦναι, καὶ αὐξῆσαι. Ὄμπνιον στάχυν.] [2]ὄμπναι, κυρίως πυροὶ μέλιτι βεβρεγμένοι, νῦν δὲ ἁπλῶς Δημητριακὸν σῖτον εἶπε. ὁ ὄμπνιος στάχυς, ὁ τρόφιμος ἤγουν, ἤτοι ὠφέλιμον, διδοὺς τοῖς ἀνθρώποις, ὁ ὑπὸ τοῦ ἀνέμου πνεόμενος, καὶ εἰς ὄνησιν αὐξανόμενος.

622. Γύας.] τοὺς γεωργουμένους τόπους λέγει. Τιθαιβώσσοντος.] ἐπιμέλειαν ἀξιώσαντος. κυρίως δὲ ἡ λέξις ἐπὶ τῶν μελισσῶν λέγεται, παρὰ τὸ τιθέναι τὴν βόσιν. καὶ Ὅμηρος,

—— ἔνθα δ' ἔπειτα [3]τιθαιβώσσουσι μέλισσαι,

Ἀκινήτους τὰς στήλας εἶπεν, ἃς Διομήδης ποιήσας ἔστησεν ἀνὰ πᾶν τὸ ἐκεῖ πεδίον, διὰ τὸ, ἀποθανόντος τοῦ Διομήδους, ῥιφθῆναι εἰς τὸν βυθὸν αὐτὰς παρὰ τοῦ Δαύνου, ὥστε καταποντωθῆναι, καὶ πάλιν ἐξέρχεσθαι, καὶ εὑρίσκεσθαι ἐν τῷ τόπῳ, ἐν ᾧ ἔστησεν.

627. * Ἀπλέρως.] ὁμοπλέρως, ταχέως. *

629. Ἄνδηρα.] κυρίως τὰ χείλη τῶν ποταμῶν, νῦν δὲ τὰ κύματα λέγει. Δατούμεναι δὲ, ἀντὶ τοῦ κόπτουσαι καὶ διερχόμεναι τὰ κύματα, ἐν ἀπέζοις ἴχνεσι, τοῖς μὴ ἔχουσι πέζας, ὅ ἐστι πόδας· μαρμάρειναι γὰρ ἦσαν αἱ στῆλαι.

630, 631, 632. Θεὸς δὲ πολλοῖς.] Φαίακας σώσοντα τὸν Διομήδην, οἵτινες εἰσὶ περὶ τὸ Ἰόνιον πέλαγος, ὅτι τὸν δράκοντα ἀνεῖλεν ἐκ Κόλχων ἐκεῖσε ἐλθόντα πρὸς ζήτησιν τοῦ χρυσοῦ δέρους. τινὲς δὲ ληστὴν φασὶν εἶναι τὸν δράκοντα. ἡ δὲ Φαιακία περὶ τὸν Ἰόνιον κόλπον ἐστὶν, ὁ δὲ Ἰόνιος κόλπος, κατὰ τὸν Λυκόφρονα καὶ Αἰσχύλον, ἀπὸ τῆς Ἰοῦς ἐκλήθη· φησὶ γὰρ καὶ Αἰσχύλος ἐν Προμηθεῖ,

Χρόνον δὲ τὸν μέλλοντα πόντιος [4]μυχὸς,

EMENDATIONES.

[1] Νεωτέρων, pro νεῶν, ex fide omnium MSS. Et νεῶν quidem contractio erat νεωτέρων, à festinante calamo facta. Νέων fortassis legendum, inquit Gerbelius; quod absurdum, nisi forte voluit νέων. * Hæc deprompta sunt ex Bar. & Grav. [2] Ὄμπναι, pro ὄμπνιαι, ex Phavorin. Grav. & Bar. [3] Τιθαιβώσσουσι, pro τιθαιβώσσωσι, metri gratia. * Hoc adjeci ex Bar. & Grav. [4] Μυχὸς posui, pro βυθὸς, ex MSS. omnibus, & ipso Æschylo.

Οἱ δ' [a] ἀμφικλύστους [b] χοιράδας [c] Γυμνασίας
[d] Σισυρνοδῦται [e] καρκίνοι [f] πεπλωκότες,
Ἄχλαινον [g] ἀμπρεύσουσι νήλιπον βίον,
Τριπλαῖς δικώλοις σφενδόναις ὡπλισμένοι·
Ὧν αἱ τεκοῦσαι τὴν [h] ἑκηβόλον τέχνην
Ἄδορπα [i] παιδεύσουσι νηπίους [k] γόνους.
Οὐ γάρ τις αὐτῶν [l] ψίσεται πύρνον γνάθῳ,
Πρὶν ἂν [m] κρατήσῃ ναστὸν εὐστόχῳ λίθῳ,
Ὑπὲρ [n] τράφηκος σῆμα κείμενον σκοποῦ.
[o] Καὶ τοὶ μὲν ἀκτὰς [p] ἐμβατήσονται [q] λεπρὰς
[r] Ἰβηροβόσκους, ἄγχι [s] Ταρτησσοῦ πύλης,

Alii ad mari cincta saxa Gymnesia
Vestibus induti villosis Cancri navigantes,
Nudam trahent discalceatam vitam,
Tribus bifunibus instructi fundis:
Quorum matres jaculandi artem
Docebunt infantes ante cœnam filios.
Nullus enim illorum maxillis panem mandet,
Antequam eum certo assequatur lapide,
Super lignum scopi signum positum.
Atque illi quidem ripas conscendent asperas
Iberiferas, juxta Tartesi portam,

VARIANTES LECTIONES.

a Ἀμφικλύστους Bar. eandemque lectionem in Scholiis habet. al. ἀμφὶ κλύστους. b Al. σπιλάδας. c Γυμνησίας Sold. d Σισυροδῦται al. σισυρνοδῦται, teste Lexic. σισυροδῦται Bar. e Καρκίνοι Bar. aliique. καρκῖνοι τε al. f Πεπλωκότες MSS. uterque, & alii. g Ἀμπρεύσουσιν ὕλαις Etymol. ἀμπρεύσουσιν ὕλαις Sold. h Ἐκβόλον Bar. aliique. i Παιδεύουσι Bar. k Γόνοις MSS. uterque, & alii. l Ψίσεται Etymolog. Sold. m Al. κρατήσει. n Τράφηκος Bar. idemque habet in Scholiis. o Καὶ οἱ Bar. p Ἐμβατεύσουσι Sold. aliique. q Al. λισσάς. r Al. Ἰβηροβόσκοις. s Al. Ταρτησσοῦ.

Σαρδὼ ἔλυσαν, Ἰόνιος κεκλήσεται,
Τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσι βροτοῖς.
Τὸ δ' ὅτι τὸ πέλαγος Ἰόνιον ἐκλήθη ἀπὸ Ἰοῦς — ὅτι Ἰόνιος πρότερον γὰρ Κρόνιος, καὶ Ῥέας κόλπος ἐλέγετο, ὕστερον Ἰόνιος ἐκλήθη. ἐκ γὰρ Δωδώνης ἐκεῖ ἀντεπέρασεν, ἐν δὲ Κανώβῳ ἐκεῖ ἐλάθη. ἐκ γὰρ Δωδώνης ἐκεῖ ἀντεπέρασεν, ἐν δὲ Κανώβῳ ὤμηρον ἐγένετο, ἔνθα ἐκ τοῦ Διὸς ἐκ τοῦ Ἐπαφον φησί, ὁ Λιβύην ἐγέννησεν, ἐξ ἧς Βῆλος, ὁ Δαναὸς καὶ Αἴγυπτος. καὶ οὗτοι μὲν οὕτω φασὶ τὸν Ἰόνιον κληθῆναι. Αὐτόδοτος δὲ, καὶ ἄλλοι πολλοί φασιν ἀπὸ Ἰονίου Ἰλλυριοῦ τὸ γένος, βασιλεύσαντος τοῦ τόπου, υἱοῦ Ἀδρίου, τοῦ περὶ τοῦτο τὸ πέλαγος κτίσαντος πόλιν τὴν λεγομένην Ἀδρίαν, ἣν Ἀδρίαν ἕτεροι φασὶν ἀπὸ Διονυσίου, τοῦ πρότερον τυράννου Σικελίας, κληθῆναι· τὸ δὲ πέλαγος, ὡς ἔφην, ἀπὸ τοῦ Ἰονίου ἐκλήθη.

633. Οἱ δ' ἀμφικλύστους.] ἕτεροι δὲ, ὅτι οἱ Βοιωτοί, οὓς καὶ καρκίνους λέγει, πλεύσαντες εἰς τὰς χοιράδας καὶ πέτρας τὰς Γυμνησίας, ἄξουσι γυμνὸν βίον, ἀνυπόδετοι, τρεῖς σφενδόνας κατέχοντες. μίαν περὶ τὴν κεφαλὴν, ἑτέραν περὶ ζωσμένοι τὴν ὀσφύν, καὶ τρίτην τῇ χειρὶ κατέχοντες, ὅπου αἱ μητέρες τὴν σφενδονητικὴν τοὺς νηπίους παῖδας διδάσκουσιν· οὐ γάρ τις τῶν παιδαρίων, τῶν ἐκεῖ, γεύσεται ἄρτου, εἰ μὴ καταβάλλῃ τις τῶν παιδαρίων, [1] σφενδονητικῇ, [2] ἀντὶ σκοποῦ κείμενον ὑπὲρ αὐτὸν σανίδος. αἱ δὲ [3] Γυμνησίαι αὗται, νῆσοι περὶ τὴν Τυρσηνίαν εἰσί. μέμνηται δὲ αὐτῶν καὶ Ἀρτεμίδωρος. Τίμαιος δέ φησιν εἰς ταύτας τὰς νήσους ἐλθεῖν τινὰς τῶν Βοιωτῶν, ἃς νήσους Χοιράδας ὀνομάζει. [4] Φιλτίας δὲ ἐν τρίτῳ Ναξιακῶν, Βαλιαρίδας φησὶν αὐτὰς ὕστερον ὀνομασθῆναι. εἰσὶ δὲ οἱ ἐν αὐταῖς κατοικοῦντες ἄριστοι σφενδονῆται· αἱ γὰρ μητέρες αὐτῶν, ὡς ἔφην, τιθέασιν ἐπί τινος ξύλου ἄρτον, καὶ οὐ πρότερον διδόασιν αὐτοῖς φαγεῖν, πρὶν καταβαλεῖν τὸν ἄρτον. ταῦτα μὲν οὖν οὕτοι περὶ Γυμνησίων νήσων. Δίων δὲ ὁ Κοκκειανὸς ταύτας φησὶ πλησίον εἶναι τοῦ Ἴβηρος ποταμοῦ, πλησίον τῶν Εὐρωπαίων [5] Ἡρακλείων στηλῶν, ἃς νήσους Ἕλληνες μὲν καὶ Ῥωμαῖοι κοινῶς Γυμνησίας φασίν, Ἴβηρες δὲ Βαλιαρίας, ὅτι ὑγιεινάς, ἕτεροι δὲ Γυμνησίας αὐτὰς οὕτω φασὶ κληθῆναι, ὅτι οἱ σφενδονῆται τῶν Ἑλλήνων, ἐκεῖσε γυμνοὶ [6] ἐξώχθησαν, καὶ συνοικήσαντες γυναιξίν, οὕτω καὶ τοὺς παῖδας καὶ τὰς νήσους ἐκάλεσαν.

634. Σισυρνοδῦται.] διαφέρει σίσυς, σισύρα, καὶ σισύρνα. Σίσυς μὲν γὰρ λέγεται πᾶν εὐτελὲς ἱμάτιον. Σισύρα δὲ, [7] τὸ ἐκ δέρματος ἐνδεῖχον, ὅπερ καὶ γοῦναν καλοῦσιν, ἢ τὸ ἁπλῶς ἐξ ἐρίου [8] ἱμάτιον. Σισύρνα δὲ, τὸ ἄτριχον δερμάτιον· τοιούτοις γὰρ ἱματίοις ἐχρῶντο οἱ ταύτην οἰκοῦντες. Καρκῖνοι.] διὰ τὸ συλληφθῆναι αὐτῶν ὑπὸ τῆς θαλάσσης τὰς σάρκας, * ἢ διὰ τὸ ναυαγήσαντας δέρματα σκέπειν, * ἢ δίκην καρκίνων πλεύσαντες.

635. * Ἀμπρεύσουσιν.] ἐμπορεύσουσι, κακοπαθήσουσιν· * ἄμπρευς γὰρ καλεῖται κυρίως, τὸ σχοινίον τὸ ἕλκον τοὺς βόας, ἢ τὸ ξύλον τὸ ἐπικείμενον τοῖς αὐχέσι τῶν ὑποζυγίων.

640. Ναστός.] κυρίως ἄρτος συζυμωθεὶς μετὰ μέλιτος, καὶ σταφίδων, καὶ ἑτέρων εἰδῶν, νῦν δὲ ἁπλῶς τὸν ἄρτον εἶπε. Τράφηκος.] τράφηξ κυρίως ὁ [9] ὑπόπλατυς σανίς, ἐν ᾗ τοὺς ἄρτους πρὸς τοὺς κλιβάνους ἀπάγουσι. νῦν δὲ τὸ ἁπλῶς ξύλον εἶπε. τράφηξ καλεῖται καὶ τὸ τοῦ πλοίου χεῖλος, ἐν ᾧ οἱ σκαλμοὶ τίθενται. τράφηξ δὲ, καὶ ὁ τὴν τροφὴν φέρων.

642. * Λισσάς.] θαλάσσῃ βεβρεγμένας. *

643. Ἰβηροβόσκους.] αἱ γὰρ Γυμνησίαι πλησίον Ἰβήρων. ἡ δὲ Ἰβηρία, καὶ Ἱσπανία καλεῖται παρὰ Λατίνοις. Ταρτησσὸς δὲ, νῆσος, καὶ πόλις, ἣν Ἀργανθώνιος ἐβασίλευσε, ζήσας ἔτη ρκ', ἀφ' ὧν ἐβασίλευσεν π', ὡς φησὶν ὁ Ἡρόδοτος. κεῖται δὲ αὕτη ἡ Ταρτησσὸς ἔξω πλησίον τῶν Ἡρακλείων στηλῶν. Πύλην δὲ αὐτὴν εἴρηκε, διὰ τὸ στενὸν εἶναι τὸ μεταξὺ τῶν Ἡρακλείων στηλῶν, ὡς στόμα, δι' οὗ ἔκπλους ἐστὶν εἰς τὸν ὠκεανόν.

EMENDATIONES.

1 Σφενδονητικῇ, pro σφενδονητικὸς. Sold. habet σφενδονητικῇ. 2 Ἀντὶ σκοποῦ posui, pro ἀντισκοπῷ ex Bar. & Grav. 3 Γυμνησίαι, pro γυμνήσιοι. Gerbelius reposuerat Γυμνασίαι, sed Tzetzes hanc vocem cum η proferre solet. 4 Φιλτίας Bar. & Grav. 5 Ἡρακλείων, pro Ἡρακλείων. Nam in Genitivis pluralibus secundæ Declinationis, uti & primæ, ultima debet circumflecti, quod vel pueris notum. Et hanc emendationem, etiam infra necessariam, confirmabit Sold. 6 Ἐξώχθησαν Bar. & Grav. 7 Τὸ ἐκ δέρματος ἐνδεῖχον, pro τὸ ἐκ δέρματος ἐνδεῖχον ex Bar. & Grav. 8 Ἱμάτιον, pro ἱμάτιον. ex MSS. omnibus. * Hoc adjeci ex Sold. * Hoc adjeci ex MSS. omnibus, idque ex Impressis excidisse cuilibet attendenti manifeste constabit. 9 Pro ὑπόπλατος, in Sold. reperitur ὑπόπλατυς q. τὰ(?) latiorem mensam denotaret. * Hoc adjeci ex Bar. & Grav.

644. Ἄρτες.]

Ἄρνης παλαιᾶς γῆνα, Τεμμίκων πρόμοι,	Arnes vetustæ soboles, Temmicum duces,
Γραῖαν ποθοῦντες, καὶ Λεοντάρνης [a] πάγους,	Græam desiderantes, & Leontarnes colles,
Σκῶλόν τε, καὶ [b] Τέγυραν, Ὀγχηστοῦ θ' ἕδος,	Scolumque, & Tegyram, Onchestique sedem,
Καὶ χεῦμα Θερμώδοντος, Ὑψάρνου θ' ὕδωρ.	Ac Thermodontis fluentum, Hypsarnique aquam.
Τοὺς [c] δ' ἀμφὶ Σύρτιν, καὶ [d] Λιβυστικὰς πλάκας,	Alios circa Syrtin, & Lybiæ æquora,
Στενήν τε [e] πορθμοῦ συνδρομὴν [f] Τυρσηνικοῦ,	Angustumque freti Tyrrheni concursum,
Καὶ μιξοθῆρος ναυτιλοφθόρους σκοπὰς,	Et Semiferæ naufragas speculas,

VARIANTES LECTIONES.

a Πάγας Sold. b Τέγυραν Bar. Τέγυραν al. c Al. δ'. d Λιγυστικὰς al. Λιβυστικὰς Sold. Sed isti ς eadem, ut videtur, manus γ superposuit. Λιβυστικὰς Bar. ibi vero τῷ ο recentior manus ι, & τῷ ι superposuit υ. e Al. πορθμοῦ. al. πορθμοῖσιν δρομάς. f Al. Τυρσηνικοῦ.

644. Ἄρνης] Ἄρνη πόλις Βοιωτίας, ἀπὸ [1] Ἄρνης τῆς Ποσειδῶνος τροφοῦ, ὅτι Κρόνου ζητοῦντος Ποσειδῶνα, ἀπηρνήσατο μὴ ἔχειν αὐτόν, ὅθεν ἡ πόλις ἐκλήθη, πρότερον [2] Σινόεσσα λεγομένη, ὥς φησι Θησεὺς ἐν τρίτῃ Κορινθίων. Κρότων ἢ διὰ τὸ ἄρνας πολλοὺς ἔχειν, καὶ τὴν [3] Κῶν ὁ αὐτὸς οὕτω φησὶ κληθῆναι, παρὰ τῶν οἰκούντων αὐτὴν Καρῶν· κῶν γὰρ τὸ πρόβατον οἱ Κᾶρες φασίν. Τεμμίκων.] τῶν Βοιωτῶν, ἀπὸ ὄρους Τεμμίκου.

645, 646. Γραῖαν.] τὴν νῦν [4] Τάναγραν, πόλιν Βοιωτίας. Λεοντάρνη.] πόλις Βοιωτίας· ἐκλήθη δὲ οὕτω, διότι Ἀδράστου ἐκεῖ μέλλοντος θύειν ἄρνα, λέων ἐλθὼν ἥρπασεν ἐκ τῆς θυσίας τὴν [5] τεθυσομένην ἄρνα. Σκῶλος, καὶ Τέγυρα, πόλεις Βοιωτίας. [6] Ὀγχηστοῦ.] ἄλσος ἱερὸν Ποσειδῶνος, ὥς φησιν Ὅμηρος,

Ὀγχηστόν θ' ἱερὸν, Ποσιδήϊον ἀγλαὸν ἄλσος.

647. Θερμώδων.] ἔστι μὲν ἕτερος ποταμὸς Παφλαγονίας περὶ [7] Σινώπην, ὅπου ᾤκουν αἱ Ἀμαζόνες· ὁ δὲ νῦν κείμενος Θερμώδων, καὶ Ὑψάρνος, Βοιωτίας εἰσὶ ποταμοί, ὡς Καλλίμαχος,

Ἂψ ἐπὶ Θερμώδοντος ἰδεύετον. ———

648, 649, 650. Τοὺς δ' ἀμφὶ Σύρτιν.] τοὺς περὶ τὸν Ὀλυσσέα λέγει, περὶ γὰρ τὴν Λιβύην ἐκπεσόντες ἐπλανῶντο. δύο δέ εἰσι Σύρτεις ἐν Λιβύῃ, ἡ μὲν μείζων, ἡ δὲ μικρὰ Σύρτις, ἢ Χάρυβδις. ἔστι δὲ ὄνομα τόπου θαλάσσης περὶ Μεσσήνην καὶ Λιβύην, ἔνθα ὁ Τυῤῥηνὸς [8] Ἀδρίᾳ συμβάλλων δεινὴν ἐργάζεται τὴν Χάρυβδιν. Ἀνδρίας δὲ, καὶ [9] Σίνων, ὀνόματα ποταμῶν ῥεόντων εἰς τὸν Ἰόνιον κόλπον. Γράφεται δὲ καὶ Λιγυστικάς, οἰκοῦσι δὲ οἱ Λίγυες μετὰ τῶν Τυρσηνῶν. Στενὴν δὲ πορθμοῦ συνδρομὴν λέγει, ἐπειδὴ ὁ πορθμὸς μέσος κεῖται τοῦ Ἀδριατικοῦ καὶ τοῦ Τυρσηνικοῦ πελάγους, τῷ μὲν λήγων, τῷ δὲ ἀρχόμενος. τὸ δὲ Τυρσηνικὸν πέλαγος μεταξὺ Ῥηγίου καὶ Μεσσήνης κεῖται. Τὸ δ' ἑξῆς οὕτως· Τοὺς δ' ἀμφὶ Σύρτιν, καὶ Λιβύην, καὶ πορθμὸν τὸν ἐν Τυρσηνίᾳ πλανηθέντας, πάντας ὁ πανδέχος ᾅδης καλύψει. Λιβυστικόν, καὶ Λιγυστικόν, τὸ αὐτό ἐστι. Λιβυστικὸν μὲν γὰρ λέγεται, ἀπὸ Λιβύης, τῆς Ἐπάφου θυγατρός· Λιγυστικὸν δὲ, ἀπὸ Λίγυος, τοῦ [10] Ἀλεξίωνος ἀδελφοῦ, ὃς Ἡρακλέα κωλύων ἀπερχόμενον ἐπὶ τὰς Γηρυόνου βόας, ἀνῃρέθη. Εὐρώπης καὶ Λιβύης ἄκραι, πορθμὸς σταδίων ἑπτά, ἔνθα περὶ τὴν Λιβύην καὶ Ἡρακλέος δύο ἵστανται στῆλαι, [11] Ἀλύβη καὶ Ἀβίλυκα λεγόμεναι. ἐκεῖ δέ εἰσι καὶ τὰ Γάδειρα, ἃ πρότερον νῆσος Κοτίνουσα ἐλέγετο. ποταμὸς δὲ Γαδείρων Βαίτης, ἔνθα αἱ ἡμέραι ἀθρόον, καὶ οὐ κατ' ὀλίγον, πίπτουσι, δίκην ἀστραπῆς. καὶ τὰ μὲν Γάδειρα κατὰ Εὐρώπης κεῖται τέρμα. Μακάρων δὲ νήσους δείξοντες τῷ Λιβυκῷ τέρματι, πρὸς τὸ ἀοίκητον ἀνέχουσαι ἀκρωτήριον. Κλέαρχος δὲ τὰς κατὰ Γάδειρα στήλας, τοῦ Βριάρεω Ἡρακλέος εἶναι λέγει, μεθ' ὃν δεύτερον Ἡρακλῆς ὁ Τύριος ἦλθεν ἐπὶ τὰ Γάδειρα, καὶ τρίτος ὁ Ἕλλην. Μιξόθηρος.] τὴν Σκύλλαν, ἥτις, κατ' ἐμέ, θυγάτηρ ἦν Νίσου [12] τῶν Μεγαρέων. τεμοῦσα δὲ τὴν χρυσῆν αὐτοῦ τρίχα, καὶ ἄνανδρον αὐτὸν ἐργασαμένη, (ἐν ἐκείνῃ γὰρ τῇ τριχὶ ἦν αὐτοῦ τὸ πᾶν τῆς δυνάμεως, καθάπερ καὶ τοῦ Σαμψών) [13] ἀνῃρέθη ὑπὸ τοῦ Μίνωος, ᾧ καὶ προὔδωκε τὸν πατέρα, κρεμασθεῖσα τῆς πρύμνης τῆς ἐκείνου νηός, καὶ ἑλκομένη διὰ τῆς θαλάσσης, ὅθεν καὶ ὁ τόπος (οἶμαι) τοῦ πελάγους ἐκλήθη. Ἄλλοι δέ φασι γυναῖκα ταύτην εἶναι εὐπρεπῆ, ἣν μισγομένην Ποσειδῶνι γνοῦσα Ἀμφιτρίτη, ἐνέβαλε φάρμακα τῇ πηγῇ ἐφ' ἣν εἰώθει ἡ Σκύλλα λοῦσθαι, καὶ ἀπεθηρίωσεν αὐτὴν εἰς θηρίον, ἓξ μὲν κεφαλὰς ἔχον, κάμπης, κυνός, λέοντος, [14] Γοργόνος, φαλαίνης, ἀνθρώπου, ιβ' πόδας. καὶ ταῦτα μὲν λῆρος, καὶ μυθικά, ὅπερ δὲ αὐτὸς ἀλληγόρησα. Σκοπὰς λέγει τοὺς σκοπέλους. καὶ Ὅμηρος,

[15] Αὐτὴ δ' ἰχθυάα σκόπελον περιμαιμώωσα.

Ἡρακλῆς περιπλέων τὰ μέρη, ἔνθα κατῴκει ἡ Σκύλλα, ὅτι ἦγε τὰς Γηρυονείους βόας, αὐτὴν ἀνεῖλεν· ἐλθὼν δὲ πάλιν ὁ πατὴρ αὐτῆς Φόρκυς, καὶ καύσας αὐτήν, πάλιν ἀνέστησεν.

EMENDATIONES.

1 Ἄρνης, pro Ἄρνος, ex MSS. omnibus. 2 Σινόεσσα Sold. Σινόεσσα Bar. & Grav. 3 Σκῶλον bis hic, pro Κῶν habent Bar. & Grav. 4 Τάναγραν, καὶ aliae Impress. Ego καὶ delevi. 5 Τεθυσόμενον Sold. quæ lectio non est prorsus repudianda. 6 Ὀγχηστοῦ.] ἄλσος ἱερόν, pro Ὀγχηστὸς ἄλσος] ἱερόν, ex Bar. Ὀγχηστὸς δὲ, ἄλσος ἱερὸν Sold. 7 Σινώπην, pro Σιδῶνα, ex Bar. & Grav. 8 Ἀδρίας, pro αἰδρίας· item paulo post, Ἀδρίας, pro Ἀνδρίας. ex sententia Stephani reposuit Gerbelius, quocum heic faciunt MSS. utrque. 9 Σίνων Bar. 10 Ἀλεξίωνος Sold. Ἀλεβίωνος Bar. 11 Ἀβύλη καὶ Κάλπη reponendum edocet, ex Strabonis & aliorum sententia, Nic. Gerbelius. 12 Τοῦ Μεγαρέως lego cum MSS. omnibus. τῶν μεγάρων Impress. absurde. Erant autem Scyllæ plures, quarum una fuit Nisi filia Megarensium regis; quæ cum patrem, desecto capillo aureo, Minoi prodidisset, in avem una cum patre mutata dicitur. Ovidius,

Filia purpureum Nisi furata capillum,
Puppe cadens navis, facta refertur avis.

Et Virgilius Georg. I. eandem historiam attigit his verbis,

Apparet liquido sublimis in aere Nisus,
Et pro purpureo pœnas dat Scylla capillo. &c.

Hæc autem Scylla, etsi id neget *Scholiastes*, ab illâ, quæ mare Siculum infestare credebatur, omnino alia est. 13 Ἀνῃρέθη restituo ex MSS. omnibus. Ἀναιρεθῆναι δὲ ἐκείνου Impress. sensu corrupto: vult enim *Scholiastes* ipsam Scyllam à Minoe fuisse occisam, postquam ipsius amore capta patrem prodidisset; quod *Pausanias* Corinthiacis, aliique quam plurimi memorant. 14 Γοργόνος, pro γοργόνος. ex Sold. 15 Ita emendavi hunc versum, quem corruptissimum offendi, Αὖται δ' ἰχθύας σκόπελον περιμαιμώωσα.

Τῆς πρὶν θανούσης ἐκ [a] χερῶν Μηκιστέως,	Prius interfectæ manibus Mecistei,
Τοῦ Στερφοπέπλου, Σκαπανέως, [b] Βοαγίδα,	Leoninam induti, Fossoris, Bubulci,
[c] Ἁρπυιογόνων κλώμακάς τ' ἀηδόνων	Et aviformium scopulos Lusciniarum
Πλαγχθέντας, ὠμόσιτα [d] δαιταλωμένους,	Vagatos, crudeliter laceratos,
[e] Πρόπαντας ᾅδης πανδοκεὺς ἀγρεύσεται,	Orcus omnes capax capiet,
Λώβαισι παντοίαισιν ἐσπαραγμένους,	Cladibus omnigenis excruciatos,
Ἕνα φθαρέντων ἄγγελον λιπὼν [f] φίλων,	Unum ex perditis relinquens amicis nuncium,
[g] Δελφινόσημον, κλῶπα Φοινίκης θεᾶς·	Delphini signum gerentem, Punicæ furem Deæ:
Ὃς ὄψεται μὲν τῆς [h] μονογλήνου στέγας	Qui videbit primum unoculi tecta

VARIANTES LECTIONES.

a Χειρῶν al. χερὸς Bar. b Al. Βουγάδα. c Al. ἁρπυιογόνων. d Δαιταλουμένους Bar. e Πρὸς πάντας Seld. f φίλων MSS. uterque: ubi tamen ι isti ω eadem, ut videntur, manus superposuerunt. g Al. δελφινόσημον. h Al. μονοφαοῦς.

651, 652. [1] Μηκιστέως.] Μηκιστεὺς, ὁ Ἡρακλῆς, τιμᾶται παρ' Ἠλείοις. Στερφοπέπλου δὲ, τοῦ αὐτοῦ, τοῦ τῇ λεοντῇ ἐνδεδυμένου· στέρφος γὰρ, τὸ τοῦ λέοντος δέρμα· ἐκέχρητο δὲ αὐτῷ ἀντὶ τοῦ περιβολαίου. Σκαπανέως.] ὅτι ἔσκαψε τὸ [2] περιτείχιον τῆς ἐπαύλεως τῶν βοῶν Αὐγέου, τοῦ Ἠλείων βασιλέως, καὶ στρέψας ἐποίησε πρὸς τὴν βασιλείαν ποταμοὺς β', τόν τε Ἀλφειὸν, καὶ Πηνειὸν, τὴν ἀμύθητον ἐκείνην τῶν βοῶν κόπρον καθαίρει βραχείᾳ ῥοπῇ, ὑπ' Εὐρυσθέως τοῦτο [3] προσταχθεὶς, ὡς καὶ τοὺς λοιποὺς ἄθλους. Βοαγίδα.] ὅτι τὰς βόας τοῦ Γηρυόνου ἤγαγεν ἐξ Ἐρυθείας, τῆς περὶ τὸν Ὠκεανὸν νήσου, ὥς φησι καὶ ὁ Ὀππιανὸς ἐν τοῖς Κυνηγετικοῖς,

Αὐτῷ ἐπ' Ὠκεανῷ δηώσατο Γηρυονῆι.

Καὶ Ἡσίοδος (οἶμαι) ἐν Θεογονίᾳ,

[4] Ὄρθον τε κτείνας, καὶ βουκόλον Εὐρυτίωνα.

ἀνεῖλε δὲ καὶ Γηρυόνην αὐτὸν ὑπὲρ τῶν βοῶν μέλλοντα μάχεσθαι, τοξεύσας αὐτὸν περὶ ποταμὸν Ἀνθεμοῦντα. ἦν δὲ ὁ Γηρυόνης Χρυσάορος παῖς, καὶ θυγατρὸς Ὠκεανοῦ Καλλιρόης. δύο δὲ δένδρα περὶ τὸν τάφον ἐκείνου ἐξ αὐτῶν καταλείβεται αἵματι. ἦν δὲ καὶ τρικέφαλος, καὶ τρίσωμος ὁ Γηρυόνης.

653. Ἁρπυιογόνων.] ἀπὸ μέρους ὀρνιθογόνων. λέγει δὲ περὶ Σειρήνων, αἵτινες θυγατέρες ἦσαν Τερψιχόρης Μούσης, καὶ Ἀχελώου ποταμοῦ, μεταξὺ ῥέοντος Αἰτωλίας καὶ Ἀκαρνανίας, τῆς καὶ Ἀμβρακίας, νῦν δὲ Νικοπόλεως, ἀπὸ τοῦ τὸν Ὀκταβιανὸν Καίσαρα νικῆσαι ἐκεῖ τὸν Ἀντώνιον. Ἅρπη δὲ, εἶδος ὀρνέου, καὶ ἅρπυια ὁμοίως, καὶ οἱ ἄνεμοι ἅρπυιαι λέγονται, καὶ ὀνόματα θηλειῶν πτερωτῶν δαιμόνων. Ἁρπυιογόνους δὲ λέγει τὰς Σειρῆνας, οἷον ὀρνιθογόνους· πτερωταὶ γὰρ ἦσαν, τὰ κάτω μέρη ὀρνίθων ἔχουσαι, τὰ δὲ ἄνω ἀνθρώπων· ἃς αἱ Μοῦσαι νικήσασαι [5] μελῳδίᾳ, τοῖς πτεροῖς ἐκείνων ἐστεφανώθησαν. ὅθεν ὡς ζωγραφοῦνται αἱ Μοῦσαι ἐν ταῖς κεφαλαῖς ἔχουσαι πτερὰ, πλὴν Τερψιχόρης, ὅτι μήτηρ ἦν Σειρήνων. περὶ δὲ Κρήτην ταῦτα γεγόνασιν, ὅθεν καὶ πόλις Ἄπτερα τῆς Κρήτης, διὰ τὸ ἐκεῖ τὰ πτερὰ νικηθείσας ἀποβαλεῖν τὰς Σειρῆνας. ἦσαν δὲ, ὡς ἔφημεν, αἱ Σειρῆνες, τὰ κάτω μέρη ὀρνίθων ἔχουσαι, τὰ δὲ ἄνω ἀνθρώπων, οἰκοῦσαι περὶ Τυρσηνίαν. ὡς ἡ Σκύλλα ἓξ κεφαλὰς εἶχεν, ἃς εἴπομεν, τὰ δὲ ἄνω ἀνθρώπου, περὶ τὸ Ῥήγιον οὖσα τῆς Σικελίας, ἧς πλησίον καὶ ἡ Χάρυβδις, περὶ Μεσσήνην. ὥσπερ καὶ αἱ [6] Γοργόνες ἐν Ταρτησσῷ τῆς Ἰβηρίας, κἂν τινες ἐν Ταρτάρῳ ταύτας λέγωσι, πτερωταὶ καὶ αὗται, καὶ δρακοντώδεις ἔχουσαι βοστρύχους. ὡς αἱ Ἅρπυιαι ἐν Θρᾴκῃ, ὦτα ἄρκτων, σώματα γυπῶν, πρόσωπα κορῶν ἔχουσαι. καὶ ἡ Ἔχιδνα περὶ Λυδίαν, στέρνα καὶ κεφαλὴν κόρης, τὰ δὲ κάτω ὄφις. ὡς καὶ Ὄρθρος, ὁ Γηρυόνου κύων, ἐν Ἐρυθείᾳ, δύο κυνῶν κεφαλὰς ἔχων, ἑπτὰ δὲ δρακόντων. καὶ Ἀστέριος, ὁ καὶ Μινώταυρος, ἐν Κρήτῃ, βοὸς ἔχων πρόσωπον, τὸ δ' ἄλλο σῶμα ἀνδρός. ταῦτα παρεκβατικῶς εἰρήκαμεν περὶ τερατομόρφων ζώων, ἐπεὶ καὶ αἱ Σειρῆνες μυθικῶς, καθὼς ὑποτιθέμεθα, τερατώδεις ἦσαν. ἀλληγορικώτερον δὲ Σειρῆνές εἰσιν αἱ ἡδοναί. ὁ δὲ νεώτερος Πλούταρχος ἑταιρίδας ταύτας φησὶ, κατέχουσας αἱμυλίαις τοὺς παραπλέοντας. εἰσὶ δὲ στρουθοὶ καὶ ζωΰφια μικρὰ, μελίσσαις παρόμοια. Κλώμακας.] τραχεῖς τόπους, ἀκρωτήρια. Ἀηδόνων.] τῶν Σειρήνων, διὰ τὸ θελκτικόν.

654. Ὠμόσιτα δαιταλωμένους.] ὠμὰ ἐσθίοντες, λιμῷ δέ· τοῦτο γάρ φησι περὶ τῶν, ὅταν ἐν τῇ τοῦ Ἡλίου νήσῳ γενόμενοι ἡλίευον ἰχθῦς ἐν ἀγκίστροις, καὶ οὕτω διέζων, ἀλλ' ἤσθιον καὶ ὠμὰς, ὁ Λυκόφρων, τούτους οἶδεν. ἢ Δαιταλουμένους, ὡς σπαραγομένους ὑπὸ τοῦ Κύκλωπος ὠμῶς, ἢ καὶ ὑπὸ Λαιστρυγόνων.

658. Δελφινόσημον.] Στησίχορός φησιν Ὀδυσσέα ἐπὶ τῆς ἀσπίδος φέρειν δελφῖνος τύπον, καὶ Εὐφορίων ὁμοίως τούτῳ συμφθέγγεται. Κλῶπα.] τὸν Ὀδυσσέα φησὶν, ὅτι τὸ Παλλάδιον τῆς Ἀθηνᾶς, εἰσελθὼν μετὰ Διομήδους ἐν τῇ Τροίᾳ, ἔκλεψε, δόντος αὐτοῖς αὐτὸ τοῦ Ἀντήνορος. Θεανὼ γὰρ, ἡ Ἀντήνορος γυνὴ, τῆς ἐκεῖσε Ἀθηνᾶς ὑπῆρχεν ἱέρεια. χρησμὸς γὰρ ἦν δοθεὶς τοῖς Ἕλλησι, μὴ ἂν ἄλλως κρατῆσαι τῆς Τροίας, εἰ μὴ τὸ Παλλάδιον τὸ ἐν Τροίᾳ κλαπῇ. Φοινίκη δὲ, ἡ Ἀθηνᾶ ἐν Κορίνθῳ τιμᾶται.

659. Ὃς ὄψεται μέν.] Ὀδυσσεὺς πλανώμενος ἐπὶ τὴν γαῖαν τῶν Κυκλώπων, εἰσελθὼν εἰς τὸ τοῦ Πολυφήμου ἄντρον, υἱοῦ Ποσειδῶνος, ἕνα ὀφθαλμὸν ἔχοντος, τυφλοῖ αὐτὸν διὰ τοιούτου· ἐξ γὰρ τῶν αὐτοῦ ἑταίρων φαγόντος τοῦ Κύκλωπος, δίδωσιν αὐτῷ οἶνον ὁ Ὀδυσσεὺς, * λέγων, *

Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα,
Ὄφρ' εἰδῇς οἷόν τι ποτὸν τόδε νηῦς ἐκεκεύθει.

μεθυσθέντος δὲ αὐτοῦ, ὁ Ὀδυσσεὺς σὺν τοῖς φίλοις ἐν δαλῷ [7] πεπυρωμένῳ αὐτὸν τυφλοῖ. ὕστερον δὲ αὐτοῦ σώζονται, δι-

EMENDATIONES.

1 Μηκιστέως] ὁ Ἡρακλῆς Impress. Lectio nostra desumpta est ex Bar. 2 Περιτείχισμα Bar & Grav. quæ vox usitatior est. 3 Προσταχθεὶς, pro διδαχθεὶς, ex Bar. Hercules enim Eurysthei jussu labores suos fere omnes subiit. 4 Ὄρθον Bar. 5 Μελῳδίᾳ posui, pro μελῳδίας, ex MSS. omnibus. 6 Γοργόνες, pro Γοργόνας, ex fide omnium MSS. * Hæc vox deprompta est ex Bar. 7 Πεπυρωμένῳ, pro πεπυρωμένην, ex Seld.

δόντος

[a] Χάρωνος, οἴνης τῷ κρεωφάγῳ σκύφον	Leonis, vini carnivoro ſcyphum
Χερσὶ προτείνων, [b] τοὐπιδόρπιον ποτόν.	Manu porrigens, cœnæ potum.
Ἐπόψεται δὲ λείψανον τοξευμάτων	Videbit deinde ſagittarum Reliquias
Τοῦ [c] Κηραμύντου, Πευκέως, Παλαίμονος,	Alexicaci, Tediferi, Palæmonis,
Οἳ πάντα θρανύξαντες εὐτόρνῳ [d] σκαφεῖ	Qui rotundo ligone conterentes omnia,
Σχοίνῳ [e] κακὴν τρήσουσι κεστρέων ἄγραν.	Junco malam perforabunt piſcium prædam.
Ἄλλος δ' ἐπ' ἄλλῳ μόχθος ἄθλιος μενεῖ,	Alius verò poſt alium miſer manebit labor,
Τοῦ πρόσθεν αἰεὶ [f] πλεῖον ἐξωλέστερος.	Priore ſemper multo pernicioſior.
Ποία Χάρυβδις οὐχὶ δαίσεται νεκρῶν;	Quæ non Charybdis vorabit cadavera?
Ποία δ' Ἐρινύς, [g] μιξοπάρθενος κύων;	Quæve furia, ſemivirgo Canis?
Τίς οὐκ ἀηδὼν στεῖρα, Κενταυροκτόνος,	Quæ non Luſcinia ſterilis, Centauricida,

VARIANTES LECTIONES.

a Χάρωνος οἴνης τῷ κρεωφάγῳ, σκύφον *Seld.* κρεωφάγῳ etiam *Bar.* aliique habent. b Τὸν ἐπιδόρπιον *Bar.* c Κηραμύντος *Seld.* d Al. σκάφῃ. Quam lectionem ſi quis malit ſequi, is εὔτορνα ponat, pro εὐτόρνῳ. *Canter.* e Al. κακῶς. f Πλεῖστον *Seld.* g Μιξοπάρθενος *Seld.*

θέντες ἐν λόγοις ὑπὸ τῆς κοιλίας τῶν προβάτων. * Μοναγλιών.] τοῦ Κύλλωνος. *

662, 663. Λείψανον τοξευμάτων.] τοὺς Λαιστρυγόνας λέγει· τούτους γὰρ Ἡρακλῆς κατέληξεν, ἡνίκα ἤλαυνε τὰς βοῦς τοῦ Γηρυόνου, [1] ἐπιχειροῦντας αὐτῷ πολεμεῖν· λείψανον δὲ λέγει τοὺς ὑπολοίπους τῶν ἀναιρεθέντων. Λαιστρυγόνες δὲ εἰσίν, οἱ νῦν ἐν Σικελίᾳ Λεοντῖνοι. Κηραμύντης δέ, ὁ τὰς κῆρας ἀμύνων, ἀλεξίκακος γάρ. Παλαίμων δὲ ὁ αὐτός, διὰ τὸ παλαῖσαι τῷ Διὶ ἐν Ὀλυμπίᾳ, ἢ τῷ Ἀχελῴῳ ἐν Αἰτωλίᾳ περὶ τοῦ γάμου Δηϊανείρας, τῆς Οἰνέως θυγατρός. Φερεκύδης δέ φησι, μετὰ τὸ [2] καταπαλαῖσαι αὐτὸν τὸν Ἀνταῖον τὸν Λίβυν, [3] τὸν Ποσειδῶνος, ἑξηκοντάπηχυν ὄντα, καὶ κατάξαι, (οὗ καὶ τὰ ὀστᾶ πρὸς Ὀλυμπίαν ἠνέχθη, ὡς μὴ ἀπιστοῖτο) ἐμίγη τῇ τοῦ χωρισθέντος Ἀνταίου γυναικὶ Ἰφινόῃ, καὶ ἐξ αὐτῆς παῖδα γεννᾷ Παλαίμονα. τεσσάρων δὲ πηχέων ἦν ὁ Ἡρακλῆς, καὶ ποδὸς ἑνός, καθάπερ ὁ Ποντικὸς Ἡρόδοτος ἱστορεῖ. Μενεκράτης δέ, ὁ περὶ Νικαίας συγγεγραφώς, Ἀλκαῖον φησὶ πρότερον καλεῖσθαι τὸν Ἡρακλέα, ὅτε τοὺς ἐκ Μεγάρας αὐτοῦ γεγεννημένους ὀκτὼ παῖδας, καὶ οὐ τέσσαρας, ἀνεῖλεν, ὡς φησι καὶ Πίνδαρος,

———— [4] χαλκοαρᾶν ὀκτὼ θανόντων
Τοὺς Μεγάρα τέκεν οἱ [5] Κρεοντὶς υἱός.

ἔκτοτε δὲ Ἡρακλῆς ἀπὸ χρησμοῦ ἐκλήθη· ὁ δὲ χρησμὸς οὕτω πῶς ἔχει,

[6] Οὐκ ἔτι Παλαίμων κληθήσεαι, αὐτὰρ Ἀπόλλων
Ἡρακλέα δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει·
Ἐξ ΗΡΑΣ γὰρ ἐν ἀνθρώποις ΚΛΕΟΣ ἄφθιτον ἕξεις.

τὸν δὲ χρησμὸν τοῦτον ὃν οὐδὲ γινώσκω, ἕτεροι πάλιν ἱστορικοὶ λέγουσιν.

664, 665. Οἱ πάντα θρανύξαντες] οἵτινες Λαιστρυγόνες πάντα τὰ σκάφη τοῦ Ὀδυσσέως θρανύξαντες καὶ συντρίψαντες ἐν τῷ εὐτόρνῳ καὶ περιφερεῖ καὶ στρογγύλῳ, λείπει λίθῳ. ἢ κατὰ τοὺς [7] μεταγενεστέρους, οἵτινες πάντα τὰ πλοῖα, δηλονότι τοῦ Ὀδυσσέως, θρανύξαντες καὶ συντρίψαντες ἐν τῷ εὐτόρνῳ καὶ περιφερεῖ σκάφει καὶ λίθῳ τῶν Λαιστρυγόνων, (περιφερὴς γάρ ἐστι, δίκην σκάφους) ἐν σχοίνῳ τρήσουσι καὶ τετρήσουσι τὴν κακὴν ἄγραν τῶν κεστρέων καὶ τῶν γομφαρίων. γόμφοις δὲ ἰχθύσιν εἰκάζει τοὺς Ὀδυσσέως φίλους, ἀναιρουμένους καὶ ἐσθιομένους ὑπὸ τῶν Λαιστρυγόνων, ὃν τρόπον οἱ ἁλιεῖς τοὺς κεστρέας, ἤτοι τὰ γομφάρια, τρυπῶντες σχοίνῳ περιείρουσι, καὶ ἀνοιγνῦσι καὶ ἐσθίουσιν οἱ βουλόμενοι. σχοῖνος δὲ εἶδος φυτοῦ, ἤτοι τὰ βοῦρλα, μεθ' [8] οὗ πλέκουσι τὰς σπυρίδας. μεταφράζει δὲ τὸ Ὁμηρικόν,

Ἰχθῦς δ' ὡς πείροντες, ἀτερπέα δαῖτα φέροντο.

666. Ἄλλος δ' ἐπ' ἄλλῳ.] ἡ δὲ ἐπερχομένη αὐτοῖς συμφορὰ πολὺ [9] ὀλεθριωτέρα τῆς παρελθούσης ἐστίν.

668. Χάρυβδις.] τοῦ ὕδατος ἀναρροιβδοῦσα.

669. Μιξοπάρθενος κύων.] ἡ Σκύλλα, ὅτι ἀνθρώπου πρόσωπον εἶχεν ἡ Σκύλλα.

670. Τίς οὐκ ἀηδὼν στεῖρα.] * ἀηδόνας τὰς Σειρῆνας λέγει διὰ τὸ μέλος, καὶ περὶ τούτων εἴπομεν. * Στείρας αὐτὰς λέγει, διὰ τὸ παρθένους εἶναι. ἐγὼ δέ, καὶ ὅτι οἱ κατακούσαντες αὐτῶν στεῖροι καὶ ἄπαιδες ἐγίνοντο, ἐτελεύτων γάρ. Ἄλλως· ἀηδόνας, τὰς Σειρῆνας διὰ τὸ θελκτικόν. Στείρας δέ, ἢ ὅτι παρθένοι, ἢ * ὅτι * ὁ ἐπερχόμενος ἐκεῖ ἀπέθνησκε μὴ τίκτων. Κενταυροκτόνος.] ἐπειδὴ καὶ οἱ κένταυροι διωχθέντες ἀπὸ Θεσσαλίας ὑφ' Ἡρακλέους, εἰς τὰς τῶν Σειρήνων νήσους παρεγένοντο, καὶ τῇ ᾠδῇ ἐκείνων θελγόμενοι, ἀπώλοντο· Ἡρακλῆς γὰρ ἐν Φολόῃ ἐπεξενώθη [10] Φόλῳ τῷ κενταύρῳ, καὶ ὁ Φόλος αὐτῷ οἶνον κάλλιστον ἐκέρασε, [11] τὸν κοινὸν τῶν κενταύρων πίθον

EMENDATIONES.

* Hoc adjeci ex *Bar.* 1 Ἐπιχειροῦντας, pro ἐπιχειροῦντος, ex *Bar.* & *Grav.* 2 Καταπαλαῖσαι poſui, pro παλαῖσαι, ex *MSS.* omnibus. 3 Τὸν Ποσειδῶνος, pro τὸ Ποσειδῶνα. Nam Antæum, gigantem ab Hercole devictum, Neptuni ex Terra filium fuiſſe memorant. 4 Ita reſtitui, & in ordinem digeſſi hos *Pindari* verſus, ex Iſthmion. Od. iv. Χαλκοαρᾶν *Bar.* 5 Κρεοντὶς prius ſcriptum fuit. 6 Oraculi hujus meminit vetus *Pindari* Interpres idque ab Apolline datum ait, Olympion. Od. vi. Ἔστι μὲν αὐτὸ τὸν Ἡρακλέα Ἀλκαῖον καλεῖσθαι ὑπὸ…, Ἡρακλέα δὲ μετονομασθῆναι, Ἀπόλλωνος αὐτὸ χρησμοδοτήσαντος. Oraculi autem verba ubi occurrant, neſcio; ideoque ex conjectura reſtituere coactus ſum, quæ *Impreſſ.* ſic legebant, Οὐκ ἔτι Παλαίμων κληθήσῃ. Ἡρακλέα δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει. Ἐξ Ἥρας γὰρ &c. Ubi Ἡρακλῆν *Bar.* Φοῖβος Ἀπόλλων habent *MSS.* uterque. ἐν ᾧ *Bar.* ἀγε *Seld.* 7 Μεταγενεστέρους, pro μεταγενεστέρους, ex *MSS.* omnibus. 8 Οὗ pro ὧν, ex *MSS.* omnibus. 9 Ὀλεθριωτέρα pro ἐλεθριωτέρα, ex *Bar.* & *Grav.* * Hoc addo ex *Bar.* Deinde στείρας αὐτὰς λέγει poſui, Pro στείρας λέγει τὰς Σειρῆνας, ex eodem, ut concinna fiant omnia. Atque eodem fere modo leguntur in *Grav.* * Hanc vocem adjici debuiſſe ſenſus indicat. 10 Φόλῳ, pro φίλῳ, ex *MSS.* omnibus, & *Nic. Gerbelii* emendatione. Pholus enim dictus eſt Centaurus ille, qui Herculem excepit, & humaniter tractavit. 11 Τὸν δὲ κοινὸν *Impreſſ.* Ego δὲ delevi, ex auctoritate utriuſque *MSS.*

ἀνοίξας.

Αἰτωλὶς, ἢ Κουρῆτις, αἰόλῳ μέλει	Ætolica, vel Acarnania, cantu molli
Πείσει τακῆναι σάρκας ἀκμηνοῖς βοραῖς;	Suadebit carnes expertes pabuli tabefieri?
Ποίαν δὲ θηρόπλαστον οὐκ [a] ἐσόψεται	Quam ferarum formatricem non videbit
Δράκαιναν, ἐγκυκῶσαν [b] ἀλφίτῳ θρόνα,	Serpentem, farinæ venena miscentem,
Καὶ κῆρα κνωπόμορφον; οἱ δὲ δύσμοροι	Noxamque monstriformem? infelices autem
Στένοντες ἄτας ἐν συφοῖσι φορβάδες,	Gementes in haris infortunia sues,
Γίγαρτα χιλῷ συμμεμιγμένα [c] τεύχους,	Acinos uvarum cibo permistos,
Καὶ στέμφυλα [d] βρύξουσιν· ἀλλά νιν βλάβης	Et cortices comedent: Ipsum verò à clade
Μῶλυ σαώσει ῥίζα, καὶ Κτάρος φανεὶς,	Moly servabit radix, & Ctarus apparens,
Νωνακριάτης, Τρικέφαλος, Φαιδρὸς θεός.	Nonacriates, Triceps, Pulcer Deus.

VARIANTES LECTIONES.

a Ἐσόψεται al. b Ἀλφίτῳ Seld. fortasse voluit ἀλφίτων. c Τεύχους Bar. d Βρύξουσι Seld aliique.

ἀνοίξας. ἐπελθόντες δὲ αἱ κένταυροι, καὶ γεύσαντες τὸ συμβὰν ἐκ τῆς τοῦ οἴνου ὀσμῆς, ἐχαλέπηναν. καὶ καὶ ὁ Ηρακλῆς τὰ τόξα λαβὼν, οὓς μὲν αὐτῶν ἀνεῖλεν, ὥσπερ καὶ τὸν Χείρωνα, ἄκων βαλὼν (οἶμαι) περὶ τὸ γόνυ, τοὺς δὲ λοιποὺς ἐδίωξεν, οἱ φυγόντες, ὡς ἔφημεν, περὶ τὴν τῶν Σειρήνων νῆσον ἀπώλοντο.

671. Αἰτωλὶς, ἢ Κουρῆτις.] Τερψιχόρας, τῆς Μούσης, καὶ Ἀχελώου, τοῦ ποταμοῦ, θυγατέρας ἔφημεν τὰς Σειρῆνας. ὁ δὲ Ἀχελῷος ὁ γλυκύτατος τῶν ἀπανταχοῦ ποταμῶν, μεταξὺ Αἰτωλίας καὶ Κουρήτιδος, τῆς καὶ Ακαρνανίας, καὶ Αμβρακίας, νῦν δὲ Νικοπόλεως, ῥέει. ὅθεν οὕτως εἶπεν, ὡς ἀμφιβάλλων, εἴτε Αἰτωλίας μᾶλλον, εἴτε Ακαρνανίας ἐστὶν ὁ Ἀχελῷος. φασὶ δέ τινες, τοὺς Ακαρνᾶνας πρότερον Κουρῆτας καλεῖσθαι. Ἀχελῷος δὲ καλεῖται, ἀπὸ Ἀχελώου τινὸς πνιγέντος * ἐν * αὐτῷ· ἢ ὅτι τὸ ὕδωρ αὐτοῦ ἐν τοῖς τραύμασι, καὶ ταῖς [1] ὀδύναις ὠφέλιμόν ἐστιν· Ἀχελῷος οὖν, ὁ τὰ ἄχη λύων.

673, 674. Θηρόπλαστον,] τὴν Κίρκην, τὴν [2] χοίρους ποιήσασαν, κατὰ τὸν μῦθον, τοὺς ἑταίρους Ὀδυσσέως. ἀλληγορικῶς δὲ καὶ [3] Φιλάλιος ὁ Κορίνθιος, καὶ ἡμεῖς, καὶ ἕτεροι τὴν ἀλήθειαν ἐξητήσαμεν, ἀλλ᾽ εἰς σύγχυσιν μακρὰν * μυθικὴν * Λυκοφρόνειον σύγκον ἀλληγορικῶν μὴ λύσω· ἀρκεῖ γὰρ καὶ μόνον τὸ πλῆθος τῶν μυθικῶν ἱστοριῶν λέγειν· εἰ γὰρ ταύτην τὴν μυθικὴν ἱστορίαν ἀλληγορήσομεν, θελήσει τις πάντως λῦσαι καὶ τὰς λοιπάς· καὶ λοιπὸν, μεῖζον μοι τὸ πάρεργον τοῦ ἔργου γενήσεται, ὥστε τὴν πᾶσαν Ὀδύσσειαν ἐν βραχεῖ μέρει τῷ Λυκόφρονος ἀλληγορῆσαι, καὶ λοιπὰς ἑτέρας ἱστορίας. ὅθεν ἰστέον τὰ πολλὰ λέγειν ἀλληγορικῶς, τινὰ δὲ, ὅσα βραχεῖαν ἔχει τὴν ἀλληγορίαν, ἐροῦμεν. Θηρόπλαστον.] τὴν θηροπλαστοῦσαν, καὶ θῆρας ποιοῦσαν, τὸ παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ. Δράκαιναν δὲ, διὰ τὸ ἄγριον, τὴν Κίρκην λέγει, ἢ διὰ τὸ ὀξυδερκὲς καὶ δραστήριον. Ἐγκυκῶσαν ἀλφίτῳ θρόνα.] ἄλευρα, κυρίως τὰ ἐκ σίτου· ἄλφιτα δὲ, τὰ ἐκ κριθῶν ἄλευρα. νῦν δὲ ἄλφιτα τὸν ἄρτον καὶ τὴν τροφὴν λέγει. Ἐγκυκῶσαν.] ἀντὶ τοῦ συνταράσσουσαν. ἐν γὰρ τῇ βρώσει τῶν Ὀδυσσέως ἑταίρων, τυρὸν, ἄλφιτα, μέλι, οἶνον συνετάραξε, καὶ δοῦσα πιεῖν τὸ δεινὸν ἐκεῖνο φάρμακον, καὶ ῥάβδῳ πλήξασα, εἰς χοίρους αὐτοὺς μετεμόρφωσε. * Θρόνα] φάρμακα μαγικά. *

675, 676, 677, 678. Καὶ κῆρα κνωπόμορφον.] ἀπὸ κοινοῦ τὸ κυκῶσαν. Κνῶπες δὲ, τὰ θηρία, ὡς καὶ Νίκανδρος,

—— [4] ἵνα κνώπεις τραφερὴν βόσκονται ἀν᾽ ὕλην.

Κινώπετα δὲ, καὶ κνώδαλα, καὶ κνῶπες, τὰ θηρία τὰ ἐν τῷ πέτρῳ καὶ πέδῳ κινούμενα, ἤτοι τὰ χερσαῖα, ὥσπερ τὰ θαλάσσια [5] κνώδαλα λέγεται, παρὰ τὸ κινεῖσθαι αὐτὰ δι᾽ ἁλὸς, ἤτοι ἐν τῇ ἁλί. λέγεται δὲ κνώδαλα καὶ τὰ χερσαῖα τὰ ὀρεινότερα, παρὰ τὸ κινεῖσθαι, ἢ παρὰ τὸ κνώσσειν καὶ κοιμᾶσθαι ἐν τοῖς σπηλαίοις καὶ δασέσι τόποις. Γίγαρτα τρυγὸς καὶ [6] σταφυλῆς, καὶ στέμφυλα βρύξουσι καὶ [7] φάγωσι συμμεμιγμένα τῷ χιλῷ καὶ τῇ τροφῇ. Γίγαρτα δὲ λέγεται, τὰ ἔνδον τῶν σταφυλῶν καὶ ῥοιῶν σπέρματα. Τρὺξ δὲ, ὁ νέος οἶνος. Στέμφυλα δὲ, τὰ ἔξω τῶν σταφυλῶν δέρματα. καλῶς δὲ καὶ νῦν ὁ Λυκόφρων πρὸς τὴν Ομηρικὴν γραφὴν λέγει, ἐπεὶ γὰρ [8] παρ᾽ ἄκυλον φησὶν αὐτοῖς βαλεῖν πρὸς τὴν τροφὴν τὴν Κίρκην, οὗτος δὲ πρὸς τὴν καθολικωτέραν τροφὴν τῶν χοίρων ἀποβλέψας εἶπεν.

679, 680. Μῶλυ σαώσει.] ἀλλὰ τὸν Ὀδυσσέα ἀπὸ τῆς βλάβης, ἤτοι τοῦ γενέσθαι χοῖρον, σαώσει καὶ [9] σώσει τὸ μῶλυ, ἑρμηνευτικῶς, ὅπερ ὑπάρχει ῥίζα· καὶ ἄλλος τις σώσει, καὶ ὁ Κτάρος καὶ ὁ Ερμῆς φανεὶς, ἐπώνυμον δὲ τὸ Κτάρος Ερμοῦ. Νωνακριάτης.] ὁ Αρκάδιος· Νωνακρία γὰρ πόλις Αρκαδίας, ἔνθα τιμᾶται ὁ Ερμῆς. [10] Τρικέφαλος δὲ ὁ αὐτὸς, ὡς οὐράνιος, θαλάσσιος, καὶ ἐπίγειος· ἢ διὰ τὸ φυσικὸν, ἠθικὸν, καὶ λογικόν· ἢ * ὅτι * ἐπισυνελθὼν τῇ Εκάτῃ, τρεῖς ἔσχεν ἐξ αὐτῆς θυγατέρας. Φαιδρὸς δὲ μεταληπτικῶς, ἀντὶ τοῦ λευκός, καὶ γὰρ παρὰ Βοιωτοῖς Ερμῆς Λευκὸς τιμᾶται.

EMENDATIONES

* Hanc vocem seorsus addendam indicavit. [1] Ὀδύναις, pro αὐδίνας Sin mavis, legere poteris ὠδῖσι, aut ὠδῖσιν. [2] Χοίρους, pro χοίρων, ex MSS omnibus. [3] Bar & Grav. habent φιλαλήθης. * Hanc vocem ex MSS. omnibus deprompsi. * Hoc deprompsi ex Grav. & Bar. in quo tamen legitur φάρμακα μαγικά. [4] Ita emendavi Hemistichium hoc ex Nicandri Theriacis ἵνα κνώπεις τραφερὴν βόσκονται ὕλην Impressi. [5] Κνώδαλα, pro κνῶδα, ex MSS omnibus. [6] Σταφυλῆς, pro σταφυλ, ex MSS. omnibus. [7] Φάγωσι, pro φάγωσιν, ex MSS. omnibus. [8] Πάρ ῥ᾽ ἄκυλον, pro παρέκυλον, ex Homeri Odyssea, unde hæc desumpsit Scholiastes,

—— —— τοῖσι δὲ Κίρκη
Πάρ ῥ᾽ ἄκυλον, βάλανόν τ᾽ ἔβαλε, καρπόν τε κρανείης
Ἔδμεναι, οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσι.

[9] Sic lego ex Seld. σώσει. τὸ δὲ μῶλυ ἑρμηνευτικῶς, ὅπερ &c. Impressi. σώσει τὸ μῶλυ ἑρμηνευτικῶς, ὅπερ &c Bar. [10] Sic legendum judico hunc locum cum Seld. Τρικέφαλος.] ὅτι ὁ Ερμῆς οὐράνιος Impress. Τρικέφαλος δὲ ὁ Ερμῆς. οὐράνιος Bar.

πολεμάρχων

Ἥξει δ' [a] ἐρεμνὸν εἰς [b] ἀλίπεδον φθιτῶν,
Καὶ νεκρόμαντιν πέμπελον διζήσεται,
Ἀνδρῶν γυναικῶν εἰδότα [c] ξυνουσίας,
Ψυχαῖσι θερμὸν αἷμα προσσαίνας βόθρῳ,
Καὶ φασγάνου πρόβλημα, νερτέροις φόβον,
Πήλας, ἀκούσει κεῖθι πεμφίδων ὄπα
Λεπτὴν, [d] ἀμαυρᾶς μάστακος προσφθέγμασιν·
[e] Ὅθεν γιγάντων νῆσος ἡ μετάφρενον
[f] Θλάσασα, καὶ Τυφῶνος ἀγρίου δέμας,

Ibit hinc in mortuorum nigrum Campum,
Maniumque Vatem ſenem quæret,
Muliebris & virilis gnarum coitûs,
Umbris calidum aſpergens in fovea ſanguinem,
Et enſis obicem, inferorum terrorem,
Vibrans, audiet illic animarum vocem
Tenuem, oris evanidi alloquiis:
Unde Gigantum dorſum Inſula
Collidens, corpuſque Typhonis efferi,

VARIANTES LECTIONES.

a Al. ἐρυμνὸν. b Al. ἀλίπεδον cum tenui. c Ξυνουσίας al. d Al. ὁμόφθογγ. e Οὗ Seld. f Τλάσασα al. Θλάσασα Bar. idemque legit in Scholiis.

πολεμούμενοι γὰρ Ταναγραῖοι ὑπὸ Ἐρετριέων, ἐσφαγίασαν παῖδα καὶ κόρην κατὰ χρησμὸν, κἀντεῦθεν ἱδρύσαντο Λευκὸν Ἑρμῆν· ὁ Ἑρμῆς τῷ Ὀδυσσεῖ μέλλοντι ἀνελθεῖν πρὸς τὴν Κίρκην συναντήσας, δίδωκε τὸ μῶλυ, ὥστε μὴ βλαβῆναι αὐτὸν ὑπὸ τῶν ἐκείνης φαρμάκων. μῶλυ δέ ἐστι, κατὰ τοὺς ἰατροὺς, τὸ ἄγριον πήγανον. [1] ἀλληγορικωτέρως δὲ εἶπον ὡς οὐ δεῖ λέγειν. Μῶλυ, δάφνη, κόνυζα, ῥάμνος, ἰτέα, ἀστήρ τε θαλάσσιος, ἵππειος λίθος, ἄλλα τε πολλὰ φυτὰ, καὶ ζῶα, καὶ λίθοι ἀντιπαθοῦσι μαγικοῖς πᾶσι τρόποις.

681. Ἀλίπεδον.] τὸ λεῖον καὶ ὁμαλὸν καὶ παραθαλάσσιον πεδίον, ὅτι ὑπὸ τοῦ Ὠκεανοῦ [2] κυκλοῦται, καὶ περιέρχεται.

682. Πέμπελον.] τὸν ὑπέργηρον, παρὰ τὸ ἤδη πέμπεσθαι πρὸς ᾅδην. νῦν δὲ τὸν Τειρεσίαν λέγει, ὅντινά φασιν αὐτὸν ζ' γενεὰς ζῆσαι, ἄλλοι δὲ θ'. ἀπὸ γὰρ Κάδμου ἦν, καὶ κατώτερον Ἐτεοκλέους καὶ Πολυνείκους, ὥς φησι καὶ [3] ὁ τῆς Μελαμποδίας ποιητὴς, παρεισάγει γὰρ τὸν Τειρεσίαν λέγοντα,

Ζεῦ πάτερ, [4] εἴθε μοι εἴθ' ἥσσονα αἰῶνα βίοιο
[5] Ὤφελες δοῦναι, καὶ ἴσα μήδεα ἴδμεν
Θνητοῖς ἀνθρώποις. νῦν δ' οὐδέ με τυτθὸν ἔτισας,
[6] Ὅς γέ με μακρὸν ἔθηκας ἔχειν αἰῶνα βίοιο,
[7] Ἑπτά τ' ἐπὶ ζώειν γενεὰς μερόπων ἀνθρώπων.

683. Ἀνδρῶν γυναικῶν.] φασὶν ὅτι ὁ Τειρεσίας ὄφεις συνουσιάζοντας ἐν τῷ Κιθαιρῶνι ὄρει ἰδὼν, ἀνεῖλε τὴν θήλειαν, καὶ γέγονε γυνὴ, εἶτα τὸν ἄρσενα, καὶ γέγονε πάλιν ἀνήρ. ἕτεροι δέ φασιν, ὅτι γυμνὴν τὴν Ἀθηνᾶν ἰδὼν, γυνὴ γέγονε. ἐρίζοντος δέ ποτε τοῦ Διὸς πρὸς Ἥραν, καὶ λέγοντος πλείονα πόθον ἔχειν ἐν τῇ συνουσίᾳ τὰς γυναῖκας, ὑπὲρ τοὺς ἄνδρας, φασὶ κεκλῆσθαι αὐτὸν καλέσασθαι τὸν Τειρεσίαν. κριτοῦ δὲ γεγονότος αὐτοῦ, ὡς καὶ ἀνδρὸς καὶ γυναικὸς γενομένου, καὶ φήσαντος, ὅτι δεκαπλασίως ἥδεται τοῦ ἀνδρὸς ἡ γυνὴ, ὀργισθεῖσα ἡ Ἥρα ἐτύφλωσεν αὐτόν. ὁ δὲ Ζεὺς ἐχαρίσατο τὴν μαντικὴν ἀσφαλῆ, καὶ ζωὴν πολυχρόνιον· ὡς καὶ ἡ Περσεφόνη ἐν τῷ ᾅδῃ τούτῳ χαρίζεται, μόνῳ φρονεῖν τῶν ἄλλων ἀπάντων νεκρῶν. περὶ [*] δὲ [*] τοῦ Διὸς καὶ Ἥρας παρὰ Τειρεσίου ἕνεκα τῆς λαγνείας κρίσεως, καὶ ὁ τῆς Μελαμποδίας ποιητὴς, ὡς ὑπὸ τοῦ Τειρεσίου, φησὶν,

[8] Οἴην μὲν μοῖραν δέκα μοιρῶν τέρπεται ἀνὴρ,
Τὰς δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα.

684, 685. Ψυχαῖσι θερμὸν αἷμα.] αἷμα γὰρ χέας Ὀδυσσεὺς εἰς βόθρον, καὶ τὸ ξίφος αὐτοῦ κατέχων πρὸς ἐκφόβησιν τῶν ψυχῶν, ἠρώτα ἐκείνην, τίς εἴη; [*] Ἡ δὲ ἱστορία τοιαύτη· Ὁ Ὀδυσσεὺς παρὰ τῆς Κίρκης ἀποστέλλεται εἰς ᾅδην, ψυχῇ χρησόμενος Θηβαίου Τειρεσίου περὶ τοῦ νόστου αὐτοῦ· προσέταξε δὲ αὐτῷ ἡ Κίρκη, ὅταν ἀπέλθῃ ἐκεῖ,

Βόθρον ὀρύξαι, ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα,
Ἀμφ' αὐτῷ δὲ χοὴν χεῖσθαι πᾶσι νεκύεσσι,
Πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ,
Τὸ τρίτον αὖθ' ὕδατι, ἐπὶ δ' ἄλφιτα λευκὰ παλύνειν·
Αὐτὸν δὲ ξίφος ὀξὺ ἐρυσσάμενον παρὰ μηροῦ
Ἧσθαι, μηδὲ ἐᾶν νεκύων ἀμενηνὰ κάρηνα
Αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.

686. Πεμφίδων.] ψυχῶν, παρὰ τὸ πέμπεσθαι· [9] ἀνάπτονται γὰρ, ὡς λεπταὶ καὶ ἀερώδεις, αἱ ψυχαί.

687. Ἀμαυρᾶς μάστακος.] ἀμυδροῦ καὶ ἀσθενοῦς στόματος λαλιᾶς.

688, 689. Ὅθεν γιγάντων νῆσος.] ὁ μὲν Καισαρεὺς Προκόπιος τὴν Δαμασκὸν φησὶ Διὸς τέμενος κατὰ Γιγάντων· ἕτεροι δὲ τὴν Σικελίαν, ὅτι καὶ τὸν Τυφῶνα κεραυνοῖ, ὡς καὶ Ἡσίοδος,

Φλὸξ δὲ κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος,
Οὔρεος ἐν βήσσῃσιν [10] ἀΐδνῆς, παιπαλοέσσης.

ἕτεροι δὲ γιγάντων νήσους τὰς Πιθηκούσας [11] ἤκουσαν, αἵ εἰσι περὶ τὴν Ἰταλίαν, μέμνηται δὲ αὐτῶν καὶ Αἰσχίνης ἐν ἑβδόμῳ Ἐφόρος. ταύτας δὲ τὰς νήσους ᾤκουν πρότερον οἱ Γίγαντες, ὕστερον δ' ὁ Ζεὺς χειρωσάμενος αὐτοὺς, κατ' αὐτοῦ ἐπαναστάντας, ἐπέθηκεν αὐτοῖς τὰς νήσους, καὶ ἐκεῖ κατῴκισε πιθήκους, [12] ὅτι μιμοὺς, τοὺς καὶ σατύρους, καὶ ἀρχαΐζοντας,

EMENDATIONES.

1 Sic lego hunc locum cum *Seld.* ἀλληγορικωτέρως δὲ, εἶπον, ὡς οὐ δεῖ *Impreſſ.* ἀλληγορικῶς δὲ εἶπον. ὡς οὐ δεῖ *Bar.* cui lectioni non omninò convenit. 2 Κυκλοῦται, pro κυκλοῦται, ex *Bar.* & *Grav.* Nam Κυκλῶ κυκλῶ, τὸ γρίφω. Κυκλῶ, δὲ κυκλῶ, τὸ περιλαμβάνω ut annotavit vetus *Sophoclis* Interpres, & *Biſetus* in *Ariſtophanis* Theſmophor. poſterior autem ſignificatio hujus eſt loci. 3 Ὁ τῆς Μελαμποδίας ποιητὴς *Bar.* & *Grav.* ὁ τῆς Μελαμποδίας ποιητὴς *Seld.* Paulo infra, ὁ τῆς Μελαμποδίας ποιητὴς *Impreſſ.* ubi Μελαμποδίας *Bar.* & *Grav.* Μελαμποδίας *Seld.* Ego vero hunc loco conſimilem feci. 4 Εἴθε μοι. pro αὖ ἐμοὶ, ex *Seld.* αἰ θέμοι *Bar.* 5 Ὤφελες *MSS.* omnes. 6 Ὅς γέ με μακρὸν. pro ἦ με μακρὸν γε, quod habebant *Impreſſ.* ὅς γε μακρὸν με *Bar.* 7 Ἑπτὰ μ' ἐπὶ, pro ἑπτά μ' ἔτι, ope *MSS.* Codd. * Ex *Grav.* 8 Οἴην poſui, pro οἵην, ex *Seld. Grav.* & Edit. *Baſil.* cujus emendationis rationem ſenſus indicat. οἵην *Bar.* * Hoc adjeci ex *Seld.* idque è cæteris Codicibus excidiſſe plus quam probabile eſt. 9 Ἐκπέμπονται hic legunt *Impreſſ.* ἀνάπτονται *MSS.* uterque, & utriſque ſenſus optimè accommodari poterit; ſecundum illos Animæ dicuntur πεμφίδες, παρὰ τὸ πέμπεσθαι, quod ex levitate agiles, & motui idoneæ ſint; ſecundum hos per Antiphraſin, quia propter ſummam levitatem à quovis venti flatu inhiberi & ſiſti poſſunt. 10 Αἴτνης *Bar.* & *Grav.* Sed recepta lectio reperitur in *Heſiodi* Theog. v. 860. 11 Οἰκοῦσι, pro ἤκουσαν, reponere voluit *Nic. Gerbelius.* 12 Sic emendavi hunc locum ex *Seld.* & *Grav.* quibus conſentit *Bar.* niſi quod pro ἀρχαΐζοντας, habeat ἀρχαΐζοντες. Sed ὅτι μιμοὺς ὄντας. τοὺς δὲ σατύρους καὶ ἀρχαΐζοντας *Impreſſ.* corrupte legebatur.

Φλογμῷ ζέουσα δέξεται μονόστολον·	Flamma fervens recipiet unâ cum nave:
Εν ᾗ πιθήκων πάλμυς ἀφθίτων γένος	In qua simiarum genus Deorum Rex
Δύσμορφον εἰς [a] κιχχασμὸν ᾤκισεν τόδε,	Deforme collocavit, in illorum opprobrium,
Οἳ μῶλον ὤρθωσαν [b] ἐκγόνοις Κρόνου.	Qui tantum bellum Saturni concitarant posteris.
[c] Βαιοῦ δ' ἀμείψας [d] τοῦ κυβερνήτου τάφον,	Baji porrò transiens nautæ sepulcrum,
Καὶ Κιμμέρων ἔπαυλα, [e] κ' Ἀχερουσίαν	Et Cimmeriorum domicilia, Acherusiamque
Ῥόχθοισι [f] κυμαίνουσαν οἴδματος χύσιν,	Procellis fluctuantem undæ scaturiginem,
Οσσάν τε, καὶ λέοντος ἀτραποὺς βοῶν	Ossamque, & Leonis vias boum
Χωστὰς, Ὀβριμοῦς τ' ἄλσος ὑδαίας Κόρης,	Aggestas, Proserpinæque nemus, infernæ puellæ,
Πυριφλεγές τε ῥεῖθρον, ἔνθα δύσβατος	Et Pyrphlegethontem fluvium, ubi invius
Τείνει πρὸς [g] αἴθραν κρᾶτα πολυδέγμων λόφος,	Tollit in cœlum verticem capax Collis,
Ἐξ οὗ τὰ πάντα χύτλα, καὶ πᾶσαι μυχῶν	Ex quo cuncti fluvii, cunctaque specuum
Πηγαὶ κατ' [h] Αὐσονῖτιν [i] ἕλκονται χθόνα·	Fontes per Italicam fluunt terram:

VARIANTES LECTIONES.

a Κιχχασμὸς φησι τοῦτον Bar. b Ἐκγόνων Seld. c Mallem hic Βαίου scribere, ut distinguatur ab adjectivo Βαιὸς, quod in Propriis nominibus fieri solere supra docui. Et Stephanus Byzantinus Βαίου scribit in v. Βαία. d Hanc vocem non agnoscit Seld. e Al. κ' Ἀχερουσίαν. f Κυμαίνουσαν Bar. g Αἴθραν κρᾶτα Seld. κρᾶτα etiam habet Bar. h Αὐσονῖτιν MSS. uterque. In Seld vero aliquis ο superposuit τῷ ω. i Ἕλκονται Seld.

περὶ ἀτιμίαν καὶ αἰσχύνην τῶν γιγάντων. [1] Ἡ θλάσασα τοῦτο τὸ μετάφρενον καὶ τὸ ἰσχίον, καὶ τὸ δέμας καὶ σῶμα τοῦ ἀγρίου δράκοντος καὶ Τυφῶνος, ἡ Σικελία ἐστὶν, (κἂν ληρῶσιν οἱ πολλοὶ) ἥτις φλογμῷ ζέει, ἤτοι φλόγας πέμπει ἐκ τῆς Αἴτνης περὶ τὴν Κατάνην.

690, 691, 692. Δέξεται μονόστολον.] ὑποδέξεται δὲ αὐτὸν ὁ τόπος τὸν Ὀδυσσέα μονόστολον, ἤτοι ἓν πλοῖον ἔχοντα, [2] ἐν ᾗ πιθήκων γένος ὁ πάλμυς καὶ βασιλεὺς τῶν ἀφθίτων, ἤτοι τῶν θεῶν, ᾤκισεν. ἡ δὲ λέξις, τὸ πάλμυς, ἐστὶν Ἰώνων, καὶ χρῆται ταύτῃ Ἱππῶναξ λέγων,

Ω Ζεῦ πάτερ, θεῶν Ὀλυμπίων πάλμυ,
Τί μ' οὐκ ἔδωκας χρυσὸν ἀργύρου, [3] πάλμυ;

Ωμικρὸν δὲ, τὸ σι μακρὸν, ὡς κοινὴ συλλαβή.

693. Μῶλος.] ὁ πόλεμος, παρὰ τὸ μὴ ὅλος καὶ ὁλόκληρος εἶναι· πολλοὶ γὰρ ἐν αὐτῷ τῷ πολέμῳ ἀναιροῦνται. * Ἐκγόνοις Κρόνου.] τοῖς παισὶ τοῦ Κρόνου, Διῒ καὶ τοῖς ἑτέροις. Εἶπον δὲ περὶ ἐκγόνου καὶ ἐγγόνου ἀλλαχοῦ. *

694. [4] Βαιοῦ δ' ἀμείψας.] ὁ Βαιὸς οὗτος κυβερνήτης ἦν Ὀδυσσέως, ὃς τελευτήσας ἐτάφη περὶ Σικελίαν ἀφ' οὗ φασὶ κληθῆναι Βαιὰς, τὰς νήσους, καὶ πόλεις, καὶ τὸν Βαιοῦ λιμένα, παρὰ τὴν κατ' Ἰταλίαν Λιγυίν.

695. Καὶ Κιμμέρων ἔπαυλα.] τὰς ἐπαύλεις, τὸ δὲ σχῆμα μεταπλασμός. οἱ Κιμμέριοι δὲ, κατὰ μὲν Ομηρον, περὶ τὸν δυτικὸν Ωκεανὸν κεῖνται. κατὰ δὲ τὸν περιηγητὴν Διονύσιον,

Κιμμέριοι ναίουσιν ὑπὸ ψυχρῷ ποδὶ Ταύρου.

* Κιμμέριοι] ἔθνος τὰς ἐπαύλεις ἔχον περὶ τὸν ὠκεανὸν, ὡς καὶ Ομηρος,

Ενθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε, πόλις τε
Ηέρι, καὶ νεφέλῃ κεκαλυμμένοι. *

Κ' Ἀχερουσίαν.] μυθικῶς μὲν ὁ Ἀχέρων ποταμός ἐστιν ᾅδου· ἱστορικῶς δὲ καὶ περιηγητικῶς ὁ Ἀχέρων ποταμός ἐστιν Ἡρακλείας, τῆς περὶ Συνώπην, καλεῖται δὲ Σαονατίτης. οὐκ οἶδα δὲ ποῦ ὁ Λυκόφρων ὅπου λέγει εἶναι τὸν Ἀχέροντα.

697. * Οσσάν τε, καὶ λέοντος. *] Κύμην, καὶ Οσσαν, [5] ὄρος Ἰταλίας μέγιστον, ὥς φασι Μυθολόγοι· καὶ Ομηρος φησὶ περὶ τῶν [6] Ἀλωέως παίδων, Ωτου καὶ Ἐφιάλτου,

Οσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Οσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.

Λέοντος.] [7] Ἡρακλέους, ἢ διὰ τὴν λεοντῆν, ἢ διὰ τὴν ἀλκήν· ὃς Ἡρακλῆς τὰς Γηρυόνου βόας ἐλαύνων, ὡς περὶ Οσσαν, καὶ Κύμην ἐγένετο, εὗρε δὲ πελαγίσαντα τὸν Ὀξύβοτον ποταμὸν, φερόμενον ἐπὶ Μελίβοιαν τὴν πόλιν, ὡς οὐκ ἦν δυνατὸν αὐτὸν διελθεῖν, σκάψας τὰς κορυφὰς τῶν ὀρῶν, ἐνέβαλεν εἰς τὸν ποταμὸν, καὶ [8] ἐνέχωσεν αὐτὸν, καὶ οὕτως διῆλθε σὺν τῶν βοῶν.

698. Ὀβριμοῦς τ' ἄλσος.] Βριμοῦς, καὶ Ὀβριμοῦς, ἡ Περσεφόνη, ὅτι τῷ Ἑρμῇ βιάζοντι αὐτὴν ἐν Κυνηγεσίῳ ἐνεβριμήσατο, καὶ οὕτως ἐκεῖνος ἐπαύθη ἐγχειρήματος. [9] Τινὲς δὲ γράφουσιν Ὀμβριμοῦς, παρὰ τὸ ὄμβριμον καὶ βαρύ.

699, 700, 701, 702. * Πυριφλεγές τε ῥεῖθρον.] τὸν πυρὶ φλεγέθοντα. * οὐκ οἶδα ὅπου φασὶν εἶναι τὸν Πυριφλεγέθοντα,

EMENDATIONES.

1 Ἡ θλάσασα, pro ἡ θλάσασα, ex Seld. Et hujus emendationis ratio cuilibet erit manifesta, qui cum Lycophronis textu Tzetzen conferre volet. 2 Ἐν ᾗ πιθήκων γένος ὁ πάλμυς lego cum Bar. ἐν ᾗ πιθήκων ὁ πάλμυς Seld. ἐν ᾗ πιθήκων.] ὁ πάλμυς Impress. 3 Πάλμυ Bar. & Grav. * Hæc addo ex Grav. 4 Hic (id quod in Poetæ Textum admonui) legendum cum Stephano Βαίου, & paullo post Βαίας. Sic Πύῤῥος Pyrrhus, πυῤῥὸς ruber: Ὄρθος Orthus, ὀρθὸς rectus: Παιὼν Pæon, Apollo, παιὼν pæon, carminis genus: Χρῆστος Chrestus, viri nomen, χρηστὸς bonus. Et plura accumulare exempla in re tam obvia, vix foret operæ pretium. * Hæc deprompsi ex Seld. * Hæc sunt ex Grav. 5 Ὄρος, pro ἄρος, habet Seld. Atque sum μέγιστον pro μέγιστον, legendum 6 Ἀλωέως, pro Ἀλφειοῦ. Aloei enim, non Alphæi, filii fuere Otus & Ephialtes, ut apud Homer. Odyss λ'. Nic. Gerbel. & Grav. 7 Ἡρακλέους, pro Ἡρακλῆς, ex Bar. & Grav. 8 Ἐνέχωσεν, pro ἀνέχωσεν, ex omnibus MSS. 9 Τινὲς δὲ γράφουσιν Ὀμβριμοῦς, pro τινὲς γὰρ Ὀμβριμοῦς, ex Seld. * Ex Bar.

εἰ μὴ

Λιπὼν [a] δὲ Ληθαιῶνος ὑψηλὸν κλέτας,
Λίμνην τ' [b] Ἄορνον [c] ἀμφιτορνωτὴν βρόχῳ,
Καὶ χεῦμα Κωκυτοῖο [d] λαβρωθὲν σκότῳ,
Στυγὸς κελαινῆς νασμὸν, ἔνθα Τερμιεὺς
Ὁρκωμότοις ἔταξεν [e] ἀφθίτοις ἕδρας,
[f] Μέλλων Γίγαντας, κἀπὶ [g] Τιτᾶνας περᾶν·
Λοιβάς τ' ἀφύσσων χρυσέαις [h] πέλλαις γάνος,
Θήσει [i] Δαείρᾳ, καὶ ξυνευνέτῃ δόμου,

Relinquensque Lethæonis montem altum,
Paludemque Avernam laqueo circumductam,
Et Cocyti fluvium tenebris absorptum,
Nigræ Stygis rivum, ubi Terminalis
Jurisjurandi constituit Diis sedes,
Contra Gigantes, atque Titanes transiturus:
Et aquæ libamina fitulis hauriens aureis,
Offeret Proserpinæ, & Marito munus,

VARIANTES LECTIONES.

a Τε Bar. aliique. b Ἄορνον Bar. c Ἀμφὶ τορνωτὴν βρόχον Bar. d Λαμβρωθὲν Seld. e Ἀφθίτοις Bar. f Versum hunc & sequentem transposuit Gul. Canterus, ne vacillaret sententia. g Τιτᾶνας al. Τιτᾶνας Seld. h Πέλλαις Seld. i Non paucæ Editiones Δαείρᾳ, & ξυνευνέτῃ fine ι proferunt; quam Bar. præter morem subscripsit.

οἱ μὴ ἄρα ὅτε ἡ πόλιν τῶν ὀνείρων, καὶ ἡ τῶν Πλάτωνος πολιτεία. [1] Πυριφλεγέθων, ποταμὸς ἐστὶν ἐν τῷ ᾅδῃ, ὡς καὶ Ὅμηρος,

Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι,
Κωκυτός θ', ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ.

Κωκυτός τε, ὅτε λέγουσιν εἶναι λόφον ἀόρατον, ὃν εἴ τις ἂν προσβῇ, ἀφωνὸς γίνεται εὐθύς· ἐκεῖ δὲ λέγουσιν εἶναι τὰς τῶν ἀνθρώπων ψυχάς, ἃς φυλάσσει ὁ κύων τοῦ ᾅδου, ὃς ἔχει ἑκατὸν κεφαλάς, καὶ λέγουσιν, ὅτι τὸν εἰσερχομένους μετὰ κολακείας προσδέχεται, τὸν δὲ ἐξελθεῖν θέλοντας οὐκ ἐᾷ, εἰ δέ τις τολμήσειε τῷ τειχέων αὐτοῦ λαβέσθαι, κατεσθίει περὶ τοῦτον. Πολυδέγμων.] τοῦτο τὸ ὄρος ἐστὶ τῆς Ἰταλίας, λίαν ὂν ὑψηλότατον, ἐξ οὗ φασὶ πάντας τοὺς ἐν Ἰταλίᾳ ῥεῖν ποταμούς. Αὐσονίτιν χθόνα] εἶπον πολλάκις, ὡς Αὔσονες, οἱ Αὐροῦγκοι μόνοι κυρίως λεγόμενοι, [2] μέσον Καμπανῶν καὶ Οὐόλσκων παρὰ θάλασσαν κεῖνται· καταχρηστικῶς δὲ καὶ πάντας Ἰταλοὺς Αὔσονας καλοῦσι, καταχρηστικώτερον δὲ καὶ ὑμᾶς, καίπερ Ἑλλήνων γονῆς πεφυκότας. Αὔσονες δὲ λέγονται, κατά τινας μὲν, ἀπὸ Αὔσονος, τοῦ Ὀδυσσέως καὶ Κίρκης παιδός· καθ' ἑτέρους δὲ, ἀπὸ Αὔσονος, τοῦ Ἰταλοῦ καὶ Λευκαρίας υἱοῦ· ἄλλοι δὲ ἐξ Αὔσονος ἑτέρου φασίν. Αἴθραν.] τὴν αἰθέρα λέγει, ἢ τὸν ἀέρα, παρὰ τὸ αἴθω, τὸ καίω, καὶ λάμπω, καὶ ῥέω, ἤτοι ὁ ῥέων τὸ φῶς ἐπὶ τῆς γῆς.

703. Ληθαιών.] ὄρος ὑψηλὸν Ἰταλίας. Κλέτας δὲ, κλιτὺς, ἀκρώρεια. * Λιπὼν δὲ Ληθαιῶνος ὑψηλὸν κλέτας Ὀδυσσεὺς, τόδε καὶ τόδε, ὅτε ὁ Ζεὺς τάδε ἐποίησε, θύσει αὐτὸς ὁ Ὀδυσσεύς. *

704. Λίμνην τ' Ἄορνον.] Ἄορνος, καὶ Ἄορνις, λίμνη περὶ Κύμην. [3] περιφερὴς δὲ, δίκην δρομοῦ περιτορνευθεῖσα. ἔχει δὲ, ὥς φασί τινες, αὕτη τὸ ὕδωρ κυάνεον· ἐκλήθη δὲ Ἄορνις, ὅτι οὐδὲν ὄρνεον δύναται αὐτὴν [4] περιπτῆναι, διὰ τὸ εἶναι αὐτὴν σκοτεινὴν καὶ μεγάλην. καὶ ὁ μὲν Λυκόφρων λίμνην λέγει τὴν Ἄορνον, καὶ ἕτεροι τινὲς περὶ τὸν Ἡρίδανον, λίμνην θερμὴν ὄζουσαν φασὶν, ἧς οὐδὲν ζῶον γεύεται, τελευτᾷ γάρ. ἐκεῖ δὲ λέγουσι γενέσθαι τὰ κατὰ τὸν Φαέθοντα, [5] ἐκεῖ γὰρ καὶ αἴγειροι ἵστανται καὶ λέγουσι ἤλεκτρον. οἱ δὲ τὰς Ἀλεξάνδρου πράξεις συγγραψάμενοι, πέτραν φασὶν ὑψηλὴν ιʹ σταδίων τὸ ὕψος εἶναι τὴν Ἄορνον, Ἄορνος δὲ λέγεται, ὅτι διὰ τὴν ψύξιν, αὐτὴν ὄρνεον οὐχ ὑπερίπταται· ὁ δὲ Ἀλέξανδρος καὶ ταύτην ἐπόρθησεν· Ἄλλοι δὲ τὴν Ἄορνον, Σωτίων τε, καὶ Ἀγαθοκλῆς, καὶ Δίων, καὶ οἱ λοιποὶ τῶν ἱστορικῶν, οὐ λίμνην, οὐδὲ πέτραν φασὶ, στόμιον δέ τι περὶ Ἀλεξάνδρειαν, ὃ στόμιον ὄρνεον [6] ὑπερπετάσθαι οὐ δύναται, ὑπὸ τῆς ἐκεῖθεν ἀναφερομένης ἀναθυμιάσεως τελευτᾷ καὶ πᾶν ζῶον ἄλογον. ἡ Ἀλεξάνδρεια δὲ χώρα τῆς Μεσοποταμίας ἐστὶ, καὶ τῆς περὶ Νῖνον Συρίας. ἐν τῇ Ἀλεξανδρείᾳ τοῦτο τὸ Ἄορνον στόμιον, καὶ ἡ Κτησιφῶν πόλις, καὶ ἡ Ἀσφαλτῖτις λίμνη, ἄσφαλτος δὲ ἐστιν ἡ νάφθα. περὶ δὲ τῆς Ἀσφαλτίτιδος λίμνης, Ἰώσηπος λέγει περὶ Ἰορδάνην καὶ Ἱεριχοῦντα εἶναι πικρὰν καὶ ἄγονον τῷ καρπῷ. ἐν ταύτῃ φησὶ τῇ Ἀσφαλτίτιδι τὰ ἐμβαλλόμενα πάντα ἄνω φέρεσθαι, καὶ ἀνθρώπους δὲ [7] ὀπισθάγκωνας δήσαι φησὶν Οὐεσπασιανὸν, καὶ ἐμβαλεῖν ταύτῃ τῇ λίμνῃ, καὶ ἀναχθῆναι μόνους μὴ ἐπισταμένους νήχεσθαι. καὶ Ξενοφῶν, καὶ ἕτεροι μυρίοι [8] περί τε τοῦ Ἀόρνου στομίου, καὶ τῆς Ἀσφαλτίτιδος λίμνης ἱστόρησαν.

705, 706, &c. Καὶ χεῦμα Κωκυτοῖο.] παραπέφρακε τὸ Ὁμηρικὸν,

Κωκυτός θ', ὃς δὴ Στυγὸς ὕδατος ἐστὶν ἀπορρώξ.

ἡ δὲ Στὺξ βοηθήσασα καὶ αὕτη τῷ Διῒ, ὅτε οἱ λοιποὶ θεοὶ ἐβουλήθησαν αὐτὸν ἐξ οὐρανοῦ ῥίψαι, δέδωκεν αὐτῇ ὁ Ζεὺς χάρισμα, τὸ ὀμνύειν εἰς αὐτὴν τοὺς θεούς. καὶ Ὅμηρος,

Ἴστω νῦν τόδε γαῖα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
Ὅρκος, δεινότατός τε πέλει μακάρεσσι θεοῖσιν.

ὁ δὲ Κωκυτὸς, ποταμὸς ἐν ᾅδῃ, μυθικῶς. ἀλληγορικώτερον δὲ, Κωκυτὸς, ὁ θρῆνος καὶ Ἀχέρων, ἡ ῥεῦσις, καὶ ἡ χύσις τῶν ἀχέων καὶ θλίψεων, τῶν διὰ τοὺς τεθνηκότας. καὶ Αἰακὸς δὲ πυλωρὸς, παρὰ τὸ αἶ αἶ λέγειν ἐν τοῖς κηδείαις, καὶ οἱονεὶ προπυλαίοις τοῦ ᾅδου. καὶ Μίνως, καὶ Ῥαδάμανθυς, παρὰ τὸ μίμνειν τοὺς ἐκεῖ κατερχομένους, καὶ παρὰ τὸ ῥᾳδίως μινύθεσθαι καὶ φθείρεσθαι. ὁμοίως καὶ τὰ λοιπὰ πάντα, ἵνα μὴ μακρηγορῶ. Στυγὸς κελαινῆς.] καὶ ἡ Στὺξ, λίμνη τοῦ ᾅδου, παρὰ τὸ στυγεῖσθαι τὰ ἐκεῖ. ἔστι δὲ καὶ ἐν Ἀρκαδίᾳ ἑτέρα, διαλύουσα τῇ ψυχρότητι πάντα τὰ ἀγγεῖα, πλὴν τῶν κερατίνων. Τερμιεύς.] ὁ Ζεὺς, ὡς ἀρχὴ καὶ τέρμα πάντων. Ὁρκωμότοις.]

EMENDATIONES.

1 Hæc paulo infra posita, in proprium locum reposui, ope Seld. 2 Μέσον, pro μέσῳ, ex Grav. Hujus emendationis necessitas clarius patebit, si conferantur quæ prius dicit Scholiastes ad v. 44. hujus Poematis. * Ex Bar. & Grav. 3 Περιφερὴς, pro περιφερὴ, ex MSS. omnibus. 4 Ὑπερπετάσαι, pro περιπτῆναι. legendum esse putavit Cluver. Italiæ antiq. lib. I. p. 152. 5 Ἐκεῖ γάρ καὶ. pro ἐκεῖ καὶ, ex Bar. & Grav. invit. & Seld. 6 Ὑπερπετάσθαι, pro ὑπερπετασθῆναι ex Grav. 7 Ὀπισθάγκωνας, pro ὀπισθάγκωνα, ex emendatione Nic. Gerbelii. 8 Περί, pro παρὰ, ex MSS omnibus.

 ὄρνεον

[a] Πήληκα κόρσῃ κίονος προσαρμόσας.	Galeam columnæ capiti appendens.
Κτενεῖ δὲ κόρας Τηθύος παιδὸς τριπλᾶς,	Tres autem occidet Tethyis Neptes Virgines,
[b] Οἴμας μελῳδοῦ μητρὸς [c] ἐκμεμαγμένας,	Canoræ Matris cantus exprimentes,
[d] Αὐτοκτόνοις ῥιφαῖσιν ἐξ ἄκρας σκοπῆς	Spontaneis jactibus ex alta specula
Τυρσηνικὸν πρὸς κῦμα δυπτούσας πτεροῖς,	In undam Tyrrhenam pennis urinantes,
Ὅπου λινεργὴς κλῶσις ἑλκύσει πικρά.	Quo lanificum trahet acerbum stamen.
Τὴν μὲν, Φαλήρου τύρσις ἐκβεβρασμένην,	Unam quidem Phaleri arx expulsam,
Γλάνις [e] τε ῥείθροις δέξεται τέγγων χθόνα·	Glanisque terram humectans excipiet:
Οὗ σῆμα [f] δομήσαντες ἔγχωροι κόρης,	Ubi templum indigenæ extruentes puellæ,
Λοιβαῖσι καὶ θύσθλοισι Παρθενόπην βοῶν	Libaminibus Parthenopen, & sacrificiis boum
Ἔτεια κυδανοῦσιν, οἰωνὸν θεάν.	Quotannis honorabunt, volucrem Deam:

VARIANTES LECTIONES.

a Al. πήληκα. b Al. εἴμας cum aspero c Ἐκμεμαγμένας Seld. d Al. αὐτόχειρες οἱ αὐθαίρετοι. e δὲ Bar. f Δωμήσαντες Bar. aliique, & Seld. Sed in hoc linea ibi ε superducta est, eaque videtur lectionis diversitas significari.

ὅρκιον γὰρ τῶν θεῶν μυθικῶς ὁ Ζεὺς ἐποίησε τὴν Στύγα, καὶ λοιβὰς, ἤτοι θυσίας, ἀρυσάμενος χρυσοῖς ποτηρίοις ἐκ τοῦ ὕδατος αὐτῆς, ὅτι ἔμελλε φράσαι περὶ πόλεμον Γιγάντων καὶ Τιτάνων. ὁ δὲ Ἡσίοδος ἐν τῇ Θεογονίᾳ διὰ τοῦτό φησι τὸν Δία ὅρκον θεῶν ποιῆσαι τὴν Στύγα, ὅτι πρώτη τῶν λοιπῶν θεῶν σὺν τοῖς ἰδίοις παισὶν εἰς τὴν κατὰ Τιτάνων μάχην ἦλθε συνεργὸς τῷ Διΐ. Ἡ δὲ σύνταξις οὕτως· Λιπὼν δὲ Λαθεῶνος ὑψηλὸν κλέτας ὁ Ὀδυσσεὺς, καὶ τόδε, καὶ τόδε, ὅπου ὁ Ζεὺς τόδε ἐποίησε, θήσει αὐτὸς ὁ Ὀδυσσεὺς δεῖνος, ἤτοι δῶρον καὶ ἀνάθημα, τίνι; τῇ Δαείρᾳ καὶ κοπτικῇ καὶ ἀναιρετικῇ, ἤτοι τῇ Περσεφόνῃ, καὶ τῷ συνευνέτῃ ταύτης Ἅδῃ, μετὰ τὸ ἀνελθεῖν ἀπὸ τοῦ ᾅδου. τί δεῖνος θήσει; πήληκα καὶ περικεφαλαίαν, τῇ κόρσῃ καὶ τῇ κεφαλῇ τοῦ κίονος προσαρμόσας καὶ θεὶς τὴν πήληκα. ἱστορεῖται γὰρ, ὅτι μετὰ τὸ ἀνελθεῖν ὁ Ὀδυσσεὺς ἐκ τοῦ ᾅδου ἀνήγειρε κίονα τῷ Ἅδῃ καὶ τῇ Περσεφόνῃ, ἐφ' ᾧ καὶ τὴν περικεφαλαίαν αὐτῷ ἀνέθηκε. Περσεφόνη δὲ, καὶ Ἶσις, ἡ Γῆ, καὶ Ῥέα, καὶ Ἑστία, καὶ Πανδώρα, καὶ ἕτερα μυρία ὀνομάζεται. [1] Δαείρα δὲ, παρὰ τὸ δᾷδα, δᾳδοῦχος γὰρ ἡ θεός.

711. Κόρσῃ.] ἡ [2] μήνιγξ, καὶ ἡ κεφαλὴ, ὡς φησὶν Ἐμπεδοκλῆς,

Ὡς πολλῶν μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν.

712. Κτενεῖ δὲ κόρας.] τὰς Σειρῆνας λέγει, Παρθενόπην, Λευκωσίαν, καὶ Λίγειαν. τινὲς δὲ ἑτέρως ταύτας φασίν. ἦσαν δὲ θυγατέρες Ἀχελώου καὶ Τερψιχόρης, ὁ δὲ Ἀχελῶος υἱὸς ἦν Ὠκεανοῦ καὶ Τηθύος. αἱ Σειρῆνες γὰρ μὴ φέρουσαι τὴν ὑπὸ Ὀδυσσέως ἧτταν, ἑαυτὰς [illegible]· διέτριβον δὲ αἱ Σειρῆνες, κατὰ μέν τινας, ἐν Πελωρίδι, κατὰ δὲ ἄλλους, ἐν ταῖς Σειρηνούσσαις, αἳ εἰσὶ τρεῖς ἄκραι τῆς Ἰταλίας. Ἄλλοι δὲ ἄλλως καλοῦσι ταύτας, Πεισινόην, Ἀγλαόπην, Θελξιέπειαν. τούτων ἡ μὲν ἐκιθάριζεν, ἡ δὲ ᾖδεν, ἡ δὲ ηὔλει, καὶ διὰ τούτων κηλε[illegible] ἔπειθον τοὺς παραπλέοντας.

715. Δυπτούσας πτεροῖς.] πλεύσας ἐν τοῖς πτεροῖς, ἐπειδὴ, ὡς ἔφην, τὰ ἄνω παρθένων εἶχον, τὰ δὲ κάτω ὀρνίθων ὥσπερ πτερὰ ἔχουσαι.

716. Ὅπου λινεργής.] ὅπου ὁ τῶν Μοιρῶν λίνος ὁ πικρὸς, τουτέστι τὸ πεπρωμένον, ἀποθανεῖν αὐτὰς ἐπεκλώσατο.

717. Τὴν μὲν Φαλήρου.] Φάληρος, τύραννος Σικελίας, ἔκτισε τὴν ἐν Ἰταλίᾳ Νεάπολιν, τοὺς δὲ ξενιζομένους πρὸς αὐτὸν δεινῶς κολάζων καὶ ἀναιρῶν. λέγει οὖν τὴν Παρθενόπην ἐκεῖ ἐκπεσεῖν. Διόδωρος δὲ ὁ Σικελὸς, καὶ ὁ Ὀππιανὸς τὴν Νεάπολιν ὑφ' Ἡρακλέος * φασὶ * κτισθῆναι. καὶ φησὶν ὁ Ὀππιανὸς ἐν τοῖς Κυνηγετικοῖς,

——— νέον πέδον Ἡρακλῆος,

αὐτὴν τὴν Νεάπολιν λέγων. μέμνηται τοῦ Φαλήρου καὶ Καλλίμαχος λέγων,

[3] Κεῖνε Φάληρος πρῆξιν ἀπεπλάσατο.

Τύρσις.] τὸ τεῖχος, ὅτι Τυρσηνοὶ πρῶτον εὗρον τὴν τειχοποιΐαν.

718. Γλάνις.] ποταμὸς Ἰταλίας, καὶ Κύμης, ἔνθα καὶ ὁμώνυμος αὐτῷ ἰχθὺς, ὥς φασι, γίνεται, οὐ ὁ χαλὸ λίαν ἀπόλιμος, ἀλλὰ [4] μόνος τῇ ἐν ἐκείνῳ τῷ ποταμῷ. ἔστι δὲ καὶ ἕτερος ποταμὸς Ἰταλίας Γλάνις, καὶ ἄλλος Ἰβηρίας.

719. [5] Δομήσαντες.] τὸ δω μακρὸν ὁ Τζέτζης γράφει, τιθεὶς ἄνω αὐτοῦ μακρὰν, καί φησιν, ὅτι ἐκτείνεται ὑπὸ τοῦ μ, καὶ ἔστι κοινὴ συλλαβὴ, τὰ γὰρ ἀμετάβολα ἐκτείνει, ὁπότε ὁ μετρικὸς βούλεται. εἰ δὲ μέγα φησί τις τοῦτο γράφεσθαι, γινωσκέτω λέγειν, ὅτι Ἀττικῇ διαλέκτῳ τοῦτο γέγονε, καὶ μὴ κτηνωδῶς καὶ ἀναιτίως [6] γραφέτω.

721. Οἰωνὸν θεάν.] διὰ τὸ ὀρνιθομιγεῖς εἶναι τὰς Σειρῆνας, οἰωνὸν καλεῖ. Θεὰν δὲ, διὰ τὸ τοιαύτην ἔχειν δύναμιν θελκτικὴν, ὥστε κατέχειν καὶ ἀναιρεῖν τοὺς ἀκούοντας τοῦ μέλους αὐτῶν.

EMENDATIONES.

1 Hæc paullo post occurrebant, Ego vero in suum locum reduxi. 2 Μῆνιγξ, pro μῆνιξ, ex Bar. ut supra, * Ex MSS. utroque. φασὶ Grav. 3 Ita scribo hunc Callimachi versum. Τὸν [illegible] Impress. τὸ κεῖνε Seld. 4 Μόνος τοῦ ἰχθύος ποταμοῦ Bar. 5 Δωμήσαντες, pro δομήσαντες, ex MSS. utroque; itaque scribendum ipsa verba clamant. 6 Γραφέτω, pro γράφετω, ex MSS. omnibus.

Ἀκτὴν δὲ τὴν προὔχουσαν εἰς Ἐνιπέως
Λευκωσία ῥιφεῖσα, τὴν ἐπώνυμον
Πέτραν ὀχήσει δαρόν, ἔνθα λάβρος Ἶς,
Γείτων θ' ὁ Λᾶρις [a] ἐξερεύγονται ποτά.
Λίγεια δ' εἰς [b] Τέρειναν ἐκναυσθλώσεται,
Κλύδωνα [c] χελλύσσουσα· τὴν δὲ [d] ναυβάται
[e] Κρόκαισι [f] ταρχύσουσιν ἐν παρακτίαις,
[g] Ὠκινάρου δίναισιν [h] ἀγχιτέρμονα.
Λούσει δὲ σῆμα βούκερως νασμοῖς Ἄρης,
Ὀρνιθόπαιδος ἴσμα φοιβάζων ποτοῖς.
Πρώτῃ δὲ καί ποτ' [i] αὖθι συγγόνων θεᾷ
Κραίνων ἁπάσης [k] Μόψοπος ναυαρχίας
Πλωτῆρσι λαμπαδοῦχον ἐντυνεῖ δρόμον,
Χρησμοῖς πιθήσας· ὅν ποτ' αὐξήσει λεὼς
Νεαπολιτῶν, οἳ παρ' ἄκλυστον [l] σκέπας

In ripam autem eminentem Enipei
Ejecta Leucoſia, cognominem diu
Occupabit Inſulam, ubi violentus Is,
Vicinuſque Laris eructant latices.
Ligea denique in Terinam exponetur,
Undam eructans: quam nautæ
In arena ſepelient litorali,
Ocinari vorticibus conterminam.
Abluet autem ſepulcrum Corniger fortis,
Semiavis extergens aquis monumentum.
Primæ porrò quondam ſororum Deæ
Imperator totius Atticæ claſſis
Vectoribus lampadiferum inſtituet curſum,
Oraculis obtemperans: quem augebit populus
Neapolita, qui prope tranquillum tegmen

VARIANTES LECTIONES.

a Al. ἐξερεύγεται. b Al. Τέρειναν c Χελλύσσουσα MSS. uterque. χελύσσουσα al. d Al. ναυβάται. e Κρόκαισι Seld. f Al. ταρχύσουσι g Ὠκινάρου Seld. eandemque lectionem in Scholiis retinet. al. Ὠκινάρου. h Ἀγχιτέρμονα Seld. i Al. Αὖθις. al. αὖθι. k Al. Μόψοπος. l Σκέπας Seld.

722, 723, 724, 725. Ἀκτὴν δὲ τὴν προὔχουσαν.] Ἐνιπεὺς, ὁ Ποσειδῶν, παρὰ Μιλησίοις τιμᾶται. εἰς δὲ τὸ Ποσειδώνιον τὸ ἀπ' αὐτοῦ ἐκκειμένων ... Λευκωσία, ἡ Σειρήν. Προὔχουσαν.] τὴν προεκκειμένην εἰς θάλασσαν, λέγει δὲ τὸ Ποσειδώνιον ἄκρον. Πέτραν δὲ, νῦν τὴν νῆσον λέγει. Λευκωσία δὲ, ἡ νῆσος ἀπὸ ταύτης τῆς Σειρῆνος Λευκωσίας ἐκλήθη. * Ἶς, καὶ Λᾶρις, ποταμοὶ Ἰταλίας. * [1] Ποτά.] ὁ ποτός ἐστι, νῦν δὲ τὸ ῥῆμα μεταπλασμὸς, ἀπὸ ἀρσενικοῦ εἰς οὐδέτερον. * Λευκωσία, μία τῶν Σειρήνων· ἡ δὲ Παρθενόπη μία, προτέρα ... ἐν αὐταῖς. Παρθενόπην δὲ λέγει, διὰ τὸ ἔχειν παρθένου φωνὴν, ἢ διὰ τὸ ὁμοιοῦσθαι παρθένῳ μικρᾷ. Λευκωσία δὲ πάλιν, ἡ λευκωτέρα, ἔχουσα λευκὴν οὐσίαν, ἢ Λεύκου τινὸς θυγάτηρ, ἢ τὰ τῶν λευκῶν ὦτα ἔχουσα. Λίγεια, διὰ τὸ λιγυρὸν τῆς τραγῳδίας αὐτῆς.

726. Τέρειναν.] πόλις Ἰταλίας. * Ἐκναυσθλώσεται.] ναυσθλώσεται ἐστὶ κυρίως, τὸ μετὰ νηὸς ἐκπλεῦσαι. νῦν δὲ τὸ ἐκριφῆναι ὑπὸ τῶν κυμάτων.

727. Χελύσσουσα.] ἐν λάμβδα γράφει ὁ Τζέτζης, φησὶ μὴ εἶναι τὸν στίχον πεπλασμένον· κοινὴν γὰρ λέγει τοῦτο συλλαβὴν, ἐκλείπεσθαι δὲ τὸ ε ὑπὸ τοῦ λ ἀμεταβόλου ὄντος, ὥσπερ καὶ πρὶν ἔφην, καὶ τὰ δασέα ὁμοίως ἐκτείνουσι τὰ [2] βραχέα, εἰ ἔμπροσθεν αὐτῶν εὑρεθεῖεν. οἱ δὲ λοιποὶ πάντες δύο λ γράφουσι, λέγοντες κατὰ πλεονασμὸν εἶναι τὸ ἓν λ. χελλύσσουσα γὰρ, ἡ διαπλέουσα καὶ ναυχομένη· καὶ γὰρ οἱ ναυχόμενοι, τοῖς χείλεσιν ὠθοῦσι τὸ ὕδωρ, [3] τὸ δὲ θέμα χελύω.

729, 730. Ὠκινάρου δίναισιν.] Ὠκίναρος, ποταμὸς παρὰ Τέρειναν, Ἄρης, ἤτοι ἰσχυρὸς, λεγόμενος, καὶ βούκερως διὰ τὸ ἠχητικὸν, ὅτι τοὺς ποταμοὺς κερατοφόρους καὶ ταυροκεφάλους εἰσάγουσιν, ἴσως διὰ τὸ βίαιον, καὶ ἠχῶδες, καὶ βρυχητικὸν τῶν ῥευμάτων· Ἄρης γὰρ οὐκ ἔστι ποταμὸς παρὰ Τέρειναν, [4] Ἔρις δὲ· ὅθεν ἐπιθετικῶς αὐτὸ ἐδέξαντο ἐπὶ τοῦ Ὠκινάρου.

731. Ὀρνιθόπαιδος.] τῆς [5] ὀρνιθοφυοῦς. τὸ δὲ ὀρνιθόπαις, καὶ καλλίπαις, καὶ ἀνδρόπαις, καὶ τὰ ὅμοια, διπλῶς νοοῦνται, ἡ δὲ ἔννοια ἐξελέγχει τὴν ἀλήθειαν· ὀρνιθόπαις γὰρ λέγεται, καὶ ἡ ὄρνιθος παῖς, καὶ ἡ ὀρνιθοφυὴς παῖς, ὡς νοεῖται νῦν. καλλίπαις δὲ, ἡ καλῆς μητρὸς παῖς, καὶ ἡ καλὴ παῖς. ἀνδρόπαις, ὁ ἀνδρείου παῖς, καὶ ὁ ἀνδρεῖος παῖς, καὶ τὰ λοιπὰ ὁμοίως· ἐλέγχει δὲ τὸ πῶς χρὴ νοεῖν ταῦτα ἡ ἔννοια. Ἴσμα.] ἵδρυμα, τάφον, παρὰ τὸ ἵζω ῥῆμα. Φοιβάζων δὲ, πλύνων, [6] καθαίρων τοῖς ὕδασιν· ὅθεν φοῖβον, τὸ ὑγρὸν, καὶ πᾶν καθαρόν.

732, 733. Πρώτῃ δὲ καί ποτ' αὖθις.] [7] Τίμαιος ὁ Σικελικὸς φησὶ Διότιμον, τὸν Ἀθηναίων ναύαρχον, παραγενόμενον εἰς Νεάπολιν, κατὰ χρησμὸν θῦσαι τῇ Παρθενόπῃ, καὶ δρόμον ποιῆσαι λαμπαδικὸν, ὅνπερ λαμπαδικὸν ἀγῶνα καὶ δρόμον οἱ Νεαπολῖται ἐτησίως ἐτέλουν. Μοψοπία δὲ πάλαι ἐκαλεῖτο ἡ Ἀττικὴ χώρα, καὶ αἱ Ἀθῆναι, ἀπὸ τινος Μόψοπος. Διότιμος δὲ εἰς Νεάπολιν ἦλθεν, [8] ὅτε στρατηγὸς ὢν τῶν Ἀθηναίων, ἐπολέμει τοῖς Σικελοῖς.

736, 737. Ἄκλυστον.] πολύκλυστον, ἢ [9] ἀκύμαντον. Μεσολαβὸς δὲ, ὅρμος, ἤτοι λιμὴν, Νεαπολιτῶν, καταχρηστικῶς δὲ

EMENDATIONES.

* Hæc adjeci ex Grav & Bar. 1 Ποτά, pro ὁ ποτὸς, ex MSS. utroque. * Hæc ex Barocciano penu deprompſi, & in nonnullis vocibus emendavi. Eorum partem agnoſcit etiam Grav. 2 Βραχέα, pro βραχέσι, ex MSS. utroque. 3 Τὸ δὲ θέμα χελύω abeſt ex omnibus MSS. 4 Ἄρης Grav. Οὔρις Bar. 5 Ὀρνιθοφυοῦς, pro ὀρνιθοφυῶς, ex Seld. & Grav. ὀρνιθοφυοῦς Bar. 6 Καθαίρων, pro καταίθων, ex Bar. & Grav. 7 Τίμαιος, pro Τίμαιον, ex MSS. omnibus. 8 Pro ὅτι, poſui ὅτε, quod rectius videtur. 9 Ἀχείμαντον Grav.

Ὅρμων [a] Μισηνοῦ [b] στυφλὰ ναίσσον κλίτη.	Miseni portuum saxosa habitabit promontoria.
Βύκτας [c] δ' ἐν ἀσκῷ [d] συγκατακλείσας βοός,	Ventis autem in utre conclusis bubulo,
[e] Παλιντροπήτοις πημοναῖς [f] ἀλώμενος,	Retrogradis errans damnis,
Κεραυνίῳ μάστιγι [g] συμφλεχθήσεται	Fulmineo flagellabitur flagello
[h] Καύηξ, ἐρινοῦ προσκαθήμενος κλάδῳ,	Larus, caprifici insidens ramo,
Ὡς μὴ καταβρώξῃ [i] νιν ἐν ῥόχθοις κλύδων,	Ne ipsum devoret æstus inter fluctus,
Χάρυβδιν ἐκφυσῶσαν ἑλκύσας [k] βυθῷ.	Charybdin è gurgitibus efflantem trahens.

VARIANTES LECTIONES.

a Μισήνης al. b Στύφλα paroxyton. al. c Δ' nonnulli haud agnoscunt. d Al. συγκαταζεύξας. e Al. παλιντρεμβέσι. f Al. ἁλώμενος cum aspero. g Al. μαστιχθήσεται. h Al. καῦηξ. i Al. μιν. k Βυθοῦ Bar. aliique. βυθῶν al.

λέγεται ὅρμος ὁ λιμήν. Λιμὴν γὰρ λέγεται τὸ ὅλον πλάτος, καὶ ὁ κόλπος, ὅπου χαλαίρουσιν αἱ ὁλκάδες. Ὅρμος δέ, ἡ στάσις μιᾶς ἑκάστης ὁλκάδος. Μισηνὸς δέ, ὄρος Νεαπολιτῶν. Στυφλὰ κλίτη.] τραχέα μέρη καὶ κλίματα, ἢ ἀκρωτήρια.

738. Βύκτας δ' ἐν ἀσκῷ.] Αἴολος, ὁ Ἱππότου, ἐν Ῥηγίῳ τῆς Ἰταλίας ὢν βασιλεὺς ἀστρονομικώτατος καὶ πολύπειρος, ἐφεύρηται μᾶλλον εἰδέναι περὶ τῶν ἀνέμων. χάριν τῶν ναυτιλλομένων, καὶ προλέγειν, ὡς τυχὸν εἰ ἐν ταῖσδε ἄρχῃ πλεύσειαν, μέχρι τῆς δὲ Ζέφυρος αὐτοῖς ἔσται πνέων ἄνεμος, εἰ ἐν δύσει τοῦ κλίματος τοιόσδε, καὶ ἐν τῇ ἀνατολῇ αὐτοῦ ἕτερος, καὶ τούτου ἕνεκα ἐμυθεύσαντο αὐτὸν δεσπότην εἶναι ἀνέμων. ὁμοίως δὲ καὶ τὸν [1] Ἀμαλκείδην, καὶ Πρωτοκλῆ, καὶ Πρωτοκρέοντα, ὥς φησιν Ὀρφεύς. οὕτως οὖν ἔφασαν αὐτοὺς καὶ δεσπότας εἶναι ἀνέμων, ὡς καὶ δέειν ἀσκοῖς, ὃν βούλοιντο αὐτῶν, τοὺς δ' ἄλλους ἐᾶν πνεῖν. οὕτω γοῦν φασὶ καὶ τοῦτον τὸν Αἴολον τοὺς ἄλλους ἀνέμους ἐν τῷ ἀσκῷ καταδήσαντα, δοῦναι τῷ Ὀδυσσεῖ. Ζέφυρον δὲ μόνον ἐᾶσαι, ὡς αὐτῷ χρειωδέστατον καὶ φορόν. καὶ Ὅμηρος,

Δῶκε δέ μοι ἐκδείρας ἀσκὸν βοὸς ἐννεώροιο,
Ἔνθα δὲ βυκτάων ἀνέμων κατέδησε κέλευθα.
Κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων,
Ἠμὲν παυέμεναι, ἠδ' ὀρνύμεν ὅν κ' ἐθέλησιν.

Ἐγὼ δὲ περὶ τὸν ἀσκὸν δέχομαι· φασὶ γὰρ οἱ [2] μαγγανικοί, καὶ οἱ τὰ ἀρχιτεκτονικὰ γράφοντες, ὡς ἐάν τις δελφῖνα ποιήσῃ ἀσκόν, ἐκδείρας αὐτόν, καὶ ἔχων παρ' ἑαυτῷ, ποιήσει πνεῖν ὃν ἂν βούλοιτο ἄνεμον. καὶ ἴσως καὶ οὗτος ὁ Αἴολος ἦν ἂν μαγικώτατος, τούτου δὲ τοῦ Αἰόλου υἱὸς ἦν Ἰόκαστος, ὃς τὸ Ῥήγιον ἔκτισεν, ὥς φησι Καλλίμαχος.

Ῥήγιον ἄστυ λιπὼν [3] Ἰοκάστου Αἰολίδαο.

739. Παλιντροπήτοις.] Ὀδυσσεὺς τοὺς ἐναντίους ἀνέμους ἐγκεκλεισμένους ἔχων ἐν τῷ ἀσκῷ, μόνῳ δὲ ναυτιλλόμενος τῷ Ζεφύρῳ, ἐννέα νυχθήμερα πλεύσας, τῷ δεκάτῳ τὴν ἑαυτοῦ πατρίδα, καὶ πυρπολοῦντας τινὰς θεασάμενος, κοπιάσας, ὡς ἀεὶ τὸν πόδα τῆς νηὸς ἔχων, ἐκάθευδεν. οἱ φίλοι δὲ τούτου λύουσι τὸν ἀσκόν, χρυσὸν νομίσαντες ἔχειν. ἐκχυθέντων δὲ τῶν ἀνέμων, καὶ ἀντιπνόως ταραξάντων τὸ πέλαγος, πάλιν εἰς τὴν Αἰολίαν ὑπέστρεψαν ἄκοντες, τοῖς ἀνέμοις φερόμενοι. ὁ δὲ Αἴολος δυσμενῶς αὐτὸν ἀπέπεμψε, λέγων,

Ἔρρ' ἐκ νήσου θᾶσσον, [4] ἐλέγχιστε ζωόντων,
[5] Ἔρρ', ἐπεὶ ἄρα θεοῖσιν ἀπεχθόμενος τόδ' ἱκάνεις.

740. Κεραυνίῳ μάστιγι.] Ὀδυσσεὺς μετὰ τῶν φίλων αὐτοῦ κατελθὼν ἐπὶ τὴν [6] Θρινακίαν νῆσον, ὅπου αἱ τοῦ Ἡλίου βόες ἐνέμοντο, * πλεῖστον χρόνον μείνας ἐκεῖ διετέλει, διὰ τὸ μὴ τοὺς ἀνέμους ἐπιτηδείους εἶναι πρὸς τὸ πλεῖν. οἱ δὲ ἑταῖροι αὐτοῦ καταναλώσαντες πάντα τὰ χρειώδη, καὶ λιμῷ συνεχόμενοι, τοῦ Ὀδυσσέως ἐν τῇ νήσῳ περιπατοῦντος, αὐτοὶ κρατήσαντες τὰς τοῦ Ἡλίου βοῶν τινας ἀπέκτειναν, πλησίον γὰρ αὐτῶν ἐνέμοντο. * ὁ Ἥλιος δὲ μαθὼν τοῦτο παρὰ Λαμπετίης, τῷ Διὶ ἀπήγγειλε, λέγων,

Ζεῦ πάτερ, [7] ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
[8] Τίσατε δὴ ἑτάρους Λαερτιάδεω [9] Ὀδυσῆος·
Εἰ δέ μοι οὐ τίσουσι βοῶν ἐπιεικέ' ἀμοιβήν,
Δύσομαι εἰς Ἀΐδαο, καὶ ἐν νεκύεσσι [10] φαείνω.

Ὁ δὲ Ζεὺς ὀργισθείς, [11] αὐτοὺς ἐκεραύνωσεν. Κακῶς, καὶ συγκεχυμένως, καὶ ἀδιαρθρώτως ὁ Λυκόφρων τὴν περὶ Ὀδυσσέως ἱστορίαν λέγει. οὐ γὰρ τῇ τότε τροπῇ τὸ τοῦ Ὀδυσσέως πλοῖον ἐκεραυνώθη, οὐδὲ αὐτὸς ὁ Ὀδυσσεὺς κατὰ τοῦτον φαινόμενος, κεραυνωθεὶς καύηξ καὶ λάρος, καὶ καθήμενος μετὰ τὸ κεραυνῶσαι ἐν τῷ κλάδῳ τῆς συκῆς, ἵνα μὴ ἀποπνιγῇ ὑπὸ τῆς Χαρύβδεως, [12] ἀλλαχοῦ δὲ ἐκεραυνώθη τὸ πλοῖον αὐτοῦ, αὐτὸς δὲ τὴν [13] τρόπιν κατέχων, ὑπεστράφη τοῖς ἀνέμοις περὶ τὴν Χάρυβδιν, καὶ πρὸς τὴν ἐκεῖ ἀπεκρεμάσθη συκῆν, μετὰ τὸ οἱ ἑταῖροι αὐτοῦ ἐν τῇ Σικελίᾳ τὰς τοῦ Ἡλίου κατέφαγον βόας.

741. Καύηξ.] οὗτος μὲν καύηξ φησίν, ὁ δὲ Ἱππῶναξ καύης λέγει οὑτωσί,

Κίκων δ' ὁ πανδάλητος ἄμμορος καύης.

Καύης δ' ὁ λάρος, κατ' [14] Αἰνιᾶνας, ἤγουν. Ἐρινεοῦ.] ἐρινεῶ, καὶ ἐν συγκοπῇ ἐρινοῦ. ἐρινεὸν δὲ οἱ πολλοί φασιν εἶναι τὴν ἀγρίαν συκῆν. οὐκ ἔστι δὲ τοῦτο, ἀλλ' ὁ ἐρινεὸς εἶδος ἐστὶ συκῆς, ἀπὸ Ἐρινεοῦ, πόλεως Δωρικῆς. [15] ἑξάπολις γὰρ ἐστὶν ἡ Δωρίς, ἧς μία πόλις ὁ Ἐρινεός, ἐν ᾗ εἰσὶ συκαῖ λεγόμεναι Ἐρινεαί, ὡς Δαμασκηναί, Ἀνατολικαί, καὶ [16] Κυδώνια μῆλα. [17] Πᾶσαν τὴν Ὀδυσσέως ἱστορίαν ἐν βραχεῖ ἐρῶ, μετὰ τὸ λῆξαι τὸν τοῦ Λυκόφρονος ῥητῶν, τὴν περὶ τούτου τοῦ Ὀδυσσέως λεγομένην.

743. Χάρυβδιν.] ἡ τῆς θαλάσσης ἀναρρόφησις, ἡ Χάρυβδις τῆς ἡμέρας τρίτον συσπᾷ τὸ ὕδωρ, καὶ πάλιν ἀνίει.

EMENDATIONES.

1 Ἀραιαλίδην Bar. & Grav. Ἀμαλκείδην vocat Etymolog. Et idem pro Πρωτοκλῆ, habet Πρωτέκλεα, ideoque hoc ex loco emendari poterit. 2 Quid si μαγικοί legas? 3 Ἰοκάστου pro ἀκάστου, ex MSS omnibus. 4 Ἐλέγχιστε olim. Gerbel. 5 Ita emendavit hunc versum Gerbelius. Ἔρρ' ἐπεὶ ἀθανάτοισιν ἀπεχθόμενος τόδ' ἱκάνεις, prius scriptum fuit. 6 Θρινακίαν, pro Θρινακίην, ex emendatione Nic. Gerbelii. * Hæc adjeci ex Seld. eaque è cæteris excidisse evincit sententiarum præcedentis & sequentis incohærentia. 7 Οἳδ' Seld. 8 Τῖσαι apud Homerum legitur. 9 Ὀδυσῆος, pro Ὀδυσσέως ex Seld. & ipso Homero. 10 Φαείνω apud Homerum. Cæterum hunc versum sic profert Seld. Δύσομαι ἐν νεκύεσσι, καὶ εἰς ἀΐδαο φαείνω. 11 Αὐτούς, pro αὐτοῦ, ex Seld. & emendatione Nic. Gerbelii. 12 Ἀλλαχοῦ δέ, pro ἀλλὰ νῦν, ex Seld. 13 Τρόπιν, pro τροπάς, ex Bar. & Grav. τρόπιον Seld. 14 Αἰνιᾶνας, pro αἰνίανας, quod habebant Impress. Ἐνιᾶνας Bar. & Grav. Ἐνιᾶνας Seld. 15 Ἑξάπολις γάρ ἐστιν, lego ex Seld. ε' γὰρ πόλεις εἰσιν Impress. ἓξ γὰρ πόλεις Bar. & Grav. ἓξ γὰρ πόλεων Gerbel. 16 Κυδώνια, pro κυδώνια.. ex Seld. & Nic. Gerbelio. Κυδώνια Bar. & Grav. 17 Πᾶσαν δὲ τήν, pro πᾶσαν τήν, ex MSS omnibus. Nam post v. 814. ubi Ulyssis historia finem ponit Cassandra, totam simul percurrit Scholiastes, sic incipiens: Ἀλλὰ τὴν Ὀδυσσέως πᾶσαν ἱστορίαν κεφαλαιωδῶς [illegible] [illegible].

Βαιὸν δὲ τερφθεὶς [a] τοῖς Ἀτλαντίδος γάμοις,	Paulisper deinde nuptiis Atlantidis delectatus,
Ἀναυλόχητον, [b] αὐτοκαύδαλον σκάφος	Navalibus carens, ac tumultuarium navigium
Βῆναι [c] τλάσει, καὶ [d] κυβερνήτης τάλας	Conscendere audebit, & gubernabit miser
Αὐτεργότευκτον βάριν, [e] εἰς μέσην τρόπιν	A se factam ratem, in carina media
Εἰκαῖα γόμφοις περιστεργανωμένην·	Temere clavis devinctam:
Ἧς, οἷα τυτθὸν, Ἀμφίβαιος ἐκβράσας,	Ex qua illum Neptunus ejiciens,
Τῆς κηρύλου δάμαρτος ἄπτιλον σπόρον,	Tanquam parvum halcedinis implumem partum,
Αὐταῖς μεσόδμαις, καὶ σὺν ἰκρίοις βαλεῖ	Cum antemnis, & medianis jaciet
Πρὸς κῦμα [f] δύπτην ἐμπεπλεγμένον κάλοις.	In mare urinatorem rudentibus innexum.
Πόντου δ' ἄϋπνος ἐνσαρούμενος μυχοῖς,	In marinis autem specubus jactatus insomnis,
Ἀστῷ σύνοικος [g] Θρηκίας [h] Ἀνθηδόνος	Anthedonis Thressæ civi contubernalis
Ἔσται, παρ' ἄλλου δ' ἄλλος, ὡς πεύκης [i] κλάδον	Erit, alio post alium, ceu pinûs corticem,

VARIANTES LECTIONES.

a Τοῦ Bar. aliique. b Al. αὐτοκάβδαλον. al. αὐτοκάνδαλον. c Τλάσει Seld. aliique. d Al. κυβερνήτης. e Al. ἐς. f Δύπτην Bar. ubi tamen τ manus aliqua recentior superscripsit. g Θρῃκίας al. h Post Ἀνθηδόνος periodum faciunt Impress. nonnullæ, & Seld. i Κλάδος rescribendum putavit Joseph. Scaliger.

744. Βαιὸν δὲ τερφθείς.] πῶς φησὶ βαιόν; ἑπτὰ γὰρ ἔτη ἐποίησεν Ὀδυσσεὺς παρὰ τῇ Καλυψοῖ. ῥητέον οὖν, ὅτι βαιὸν εἶπεν, ὡς πρὸς τὴν βούλησιν ἐκείνης, καὶ ἓξ γὰρ ἔτη ὀλίγα ἂν ἐλογίσθησαν [1] ἐκείνῃ· αὕτη γὰρ διόλου ἤθελησεν συμμεῖναι αὐτὸν αὐτῇ, καὶ [2] ἀγήραον θήσειν καὶ ἀθάνατον ἤματα πάντα.

745. Ἀναυλόχητον.] τὴν μακρὰν λέγει ναῦν, καθὸ ὑπὸ ναυτῶν οὐκ ᾐκεῖτο· οὐ γὰρ ἦν ναῦς, ἀλλὰ σχεδία, ἤτοι αὐτοσχέδιον πλοῖον, οὐδὲ τῶν ἐν ὅρμῳ καὶ λιμένι καταλεγομένων. ναυλόχους γὰρ ἔλεγον τοὺς λιμένας, τοὺς τὰς ναῦς [3] ὑποδεχομένους, ἢ τοὺς τὰς ναῦς λοχοῦντας. Αὐτοκαύδαλον.] αὐτοσχέδιον, τὸ εἰκῇ καὶ ὡς ἔτυχε γεγονός. εἴρηται δὲ ἡ λέξις ἀπὸ τῶν ἀλφίτων· αὐτοκαύδαλα γὰρ λέγεται κυρίως, τὰ ὡς ἔτυχε φυραθέντα ἄλευρα.

747. Αὐτεργότευκτον βάριν.] αὐτοσχέδιον πλοῖον. βάρις δὲ νῦν μὲν τὸ πλοῖον σημαίνει, σημαίνει δὲ καὶ θρόνους, πύργους, αὐλάς, στοάς, καὶ τοίχους.

748. Περιστεργανωμένην.] συμπεπλεγμένην. ὁ γὰρ παρ' ἡμῖν σαργάνη, ἤτοι τὸ πυξίδιον, παρὰ Ἀττικοῖς ταργάνη λέγεται· καὶ τὸ συμπλέκω, ταργανίζω.

749. * Ἀμφίβαιος.] ὁ Ποσειδῶν, παρὰ Κυρηναίοις. *

750, 751. Κήρυλος.] ὁ ἄρσην ἀλκυών· δάμαρ δὲ τούτου, ἡ θήλεια αὐτοῦ. [4] Ἄπτιλον δὲ νῦν σπόρον, ὁ ἄπτερος νεογνός· εἴωθε γὰρ ὁ κλύδων τοὺς τῶν ἀλκυόνων νεοσσοὺς διαφθείρειν, διὸ φασὶν ὅτι ἑπτὰ ἡμέραις γαληνιᾷ ἡ θάλασσα, ἡνίκα ᾠοτοκοῦσι, διὸ καλοῦνται αἱ ἡμέραι αὗται, ἀλκυονίδες. Ἡ δὲ σύνταξις οὕτως· Ἀφ' ἧστινος σχεδίας ὁ Ἀμφίβαιος καὶ Ποσειδῶν ἐκβράσας τὸν Ὀδυσσέα, οἷα τυτθὸν ἄπτιλον σπόρον, ἤτοι μικρὸν ἄπτερον νεοσσὸν τῆς δάμαρτος καὶ τῆς [5] θηλείας τῆς κηρύλου καὶ ἄρσενος ἀλκυόνος, βαλεῖ πρὸς τὸ κῦμα τὸν δύπτην, ἤτοι αὐτὸν τὸν κολυμβητὴν Ὀδυσσέα ἐμπεπλεγμένον κάλοις, βαλεῖ δὲ σὺν αὐταῖς ταῖς μεσόδμαις, καὶ τοῖς [6] ἰκρίοις. Ἢ οὕτως· Ὡς ἡ θάλασσα εἴωθε τοὺς τῶν ἀλκυόνων νεοττοὺς ἐκταράττειν, οὕτω καὶ ὁ Ποσειδῶν τὸν Ὀδυσσέα. Μεσόδμαι, λέγονται τὰ μέσα ξύλα τῆς σχεδίας καὶ τοῦ πλοίου. Ἰκρία δὲ, τὰ ὀρθὰ, καὶ τὰ καταστρώματα.

754. Ἀστῷ [7] σύνοικος.] Γλαῦκος ὁ Ἀνθηδόνιος ἦν ἁλιεὺς, ἐμμανὴς δὲ γενόμενος, ἥλατο εἰς τὴν θάλασσαν. ἰχθὺν γὰρ ἁλιεύσας, καὶ ῥίψας νεκρὸν εἰς γῆν, εἶδε προσεγγίσαντα βοτάνῃ καὶ ἀναζήσαντα. φαγὼν δὲ καὶ αὐτὸς, γέγονεν ἀθάνατος, ἀλλ' οὐκ ἀγήρως, καὶ ἥλατο, ὥσπερ ἔφην, εἰς θάλασσαν. Μαρτυρεῖται δὲ ὡς ὁ παρ' Ὁμήρῳ Πρωτεὺς, καὶ παρὰ Πινδάρῳ Τρίτων τοῖς Ἀργοναύταις· τὴν δὲ βοτάνην, ἣν ἐγεύσατο, φασί τινες ἀείζωον εἶναι. ἡ δὲ Ἀνθηδὼν, πόλις Βοιωτίας, ἣν ᾤκησαν Θρᾷκες. ὁ δὲ [8] Ἰάσιππος καὶ τὴν νῦν λεγομένην Ἀγεσσηπόλιν, Ἀνθηδόνα φησὶ πρότερον καλεῖσθαι. Σύνοικον δὲ τῷ Γλαύκῳ λέγουσι γενέσθαι τὸν Ὀδυσσέα, διὰ τὸ ἐρρῖφθαι ὑπὸ τῆς σχεδίας εἰς τὴν θάλασσαν, ὥσπερ ἐκεῖνος ἀπὸ τῆς γῆς ἥλατο, φαγὼν τὴν βοτάνην. Παρ' ἄλλου δ' ἄλλος.] Λεωνίδης ἐν τῷ περὶ Ἰταλίας φησὶν ὄρος εἶναι, ἐν ᾧ πεῦκαι γίνονται ἀφαρμαγίλεις, ἐκ δὲ τούτων γίνονται τοὺς φελλοὺς, οἷς χρῶνται πρὸς κουφισμὸν τῶν δικτύων [9] οἱ ἁλιεῖς. Θεόφραστος δὲ πεύκης κλάδον εἴρηκε τὸν φελλόν. Ὅμηρος δὲ ὁ φελλὸν καλεῖ, ἀλλὰ φελλίον, τὸ δένδρον, καὶ τὸν φελλόν. Ἡ δὲ σύνταξις οὕτως· Παρ' ἄλλου δ' ἄλλος δύτης καὶ ἄνεμος ἐνθρώσκων ἐμπίπτων ἐν πνοαῖς, στρέφεται καὶ κινεῖται τὸν Ὀδυσσέα, ὡς πεύκης κλάδον, ἤτοι φελλόν. τὸ δὲ σχῆμα ἐστὶν ἑρμηνευτικόν.

EMENDATIONES.

1 Ἐκείνῃ pro ἐκείνου, quod habebant Impress. αὐτῇ Seld. 2 Ἀγήραον θήσειν καὶ ἀθάνατον ἤματα πάντα, pro ἀγήραον θήσειν καὶ ἀθάνατον τῷ μετὰ πάντα: nam respexit Scholiastes ad Homeri Odyss. ε΄. v. cxxxvi. ubi Calypso de Ulysse hæc ait,

Τὸν μὲν ἐγὼ φίλεόν τε, καὶ ἔτρεφον, ἠδὲ ἔφασκον
Θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.

ἤματα πάντα etiam habet Seld. 3 Ὑποδεχομένους, pro ὑποδεδεγμένους. * Hæc deprompsi ex Bar. & Grav. 4 Ἄπτιλον δὲ νῦν σπόρον, ὁ ἄπτερος, pro ἄπτερα οὐδὲ σπόρον.] ὁ ἄπτερος. ex MSS omnibus. 5 Θηλείας, pro θήλεος, ex MSS. omnibus. 6 Ἰκρίοις pro ἱερίοις, ex MSS. utroque. 7 Σύνοικος, pro σύνοικα ex MSS. utroque. & ipsius Lycophronis textu. 8 Ἰάσιππος, pro Ἰάσιπος, ex MSS. utroque. 9 Οἱ ἁλιεῖς reposui, pro φασὶ, ex Seld.

757. Μέλει

Βύκτης [a] στροβήσει, φελλὸν [b] ἐνθρώσκων πνοαῖς.	Suber, vento jactante, insultante flatibus.
Μόλις δὲ Βυνῆς ἐκ παλιρροίας κακῆς	Vix tandem Leucotheæ ex refluvio gravi
Ἄμπυξ σαώσει, στέρνα [c] δεδρυφαγμένον,	Reticulum servabit, pectora munitum,
Καὶ χεῖρας ἄκρας, αἷς [d] κρεαγρέπτους πέτρας	Manusque extremas, quibus carniscribas scopulos
Μάρπτων, ἁλιβρώτοισιν αἱμαχθήσεται	Apprehendens, ab exesis cruentabitur
[e] Στόρθυγξι· νῆσον δ' εἰς Κρόνῳ συγγεμένην	Cacuminibus: tum in Insulam Saturno invisam
Ἅρπην περάσας, μεζέων κρεανόμον,	Drepanum trajiciens, testiculorum laniatricem,
Ἄχλαινος ἵκτης, πημάτων λυγρῶν κόπις,	Supplex nudus, ærumnarum tristium narrator,
Τὸν μυθοπλάστην ἐξυλακτήσει γόον,	Fabulosum recensebit luctum,
Ἀρὰς τελικὼς τοῦ τυφλωθέντος δάκοις.	Imprecationibus absolutis excæcati Monstri.
Οὔπω μάλ', οὔπω, μὴ [f] τόσος δ' ὕπνος λάβοι	Nondum sanè, nondum, nec talis capiat oblivionis
Λήθης [f] Μέλανθον ἐγκλιθένθ' [g] Ἱππηγέτην·	Somnus Melanthum Equestrem inclinatum:
Ἥξει γὰρ, ἥξει ναύλοχον Ῥείθρου σκέπας,	Veniet enim, veniet ad navalem Rithri portum,
Καὶ Νηρίτου πρηῶνας· ὄψεται δὲ πᾶν	Et Neriti cacumina: videbitque totam

VARIANTES LECTIONES

a Στρεβώσει Bar. b Ἐκθρώσκων Seld. c Al. δεδρυφαγμένα. d Κρεαγρέπτους MSS. uterque, & alii. κρεαγρέπτας al. e Στόρθυγξι Bar. aliique. στόρυγξι al. f Τόσον δ' al. τοῖο δ' Bar. g Al. Μιλάνθον. al. Μέλανθον. al. Μίλανθον. h Ἱππηγέτη Seld.

757. Μόλις δὲ Βυνῆς.] τὸ ἑξῆς· Βυνῆς καὶ τῆς Ἰνοῦς, τῆς καὶ Λευκοθέας, ὁ ἄμπυξ σώσει· ἔστι δὲ κεφαλοδέσμιον γυναικεῖον, ὡς καὶ Ὅμηρος,

Ἄμπυκα, κεκρύφαλόν τε, ἰδὲ πλεκτὴν ἀναδέσμην.

Μόλις δὲ Βυνῆς.] ὁ Ἑρμῆς ἐστάλη παρὰ τοῦ Διὸς εἰς Καλυψώ, ὅπως αὐτὴν πείσῃ ἐκπέμψαι τὸν Ὀδυσσέα ἐπὶ τὸν οἶκον αὐτοῦ, ὁ δὲ πρῶτον τοῦ Ὀδυσσέως προστάξει κατασκευάσαι σχεδίαν, ἔπειτα δὲ αὐτὸν ἐκπέμπει μετὰ ἐσθήτων, καὶ ἄλλων πολλῶν [t] κειμηλίων· ιζ' μὲν ἤματα πλέων, τῇ ιη' δὲ προσήγγισε τῇ τῶν Φαιάκων γῇ· ὁ δὲ Ποσειδῶν αὐτὸν θεασάμενος, παντοίας ἀνέμων θυέλλας ἤγαγε, διὸ καὶ τὴν σχεδίαν αὐτοῦ μακρὰν ἤγαγε, καὶ ἀπέῤῥιψε, κατεάξας αὐτήν· ἡ Λευκοθέα δὲ δίδωσι τὸ αὐτῆς κρήδεμνον, αὐτὸν διεσώσατο.

758. Δεδρυφαγμένον.] ἐντετυλιγμένον, ἠσφαλισμένον.

759. Κρεαγρέπτους.] τὰς κρεαγρεπτούσας, τραχείας· τὸ δὲ παθητικὸν ἀντὶ ἐνεργητικοῦ εἶπε κατὰ διάλεκτον Ἀττικήν· οὗτοι γὰρ τὰ παθητικὰ ἐνεργητικῶς λέγουσι· καὶ ἔστιν ἡ εὐθεῖα ὁ κρεάγρεπτος.

761. Στόρθυγξι.] ταῖς ἐξοχαῖς καὶ ὀξύτησι· πᾶν γὰρ τὸ εἰς ὀξὺ λῆγον, στόρθυγξ καλεῖται.

762. Ἅρπην περάσας.] τὴν Φαιακίαν νῆσον, τὴν Κέρκυραν, ἐν ᾗ ἐστὶ κεκρυμμένον τὸ δρέπανον, ἐν ᾧ ὁ Ζεὺς Κρόνον ἐξέτεμεν· ἢ ὅτι ἐκεῖ ἔκειτο τὸ δρέπανον, ὃ Δημήτηρ ἔλαβε παρ' Ἡφαίστου τέμνειν τοὺς στάχυς. καὶ οὕτω μὲν ἡ Κέρκυρα, Δρέπανον λέγεται· ἔστι δὲ Σικελικὸν χωρίον Δρέπανον καλούμενον, ὑπὸ τοῦ κεκρύφθαι ἐκεῖ τὸ δρέπανον, μεθ' οὗ Κρόνος ἀπέτεμε Οὐρανοῦ τὰ αἰδοῖα.

763. Κόπις.] ὁ ῥήτωρ, καὶ ἑρμηνεὺς, ὁ ὑπὸ πολλῶν πραγμάτων κεκομμένος· γίνεται δὲ ἐκ τοῦ κόπτω, κόπις.

764. Τὸν μυθοπλάστην.] τὴν μυθώδη αὐτοῦ συμφορὰν φλυαρήσει πρὸς τὸν Ἀλκίνοον, τὸν τῶν Φαιάκων, ἤτοι Κερκυραίων, βασιλέα.

765. Ἀρὰς τελικάς.] ἀποδοὺς τὰς κατάρας τοῦ τυφλωθέντος θηρός. λέγει δὲ τοῦ Κύκλωπος, ηὔξατο γὰρ ὁ Κύκλωψ τῷ πατρὶ αὐτοῦ Ποσειδῶνι, ἵνα οὕτως τιμωρηθῇ ὁ Ὀδυσσεύς. Συντακτέον δὲ οὕτως· Αἷς κρεαγρέπτους πέτρας μάρπτων, ἁλιβρώτοισιν αἱμαχθήσεται στόρθυγξιν, ἀρὰς τελικὰς καὶ ἀποδοὺς τοῦ τυφλωθέντος δάκους, εἶτα τὰ λοιπά· νῆσον δ' εἰς Κρόνῳ συγγεμένην τοιάνδε, καὶ τοιάνδε * περάσας, * τὸν μυθοπλάστην ἐξυλακτήσει γόον.

566, 767. Οὔπω μάλ' οὔπω.] οὐ μέχρι τότε τιμωρηθήσεται ὁ Ὀδυσσεὺς, μὴ τοσόνδε καὶ τοσοῦτος, οὐ μὴ τοσόνδε καὶ τοσοῦτον, ὕπνος λαθαῖος λάβῃ τὸν Ποσειδῶνα, ἤτοι μὴ γένοιτο ἐπιλήσμων τοῦ Ὀδυσσέως. εἶπον καὶ ἀνωτέρω. *Μέλανθος, ὁ Ποσειδῶν δὲ παρ' Ἀθηναίοις.* [a] Ἱππηγέτης δὲ, ὁ αὐτὸς παρὰ Δηλίοις, μιγεὶς γὰρ τῇ Ἐριννύϊ Δήμητρι, Ἀρείονα ἵππον ἐγέννησεν. Ἄλλοι δέ φασιν, ὅτι καὶ περὶ τὰς πέτρας τὰς ἐν Ἀθήναις Κολωνοῦ καθευδήσας, ἀπεσπέρμηνε, καὶ ἵππος Σκύφιος ἐξῆλθεν, ὁ καὶ Σκυφωνίτης λεγόμενος.

768, 769. Ναύλοχον σκέπας.] τὸν γαλήνιον τόπον τῆς

EMENDATIONES.

t Κειμηλίων, pro καμήλων, ex conjectura Nic. Gerbelii, quam confirmat Seld. Quid enim Ulyssi, aut Calypsoni cum camelis? a Quatuor hic lineas delevi, quæ eadem prorsus erant cum quatuor sequentibus de Neptuno & Cerere, nisi quod hæ Σκύφιον vocant, quem superiores, & MSS. uterque, nosque illorum auctoritate ducti, Σκύφιον dicimus. Item Σκιρφωνίτης habebant, pro Σκυφωνίτης. Omissorum loco addo, quæ stellis inclusa sunt, ex Grav.

λιμένα

Μέλαθρον ἄρδην ἐκ [a] βάθρων ἀνάστατον	Domum penitus à fundamentis everſam
Μύκλοις γυναικόκλωπας· ἡ δὲ [b] βασσάρα	Scortatoribus adulteris: quando Meretrix
Σεμνῶς [c] κασωρεύουσα [d] κοιλανεῖ δόμους,	Honeſtè ſcortans ædes excavabit,
Θοίναισιν ὄλβον ἐκχέασα τλήμονος.	Epulis effundens miſeri divitias.
Αὐτὸς δ' [e] πλείους τῶν ἐπὶ Σκαιαῖς πόνους	At ipſe plures ad Scæas exhauſtis ærumnas
Ἰδὼν μολοβρὸς, τλήσεται μὲν οἰκετῶν	Intuitus mendicus, ſuſtinebit quidem famulorum
Στυγνὰς ἀπειλὰς ἀλόφῳ νώτῳ φέρειν,	Triſtes minas muſculoſo ferre dorſo,
Δέννοις κολασθείς· τλήσεται δὲ καὶ χερῶν	Conviciis punitus: ſuſtinebit etiam pugnorum
Πληγαῖς ὑπείκειν, καὶ βολαῖσιν ὀστράκων·	Ictibus, ac teſtarum cedere jactibus:
Οὐ γὰρ ξέναι μάστιγες, ἀλλὰ δαψιλὴς	Nec enim inſueta flagella, ſed amplum
Σφραγὶς μενεῖ Θόαντος ἐν πλευραῖς ἔτι,	Thoantis ſigillum manebit etiam in lateribus,

VARIANTES LECTIONES.

a Βάθρων *Seld.* b Βασάρα *Seld.* κασσάρα *Bar.* eandemque lectionem in *Scholiis* retinet. κάσσαρα al. c Κασωρεύουσα *Etymolog.* & *Bar.* qui in *Scholiis* etiam eandem lectionem habet. d Hunc locum *Etymologographus* ſic diſtinguendo variavit.
——— κοιλανεῖ δόμους
Θοίναισιν, ὄλβον ἐκχέασα ———
e Πλέω al. & *Bar.* qui id etiam habet in *Scholiis.* Πλέος al.

λιμένος τῆς Ἰθάκης, ὃς καὶ Ῥεῖθρον καλεῖται. Ναύλοχον δὲ, ἐν ᾧ αἱ νῆες [1] λοχῶσι καὶ ἵστανται. Ἀντὶ δὲ τοῦ εἰπεῖν, ἥξει εἰς Ἰθάκην, περιφραστικῶς εἶπεν, ἥξει εἰς τὸν λιμένα τῆς Ἰθάκης, καὶ εἰς τοὺς ... καὶ τὰς ἐξοχὰς τοῦ Νηρίτου· τὸ δὲ Νήριτον, ὄρος Ἰθάκης.

771. Μύκλοις γυναικόκλωπας] μύκλος καλεῖται, ὁ ἐν τῷ τραχήλῳ τοῦ ὄνου καὶ τῶν βοῶν ὑποδίπλωσις· μύκλους δὲ, νῦν τοὺς μνηστῆρας λέγει, διὰ τὸ ἀσελγές, καὶ καταφερεῖς εἰς λαγνείαν, ὡς καὶ Καλλίμαχος,

Ἔστιν μοι [2] Μάγνης ἐννεάμυκλος ὄνος.

καὶ Μύκλος δέ τις γέγονεν αὐλητής, καταφερὴς εἰς γυναῖκας, κωμῳδηθεὶς ἐπὶ μαχλότητι ὑπ' [3] Ἀρχιλόχου, εἴρηνται οὖν ἀπ' ἐκείνου. Κασσάρα καὶ βασσάρα, ὁ λαὸς, καὶ τὸ [4] ὕδνον, καὶ εἶδος ἀλώπεκος, καὶ ὁ Βάκχος. νῦν δὲ ἡ πόρνη, ἡ βασσάρα. λέγει δὲ τὴν Πηνελόπην.

772. Κασωρεύουσα.] ἀντὶ τοῦ πορνεύουσα. Δοῦρις γὰρ ὁ Σάμιος ἐν τῷ περὶ Ἀγαθοκλέους, φησὶ τὴν Πηνελόπην συγγενέσθαι πᾶσι τοῖς μνηστῆρσι, καὶ γεννῆσαι τὸν Πᾶνα. φλυαρεῖ δὲ περὶ τοῦ Πανὸς, [5] ὁ Πὰν γὰρ Ἑρμοῦ καὶ Πηνελόπης ἄλλως, καὶ ἕτερος δὲ Πὰν Διὸς καὶ Ὕβρεως.

774. Αὐτὸς δὲ πλείω τῶν ἐπὶ Σκαιαῖς.] Σκαιαὶ, πύλαι εἰσὶ Τροίας, περὶ ἃς μέγας πόλεμος συνέστη περὶ τοῦ σώματος τοῦ Ἀχιλλέως, ὡς καὶ Ὅμηρος ὡς ὑπὸ Ὀδυσσέως φησὶν,

——— ὁππότε μοι πλεῖστοι χαλκήρεα δοῦρα
Τρῶες ἐπέῤῥιψαν περὶ Πηλείωνι θανόντι.

775, 776. Μολοβρός.] ἀρτοζήτης, ἀπὸ τοῦ μολεῖν καὶ περιζητεῖν περὶ βορὰν καὶ τροφήν· ὁ γὰρ Ὀδυσσεὺς ἐπελθὼν εἰς Ἰθάκην, ὑπεκρίνατο πτωχὸν, ὅπως μὴ γνωσθεὶς δόλῳ ἀνέλῃ τοὺς μνηστῆρας· Μελάνθιος δὲ, ὁ τότε αἰπόλος, συναντήσας αὐτῷ συνεπομένῳ τῷ Εὐμαίῳ συφορβῷ, φησὶ πρὸς τὸν Εὔμαιον,

[6] Πῇ δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα;

καὶ ἅμα κολαφίζει, καὶ τραχηλίζει αὐτόν. Γελοῖον δὲ τοῦτο, καὶ κακόζηλον ὑπάρχει τὸ τοῦ Λυκόφρονος ῥητὸν, τὸ

Στυγνὰς ἀπειλὰς ἀλόφῳ νώτῳ φέρειν·

καθ' ἕνα μὲν τρόπον, ὅτι οὐκ ἀπειλὰς, ἀλλὰ πληγὰς ἔλαβεν ἐν τῷ νώτῳ. δεύτερον δὲ, λόφος λέγεται ὁ τράχηλος, καὶ ὁ κεφαλῆς ... δὲ ἄλοφον πῶς φησὶ τὴν ῥάχιν; τρίτον δὲ, ὅτι οὐδὲ ἐν τῷ νώτῳ, ἤτοι τῇ ῥάχει, ἐδέξατο παρὰ Μελανθίου τὰς πληγὰς, ἀλλ' ἐν τῷ τραχήλῳ καὶ τῇ πυγῇ.

777. Δέννοις κολασθείς.] λοιδορίαις καὶ ὕβρεσι κολασθεὶς διὰ τὸν Ἀντίνοον, καὶ Εὐρύμαχον, καὶ Κτήσιππον φησὶν [7] ὑβρίσαντας αὐτόν.

778. Πληγαῖς ὑπείκειν, καὶ βολαῖσιν ὀστράκων.] παρ' Αἰσχύλῳ φαίνεταί τις τὸν Ὀδυσσέα τύψας ὀστράκῳ, οὐ μὴν παρ' Ὁμήρῳ· * παρ' Ὁμήρῳ * γὰρ φέρεται ὁ Ὀδυσσεὺς βοὸς ποδὶ πληγεὶς ὑπὸ Κτησίππου, ὑποποδίῳ δὲ κατ' ὦμον ὑπ' Ἀντινόου.

779. Σφραγὶς μενεῖ Θόαντος.] ὁ Ὀδυσσεὺς βουλόμενος κατάσκοπος εἰσελθεῖν εἰς τὸν Ἴλιον, καὶ φοβούμενος μὴ νοηθεὶς ἀποθάνῃ, ἔπεισε Θόαντα, τὸν υἱὸν Ἀνδραίμονος, μαστίξαι βιαίως αὐτὸν, ὡς καὶ Ὅμηρός φησιν,

Αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας.

Φησὶν οὖν, ὅτι οὐκ ἀήθεις τῷ Ὀδυσσεῖ αἱ μάστιγες καὶ πληγαὶ, ὅτι δὲ τὸ ἐγχάραγμα τῶν γεγονυιῶν αὐτῷ πληγῶν ὑπὸ τοῦ Θόαντος ... , καὶ [8] ἔστιν ἐν ταῖς αὐτοῦ πλευραῖς, λύγοις καὶ ῥάβδοις πιεσθεῖσι καὶ πυκνωθεῖσι κοιλάνας, νῦν δὲ ἐγχαραχθεῖσα.

EMENDATIONES.

[*] 1 Λοχῶσι, pro λοχᾶσι. ex *Bar* & *Grav.* 2 Μάγνης *Grav.* & *Bar.* Verum Etymologici Auctor retinet Μάγνης in v. μύκλος. Dicitur autem *Magneſius aſinus*, quia Magneſia ut equis, ita aſinis etiam celebris erat. 3 Ἀρχιλόχου, pro Ἀρχιλόχ. ex *MSS.* omnibus Ἀρχιλόχῳ repoſuerat *Gerbelius. Quis enim (inquit) Archilochus Poeta fuerit, nondum comperi; neque illius meminit* Lilius *in Hiſtoria Poetarum, homo diligentiſſimus.* 4 Ὕδνον *Bar* & *Grav.* utraque lectio æque ferri poteſt. 5 Sic lego hunc locum ex fide *MSS.* omnium. Ὁ Πὰν γὰρ Ἑρμοῦ καὶ Πηνελόπης, ἄλλως &c *Impreſſ.* 6 Verſum hunc emendavi ex *Homeri* Odyſſ ρ'. v ccxix. Πῇ δὲ τὸν μολοβρὸν ἄγεις *Impreſſ.* nec minus corrupti ſunt *MSS.* Codd. 7 Ὑβρίσαντας αὐτὸν αὐτοὶ *Impreſſ.* Ego αὐτοὺς delevi ex fide *Bar.* & *Grav.* * Hoc adjeci ex *Bar.* & *Grav.* ſine quo mutila eſſet ſententia 8 Ἔστιν, pro ἔστι, ex *MSS* omnibus

O 781. * O

Λύγοισι πεπεδηθεῖσα, τὰς ὁ λυμεὼν	Viminibus impressum, quæ perniciosus
[a] Ἐγκολάψειν ἀστένακτος αἰνέσει,	Insculpi laudabit hilaris,
Ἑκοῦσαν ὁμόργγα προσμάσσων δομῇ,	Voluntarias atterens corpori vibices,
Ὅπως [b] παλεύσῃ δυσμενεῖς, [c] κατασκόποις	Ut hostes decipiat, speculatoriis
Λώβαισι καὶ κλαυθμοῖσι φηλώσας πρόμον·	Damnis, & fletibus regem ludificando:
Ὃν [d] Βομβυλίας κλιτὺς ἡ Τεμμικία	Quem Bombylium promontorium Temmicium
Ὕψιστον ἡμῖν πῆμ' ἐτέκνωσέ ποτε,	Maximum nobis damnum olim genuit,
Μόνος πρὸς οἴκους ναυτίλων σωθεὶς τάλας.	Solum nautarum ad ædes salvum delatum.
Λοῖσθον δὲ, [e] καύηξ ὥστε κυμάτων δρομεὺς,	Tandem, sicut larus ambulator fluctuum,
Ὡς κόγχος ἄλμῃ πάντοθεν [f] περιτριβεὶς,	Et concha mari undique circumtrita,
Κτῆσίν τε θοίναις Πρωνίων λαφυσίαν	Fortunasque Proniorum epulis devoratas
[g] Πρὸς τῆς Λακαίνης αἰνοβακχεύτου [h] κιχών,	A Lacæna graviter bacchante offendens,

VARIANTES LECTIONES.

a Al. ἐγκολάπτειν. b Παλαίσῃ Bar. aliique. φαλώσῃ Sold. aliique. c Al. καλασκόποις. d Βομβυλίας Bar. Βαμβυλίας. al. Βορβυλίας al. & Sold. in quo tamen isti diphthongu superscripta est , eadem, ut videtur. manu. e Al. κύηξ. f Al. περιτριβείς. Codex Sold. habet quidem περιτριβεὶς, sed istis , & , eadem manus a superscripsit, ut videatur aliquis legisse περιτριβεῖς. g Περ Sold. h Κιχὼν Sold.

781. *Ο λυμεὼν] ὁ Ὀδυσσεὺς, τῶν Τρώων ὁ λυμεών.*

783. Δομῇ.] τῷ σώματι· τὸ δὲ σχῆμα μεταπλασμὸς, ἀπὸ οὐδετέρου εἰς θηλυκὸν, ἀπὸ γὰρ τοῦ δέμας μεταπλάσας, εἶπεν ἡ δομή. * Φασὶν ὁ τὴν μικρὰν Ἰλιάδα γράψας, τὸν Ὀδυσσέα τραυματισθῆναι ὑπὸ Θόαντος ὅτε εἰς Τροίαν ἀνήρχοντο δυσμενεῖς.*

784. Παλεύσῃ.] ἀπατήσῃ τοὺς δυσμενεῖς, ἤτοι τοὺς Τρῶας, τῷ κατασκοπεύσειν· παλεύτριαι δὲ λέγονται αἱ πλάναι, καὶ οἷον εἰπεῖν, ἀνδραποδίστριαι περιστεραί.

785. Φηλώσας.] ἀπατήσας τὸν βασιλέα Πρίαμον ἐν κλαυθμοῖς καὶ γόοις, ὡς δεινὰ καὶ ἀνάξια παθὼν ὑπὸ Αγαμέμνονος διὰ τὰς πληγάς. Τὸ φηλώσας, ἀπὸ τοῦ φηλῶ. τὸ φηλῶ καὶ φηλῶ, τὸ ἀπατῶ, ἀπὸ τῶν φηλήκων· ὅτι τὰ ἄγρια σῦκα, ἐλέχθη· ἄπεπτα ὠμὰ καὶ ἄχρηστα ὄντα, τῇ ἰδέᾳ πέπειρα φαίνονται.

786. Βομβυλίας.] [1] Βομβυλιὸς ἐστι ζωΰφιον ὅμοιον μελίσσῃ, μέλαν δὲ τῇ χροιᾷ, ἐκ πηλοῦ κηροπλαστοῦν· λέγεται δὲ βομβυλιὸς, παρὰ τὸ βομβεῖν, ὥσπερ καὶ τὸ πνεύμονον [2] κυβύβιον, [3] καὶ ἡ ῥόμβα, ἡ στρόμβα, βομβυλιὸς, καὶ [4] βέμβιξ καλεῖται. Βομβυλία, καὶ Βομβύλειον, πόλις, καὶ ὄρος Βοιωτίας, ὅπερ νῦν [5] λέγε[ται]. γράφεται δὲ [6] διὰ τοῦ [7] ἰῶτα· εἰ δὲ ἐστὶν ἡ Βομβυλεία [6] κλιτὺς καὶ ἀκρώρεια, ὡς κτητικὸν δὲ, τότε [7] διὰ διφθόγγου γράφονται [8] Βομβυλίας δὲ καὶ διὰ τοῦ ι, καὶ διὰ διφθόγγου γράφεται.[9] ἡ Βομβυλία, τῆς Βομβυλίας, ἰῶτα· ἡ Βομβύλεια δὲ, τῆς Βομβυλείας, διφθόγγου· τιμᾶται δὲ ἐκεῖ καὶ Ἀθηνᾶ Βομβυλεία. Καὶ ὁ Τεμμικία δὲ, ὄρος ὁμοίως Βοιωτίας. Λέγει [8] οὖν, Ὅντινα ἡμῖν ἡ Βοιωτία μέγα κακὸν ἀνέθρεψε, λέγει δὲ τὸν Ὀδυσσέα· ἐν γὰρ Βοιωτίᾳ φασὶ τὴν Ἀντίκλειαν, τὴν Αὐτολύκου θυγατέρα, γεννῆσαι τὸν Ὀδυσσέα· Σειληνὸς δὲ ὁ Χῖος ἐν δευτέρῳ μυθικῶν ἱστοριῶν. (διὸ δὲ γέγραπται βιβλία)

φασὶν Ἀντίκλειαν, τὴν Ὀδυσσέως μητέρα, ἐγκύμονα ἀπολειφθεῖσαν τὸ Νήριτον, τῆς Ἰθάκης ὄρος, ὑσμένου πολὺ τοῦ Διὸς, ὑπ' ἀγωνίας καὶ φόβου καταπεσοῦσαν, τεκεῖν Ὀδυσσέα, ὅθεν ἄρα καὶ Ὀδυσσεὺς ἐκλήθη· ἀλλὰ περὶ τῆς κλήσεως Ὀδυσσέως ψεύδεται, Ὅμηρος γὰρ ἐν Ὀδυσσείᾳ παρεισάγει τὸν Ὀδυσσέως πάππον Αὐτόλυκον [9] λέγοντα, τὸν παῖδα κληθῆναι Ὀδυσσέα, Πολλοῖς γάρ μοι ὀδύσσατο, ἤτοι ὠργίσθησαν. Ἐπεὶ δὲ τὸν εἴτε ἐν Βοιωτίᾳ, κατὰ Λυκόφρονα, ἐγεννήθη, εἴτε, κατὰ Σειληνὸν, ἐν Ἰθάκῃ, ὡς καὶ Ὅμηρος λέγει,

Ος πάφω ἐν δήμῳ Ἰθάκης, κραναῆς ἐπὶ νήσου,

ὁ βαλλόμενος πολυπράγμονεῖτο.

788. Μόνος πρὸς οἴκους.] ἀπὸ γὰρ τῶν ἀφιστομένων αὐτοῦ δώδεκα πλοίων εἰς τὴν Τροίαν, μόνος ὁ Ὀδυσσεὺς ὑποστρέψων ἐσώθη.

789. Λοῖσθον δὲ, καύηξ.] ὕστερον δὲ, ὡς λάρος κυματοδρόμος, ὡς κόγχος τι περιτριβεὶς πάντοθεν τῇ θαλάσσῃ, τὴν κτῆσίν τε καὶ περιουσίαν αὐτοῦ κιχὼν καὶ καταλαβὼν λαφυσίαν καὶ ἐξαντλουμένην παρὰ τῆς Λακεδαιμονίας, ἤτοι τῆς Πηνελόπης, τῆς κακῶς βακχευθείσης καὶ μανείσης, πρὸς ἔρωτας ἀπολούσης, σύφαρ καὶ γηραιὸς κόραξ θανεῖται σὺν ὅπλοις, ἤτοι [10] πολεμεῖν, πόλεις τοῦ Νηρίτου, τὸ πόντιον σκάπος καὶ τῆς Ἰθάκης φυγών.

791. Θοίναις Πρωνίων.] Θουκυδίδης εἰς τέσσαρα φῦλα διαιρεῖ τὴν Κεφαλληνίαν, Πρωνίους, [11] Σαμαίους, Παλεῖς, καὶ Κρανέους. Πρωνίων δὲ, τῶν μνηστήρων, ἀπὸ ἔθνους.

792. Πρὸς τῆς Λακαίνης.] τῆς Πηνελόπης· Τυνδάρεως καὶ Ἰκάριος ἀδελφοὶ, οὗ Ἰκαρίου καὶ Περιβοίας ἡ ἐχθεῖσα Πηνελόπη· πρότερον γὰρ Ἀρναία λεγομένη, ὕστερον δὲ Πηνελόπη ἐκλήθη, ὅτι ῥιφεῖσα παρὰ τῶν γονέων εἰς θάλασσαν, ὑπὸ πηνελόπων ὀρνέων ἐξηνέχθη εἰς τὴν γῆν, καὶ ἐσώθη, καὶ ὑπὸ τῶν ἰδίων γονέων πάλιν ἀναληφθεῖσα ἐτρέφετο.

EMENDATIONES

* Hoc deprompsi ex Bar. & Grav. * Hoc adjeci ex Sold. 1 Βομβύλιον Bar. & Grav. Βομβύλιος Phavorin. Βομβύλιος posuit Gorlelius, emendatione minus necessaria, cum βομβυλιὸς, & βομβύλιος dicantur. 2 Κυτερύβιον Phavorin. 3 Καὶ ἡ ῥόμβα ἡ σόμβα Phavorin. καὶ ἡ ῥόμβος ἡ στρόμβος Sold. Quid si legas καὶ ὁ ῥόμβος ὁ στρόμβος? certe istæ significationes non sunt alienæ à voce βόμβυξ 4 Βέμβιξ Bar. & Phavorin. 5 Post λέγεται deest aliquod vocabulum * Hoc addo ex Phavorino & Grav. 6 Κλιτὺς, pro κλιτὰς, ex Phavorino. 7 Διὰ διφθόγγου, pro διφθόγγου, ex Phavorin * Hæc cum levi variatione reperiuntur in Phavorino, & MSS omnibus. 8 Post δὲ, delevi ὅτι, ex fide Bar. 9 Λέγοντα, pro λέγοντες, ex Bar & Grav. 10 Πολεμεῖν, pro πολέμων, ex MSS. omnibus. 11 Σαμαίους, (sic etiam Sold. & Grav.) Παλεῖς, καὶ Κρανίους Bar.

793 Σύφαρ]

Σύφαρ θανεῖται πόντιον φυγὼν σκέπας
Κόραξ σὺν ὅπλοις,[a] Νηρίτων δρυμῶν πέλας.
[b] Κτενεῖ δὲ τύψας πλευρὰ [c] λοίγιος [d] στόνυξ,
[e] Κέντρῳ [f] δυσαλθὴς [g] ἔλλοπος [h] Σαρδωνικῆς·
Κέλωρ δὲ παιδὸς ἄρταμος κληθήσεται,
[i] Ἀχιλλέως δάμαρτος [k] αὐτανέψιος·
Μάντιν δὲ νεκρὸν Εὐρυτὰν [l] στέψει λεὼς,

Decrepitus morietur marino elapsus tegmini
Corvus cum armis, Neritios prope saltus.
Occidet autem feriens latera cuspis acerba,
Insanabilis aculeo piscis Sardonici:
Filius verò Patris erit interfector,
Uxoris Achilleæ Consobrinus:
Vaticinans autem cadaver Eurytanus coronabit populus,

VARIANTES LECTIONES.

a Νηρίτων Bar. b Κτενεῖ Schottus. c Λοίγιος Seld. d Στόνυξ Schottus. e Versum hunc sic profert Seld. Κέντρῳ δυσαλθεῖ, ἔλλοπος Σαρδωνικῆς. f Al. δυσαλγής. g Ἔλλοπος cum spiritu aspero Bar. h Σαρδονικῆς al. Σαρδωνικῆς al. i Ἀχιλέως Seld. aliique. k Post αὐτανέψιος interrogationis signum habet Seld. l Al. στέψει.

793. Σύφαρ.] ἡ λιβηρὶς, τὸ τοῦ ὄφεως δέρμα· νῦν δὲ σύφαρ ἀντὶ τοῦ γέροντα εἶπεν, ἀπὸ τοῦ ὀφείου δέρματος· γηράσας γὰρ ὁ ὄφις, καὶ πρὸς ὀπὴν εἰσελθὼν, ἀποδύεται τὸ δέρμα. Πόντιον σκέπας φυγών.] τὸ ἰδάλιον· πόντιον δὲ σκέπας εἶπεν, ὅτι ναυτικὸς, ἢ τὴν ναῦν, ἢ τὴν λαμβίνα· ταῦτα γὰρ † σκέπει καὶ ἀμύνει τὴν θάλασσαν.

794. Κόραξ σὺν ὅπλοις.] κόρακα εἶπε τὸν Ὀδυσσέα, διὰ τὸ πολυχρόνιον· ἑκατὸν γὰρ ὀκτὼ ζῇ γενεὰς, καθ' Ἡσίοδον, ὁ κόραξ. ὑπέργηρως δὲ καὶ Ὀδυσσεὺς ἐτελεύτησεν, ἀναιρεθεὶς ὑπὸ Τηλεγόνου, τοῦ ἐκ Κίρκης αὐτῷ γεννηθέντος υἱοῦ, πολεμηθεὶς ὑπὲρ τῶν ἑαυτοῦ ποιμνίων· μέμνηται δὲ τούτου καὶ Ὀππιανὸς εἰς τὰ περὶ τρυγόνος λέγων οὑτωσί πως,

——— [1] ὁ δ' οὐ μάλα πάντα πέρθων
Παῖδα ἑὸν, γεραρῷ δὲ βοηδρομέοντι τοκῆϊ
Αὐτῷ, τὸν μάσσεν, κακὸν ἀπεσσυμάξατο κῆρα.

Νηρίτων δρυμῶν πέλας.] ἐγγὺς τῶν δρυμῶν τῶν Νηρίτων.

796. Δυσαλθής.] δυσίατος, ἀνίατος γὰρ ἡ πληγὴ τοῦ κέντρου τῆς τρυγόνος. [2] Ἔλλοψ.] τοὺς ἰχθῦς, παρὰ τὸ ἐλλείπεσθαι ὀπὸς καὶ φωνῆς. Σαρδονικῆς.] ὁ Τζέτζης τὸ δο μακρὸν γράφει, καὶ λέγει μακρὸν εἶναι, ὡς ἐκτεινόμενον ὑπὸ τοῦ ῥ ἀμφιλαφῶς· ὁ Σαρδωνικῶς λέγει γράφων· μέγα γὰρ ἐμβαλεῖν τοῦτο δέχεται· οὐδὲ γὰρ τοὺς Ἀττικούς φασι τὰ τοιαῦτα ἐκτείνειν, ἀλλὰ τὰ διὰ τοῦ ωτης, οἷον οἰνοπότης, αἱματοπότης, καὶ τὰ τελευταῖα μέρη τοῦ λόγου, οἷον ἄνω, κάτω, δεῦρο, καὶ ὅσα εἰσὶ τελευταῖα τοῦ ἐκτεινομένου. ἡ δὲ Σαρδὼ, νῆσός ἐστι περὶ τὰς Ἡρακλέους στήλας· ταύτης ἄποικοι καὶ οἱ Καρχηδόνιοι, ἐν ᾗ νήσῳ Σαρδοῖ βοτάνη γίνεται ὁμοία σελίνῳ, ἧς οἱ γευόμενοι, σπασμῷ κατεχόμενοι ἀκουσίως γελῶσι, καὶ οὕτως τελευτῶσι. Τίμαιος δέ φησιν, * ὡς * ἐκεῖ τοὺς ὑπὲρ ο' ἔτη γεγονότας γονεῖς αὐτῶν θύουσι τῷ Κρόνῳ, γελῶντες καὶ τύπτοντες αὐτοὺς τοῖς ξύλοις, καὶ πρὸς ἀχανεῖς κρημνοὺς καταθοῦντες· ὅθεν ὁ Σαρδόνιος γέλως ἐλέχθη. Ἄλλοι δέ φασιν, ὅτι ἐκεῖνοι οἱ θνήσκοντες γέροντες μειδιῶσιν ἀκουσίως πρὸς τὴν * ὑπὸ * τῶν παίδων αὐτῶν ἀφορῶντες ἀπάνθρωπον τελευτήν· ὅθεν ἡ παροιμία ἐλέχθη, Σαρδόνιος γέλως. Ἐκείνης γοῦν τῆς νήσου, τῆς Σαρδοῦς, πλησίον ἐστὶν ἡ Τυρσηνία, ὅπου ἦν ἡ Κίρκη, ἥτις περιέθετο κέντρον [3] τρυγόνος τῷ δόρατι τοῦ παιδὸς αὐτῆς Τηλεγόνου.

797. Ἄρταμος.] σφαγεὺς, αὐθέντης τις ὢν, ὁ ἐν ἄρει καὶ ξίφει τέμνων· [4] ἢ ἄρταμος, ὁ μάγειρος καὶ ἀρταμεὺς, ὅθεν Ἀχιλλέως δάμαρτος· ὅθεν καὶ τὴν Ἄρτεμιν φασίν· ἀπαθὴς γὰρ ἡ παρθένος.

798. Ἀχιλλέως δάμαρτος.] * πρῶτον * δεῖ εἰδέναι ὅτι ὁ Τζέτζης τὸ Ἀχιλεὺς δι' ἑνὸς λ γράφει· φησὶ γὰρ, ἢ ὅτι ἀπὸ τοῦ ἄχος ἐμποιεῖν τοῖς Ἰλιεῦσιν [5] ἐτυμολογεῖται· ἢ παρὰ τὸ ἄχη λύειν, ἰατρὸς γὰρ ἦν· ἢ παρὰ * τὸ * [6] χιλῷ ἄμοιρος εἶναι· ἢ παρὰ τὸ ἄγειν τὸν λαὸν, ὡς στρατηγός· καὶ πάντα δι' ἑνὸς λ [7] γράφειν τοῦτο κελεύει· εἰ δέ τις διὰ δύο λ τοῦτο γράφῃ, κελεύει τοῦτον μὴ [8] κτηνωδῶς οὕτω γράφειν, [9] χωρὶς ἐπιστήμης καὶ εἰδήσεως, λέγειν δὲ τοῦτο, ὅτι Αἰολικόν ἐστιν, οἱ γὰρ Αἰολεῖς διπλασιάζουσι τὰ σύμφωνα. * καὶ ταῦτα μὲν περὶ τοῦ ὅτι δι' ἑνὸς λ χρὴ γράφειν τὸ Ἀχιλεύς. * Ἡ δὲ περὶ τῆς Ἀχιλλέως δάμαρτος, * ἤτοι γυναικὸς, * ἱστορία ἐστὶ τοιαύτη· Ἀχιλλεὺς μετὰ θάνατον, ὡς λέγουσιν, ἔγημε Μήδειαν, τὴν Αἰήτου θυγατέρα. Αἰήτης δὲ, καὶ Κίρκη, καὶ Πασιφάη, Ἡλίου παῖδες καὶ Πέρσης, τῆς Ὠκεανοῦ· καὶ Αἰήτου μὲν παῖδες καὶ Εἰδυίας, Μήδεια, καὶ Ἄψυρτος· Κίρκης δὲ καὶ Ὀδυσσέως, Τηλέγονος, καὶ Κασσιφόνη· Πασιφάης δὲ καὶ Μίνωος, Ἀριάδνη, Φαίδρα, καὶ Γλαῦκος, ὃν οὗτος Γλαύκωνα φησίν· ὥστε Τηλέγονος καὶ Μήδεια εἰσὶν αὐτανέψιοι, οὓς ἡμεῖς [10] λέγομεν ἐξαδέλφους.

799. Μάντιν δὲ νεκρόν.] Ἀριστοτέλης φησὶν ἐν Ἰθακησίων πολιτείᾳ, Εὐρυτᾶνας ἔθνος εἶναι τῆς Αἰτωλίας, ὀνομασθὲν ἀπὸ Εὐρύτου, παρ' οἷς εἶναι μαντεῖον Ὀδυσσέως· τὸ δ' αὐτὸ καὶ Νίκανδρος φησὶν ἐν [11] Αἰτωλικοῖς. Εὐρυτὰν, ὡς τὸ παιάν.

EMENDATIONES.

† Σαρδὼ, quod Lycophronis textui propius est, pro Σαρδὼν, ex Grav. 1 Ita emendavi, & in ordinem digessi hos Oppiani versus, qui corrupti in MSS. occurrebant; in Impressis autem proferebantur sic.

Ὁ δ' οὐ μάλα πέρθων παῖδα πατρὸς ἑὸν
Γεραρῷ δὲ βοηδρομέοντι τοκῆϊ.
Τῷ τὸν μάσσεν κακὸν ἀπεσσυμάξατο κῆρα.

2 Hæc paulo supra occurrebant in Impress. Ego in proprium locum restitui, ope Bar. * Hanc voculam, quæ ad connexionem necessaria fuit, adjeci ex Seld. * Hanc Præpositionem, sine qua vacillat sententia, addo ex Bar. & Grav. ejus loco περὶ habet Seld. 3 Τρυγόνος, pro τρύγονι, ex Seld. & Grav. 4 Confusa hæc, & luxata sunt, & ab omnibus MSS. omissa, usque ad Ἀχιλλέως. * Ex Bar. & Grav. 5 Ἐτυμολογεῖται δὲ οὕτως Impress. Ego δὲ οὕτως delevi, auctoritate MSS. omnium. * Ex MSS omnibus. 6 Χιλῷ, pro χείλους, ex Bar. & Grav. 7 Γράφειν οὕτω κελεύει pro γράφεται, ex Bar. 8 Κτηνωδῶς, pro κτηνωδῶν, ex MSS omnibus. 9 Χωρὶς ἐπιστήμης lego cum omnibus MSS. χωρὶς ἐπιστήμῃ absurde Impress. * Hoc interserui ex Bar. & Grav. * Ex iisdem. 10 Λέγομεν, pro λέγουσι, ex MSS. omnibus. 11 Αἰτωλικοῖς pro Αἰτωλοῖς, ex Bar. & Grav.

Ὅ, τ' αἰπὺ ναίων [a] Τραμπύας [b] ἐδέθλιον,	Quique altas habitat ſedes Trampyæ,
Ἐν ᾗ ποτ' αὖθις [c] Ἡρακλῆ φθίσει δράκων	In qua Herculem quondam Tymphæus perdet
Τυμφαῖος ἐν θοίναισιν, Αἰθίκων πρόμος,	Inter epulas Draco, Æthicum dux,
Τὸν Αἰακοῦ τε κἀπὸ Περσέως σπορᾶς,	Æacidem & Perſidem genere,
Καὶ Τημενείων οὐκ [d] ἄποθεν αἱμάτων.	Nec remotum à Temenica conſanguinitate.
Πέργη δέ μιν θανόντα, Τυρσηνῶν ὄρος,	Perge demum, Tyrrhenus mons, mortuum

VARIANTES LECTIONES.

a Τραμπύας Bar. idque in Scholiis retinet. Τραμπύος habet Seld. Sed iſti υ ſuperpoſita eſt diphthongus ῳ. b ἐδέθλιον cum aſpero Seld. c Ἡρακλῆ Seld. d Ἄποθεν Seld. aliique; in illo autem τῷ ω ſuperſcriptum reperio ο.

800. [1] Τραμπύας.] Τράμπυια, πόλις Ἠπείρου, ἔνθα μετὰ νόστον [2] Ὀδυσσεὺς ἀπῆλθε, καθὰ καὶ Ὅμηρος γράφει,

[3] Εἰσόκε τοὺς ἀφίκηαι, οἳ οὐκ ἴσασι θάλασσαν.

ἐτιμᾶτο δὲ ἐν τῇ Τραμπύῃ Ὀδυσσεύς.

801, 802. Ἐν ᾗ ποτ' αὖθις.] ἐν ᾗτινι Τραμπύῃ ποτὲ αὖθις, ἀντὶ τοῦ δή, (οὐ γὰρ καὶ ἕτερος Ἡρακλῆς ἐκεῖ ἀνῃρέθη) φθίσει καὶ φθερεῖ ἐν [4] θοίναισι καὶ εὐωχίαις ὁ δράκων ὁ Τυμφαῖος καὶ Ἠπειρώτης, ἤτοι ὁ Πολυσπέρχων, ὁ πρόμος καὶ πρόμαχος τῶν Αἰθίκων καὶ Ἠπειρωτῶν τινα φθίσει; τὸν Ἡρακλῆ, τὸν ἀπὸ τῆς σπορᾶς τοῦ Αἰακοῦ καὶ Περσέως, καὶ οὐ πόῤῥω τῶν αἱμάτων τῶν Τημένου. * Ἡ δὲ ἱστορία τοιαύτη· * Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ [5] Βαρσίνης τῆς Περσίδος, υἱὸς ἐγένετο καλούμενος Ἡρακλῆς, ὃν ἀνεῖλε καλέσας εἰς δεῖπνον Πολυσπέρχων ὁ Τυμφαῖος, Αἰθίκων βασιλεύς, χαριζόμενος Κασσάνδρῳ. [6] Τυμφαῖοι, Ἠπειρωτικὸν ἔθνος, καὶ Αἴθικες ὅμοιοι, ὧν καὶ Ὅμηρος μέμνηται λέγων,

[7] Τοὺς δ' ἐκ Πηλίου ὦσε, καὶ Αἰθίκεσσι πέλασσε.

Δράκων δὲ καὶ ὁ Πολυσπέρχων, διὰ τὸ ἰῶδες τῶν φαρμάκων, * ὡς φαρμάκοις αὐτὸν ἀνελών. *

803. Τὸν Αἰακοῦ τε κἀπὸ Περσέως σπορᾶς.] τὸν Ἡρακλῆ τοῦτον ἀπὸ ταύτης λέγει καλεῖσθαι τῆς σπορᾶς, ὅτι ὁ τούτου πατὴρ Ἀλέξανδρος ὁ Μακεδών, κατὰ μὲν πατέρα, εἰς Ἡρακλέα καὶ Περσέα ἀνάγει τὸ γένος, κατὰ δὲ μητέρα, εἰς Νεοπτόλεμον, καὶ Ἀχιλλέα, καὶ Αἰακόν.

804. Τημενείων.] ὁ Τήμενος οὗτος ἔκγονος ἦν Ἡρακλέους· Ἡρακλέος γὰρ καὶ Δηϊανείρας, Ὕλλος· Ὕλλου δὲ καὶ Ἰόλης, τῆς Εὐρύτου, Κλεόδαιος, Λίχας, καὶ Κήυξ· Κλεοδαίου καὶ Πιερίδας, ὁ Τήμενος οὗτος, καὶ ἕτεροι. * Ἄποθεν.] τὸ πόῤῥω μακρόν, ἐκλείπεται δὲ ὑπὸ τῶν Δωριέων, καὶ ἔστι κοινὴ συλλαβή· ἄπω δὲ καὶ ἄποθεν Ἀττικοὶ μεγάλα γράφοντες. *

805. Πέργη δέ μιν.] Πέργη, ὄρος Τυρσηνίας, ἔνθα [8] φασὶ τὸν Ὀδυσσέα κεῖσθαι θανόντα ἐν Γορτυνίᾳ· πῶς οὖν ὁ αὐτὸς ἐν Εὐρυτᾶσι τῆς Ἠπείρου, [9] καὶ ἐν Τυρσηνίᾳ κεῖται; καὶ ὁ μὲν Τζέτζης κακοπλάστως αὐτόν φησι τὸν Λυκόφρονα γράφειν, καὶ ἐναντίως οὐ μόνον τοῖς ἄλλοις, ἀλλὰ καὶ ἑαυτῷ, ὥσπερ καὶ ἐνταυθοῖ, καὶ ἐν τῷ [10] κατωτέρω στίχῳ, τῷ λέγοντι, Ὅταν στενάζων τὰς κῆρας τοῦ παιδὸς Τηλεμάχου, καὶ τῆς δάμαρτος Κίρκης ἀποθάνῃ· καὶ φησὶ πολλὰ εἶναι τὰ ἐναντία ἐνταῦθα· ἓν μέν, ὅτι θανὼν πρότερον ὑπὸ Τηλεγόνου, * νῦν * πάλιν, ὡς ζῶν, ἀποθνήσκει διὰ τὸν θάνατον Κίρκης καὶ Τηλεμάχου· δεύτερον καὶ ἀνακόλουθον [11] οὕτω, (φησὶν) ὁ Λυκόφρων· ζῶντος Ὀδυσσέως, ἢ τεθνηκότος ἡ ζημία γέγονε Τηλεμάχου, τοῦ Ὀδυσσέως, καὶ Κασσιφόνης, τῆς Κίρκης παιδός· εἰ μὲν ζῶντος, πάντως οὐ προσανεῖλεν αὐτὸν ὁ Τηλέγονος ὡς ἀγνοοῦν, ἐγίνωσκε γὰρ ἂν τοῦτον, ἰδὼν ἐν τοῖς τοῦ παιδὸς γάμοις· εἰ δὲ τεθνηκότος, πῶς ὁ ἤδη θανών, πάλιν ὥσπερ ἀπὸ μηχανῆς κωμικῆς ζωωθεὶς ὑπὸ σοῦ παρεισάγεται, τὸν Κίρκης θανάτους θρηνῶν, καὶ Τηλέμαχον, * καὶ τῷ πάθει αὐτῶν τελευτῶν; * ἐμοὶ μὲν ἀνακόλουθα ταῦτα φαίνεται, [12] οὐ μόνον δὲ τὰ τοιαῦτα σὰ ῥήματα, ἀλλὰ καὶ τὰ τῶν προφαμένων συμμαχεῖν σοι· φασὶ γάρ τινες * ἀσκεπτότεροι καὶ ἀπαίδευτοι, * ὅτι θανόντα τὸν Ὀδυσσέα ὑπὸ Τηλεγόνου Κίρκη φαρμάκοις ἀνέστησεν, οὐ προαναιρεθεῖσα [13] Τηλεμάχῳ, καὶ μάλιστα [14] ἑαυτὴν ἐγῆμαι δυναμένη· καὶ λοιπὸν ἡ παροιμία δὴ ταύτῃ πεπλήρωται,

Ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων·

ἢ ὡς ὁ νεκρὸς ἐκεῖνος ὁ σωτὴρ Σιμωνίδου, καὶ αὕτη τοῦ Ὀδυσσέως τεθνηκυῖα χάριτας παρέχει. Ταῦτα φησὶν ὁ Τζέτζης * περὶ τούτων κακοπλάστων, καὶ ἀνακολούθων, καὶ ἐναντίων, τῷ τε κεῖσθαι τὸν Ὀδυσσέα ἐν Ἠπείρῳ, καὶ τῇ Τυρσηνίᾳ, καὶ ὅτι παρὰ τοῦ Τηλεγόνου θανάτου αὐτοῦ, καὶ πῶς πάλιν φαίνεται ζῶν καὶ θνήσκων διὰ τὸν θάνατον Κίρκης καὶ Τηλεμάχου. * Ἄλλοι δὲ φασι [15] περὶ μὲν τῶν πρώτων λόγων, ὅτι ἴσως μετετέθη ἀπὸ [16] Εὐρυτάνων καὶ Ἠπείρου εἰς Τυρσηνίαν· καὶ τοῦτο μὲν τῷ Τζέτζῃ, ὡς ἐχόμενον [17] πιθανότητος, [18] οὐ παντελῶς ἀπόβλητον φαίνεται, * διὰ τὸ ἐν πολλαῖς τὸν Λυκόφρονα τοσοῦτον οἰκεῖον, πάντα τὰ τοιαῦτα μισεῖν. * Ἄλλοι δὲ φασιν, ὅτι ἀναιρεθεὶς Ὀδυσσεὺς ὑπὸ Τηλεγόνου, πάλιν ὑπὸ τῆς Κίρκης φαρμάκοις ἀνέστη, καὶ ἐγάμησε Κασσιφόνην Τηλεμάχῳ, Πηνελόπην δ' ἐν Μακάρων νήσοις ἐγάμησε Τηλεγόνῳ.

EMENDATIONES.

1 Τραμπύας] Τράμπυια, πόλις &c. pro Τράμπυια] πόλις &c. ex Bar. 2 Ὀδυσσεὺς, pro Ὀδυσσέως. 3 Εἰσόκε, pro εἰς ὃ κε. 4 Θοίναισι, pro θοίναις, ex MSS. utroque. * Hoc addo ex Bar. idemque fere occurrit in Seld. idque in impreſſis deſideratum eſſe manifeſtum eſt. 5 Βαρσίνης, pro Μαρσίνης Μαρσίδος Bar. Cæterum Alexander Magnus, non ex Marſina, aut Marſide, ſed Barſina, Perſica muliere, Herculem genuit, quem poſtea occidit Polyſperchon; quod ex Juſtino, aliiſque notius eſt, quam ut probari debeat. 6 Τυμφαῖοι, pro Τυμφαῖος, ex Bar. & Grav. 7 Τοὺς δ' ἐκ Πηλίου ὦσε καὶ Αἰθίκεσσι πέλασσε Impreſſ. quem verſum Ego emendavi, ope Bar. & Grav. & ipſius Homeri, in cujus Bœotia occurrit. * Hæc adjeci ex Grav. * Hæc adjeci ex Bar. & Grav. 8 Φασὶ, pro φασὶ, ex Bar. & Grav. 9 Καὶ ἐν Τυρσηνίᾳ pro καὶ Τυρσηνίας, ex Bar. & Grav. καὶ Τυρσηνίᾳ Seld. * Ex Grav. 10 Κατωτέρῳ, pro κατώτερον, ex MSS utroque. * Ex Grav. 11 Τοῦτο φησὶν ὁ Λυκόφρων Seld. τοῦτο, φησὶν ὁ Λυκόφρων, Impreſſ. οὕτω φησὶν ὁ Λυκόφρων Bar. * Hoc adjeci ex Bar. & Grav. 12 Οὐ μόνον δὲ τὰ τοιαῦτα σὰ ῥήματα, pro οὐ μόνα δ' ἐστὶ ταῦτα, ex Bar. & Grav. * Hoc interſerui ex Bar. & Grav. 13 Τηλεμάχῳ, pro Τηλεμάχου, ex Bar. & Grav. 14 Ἑαυτὴν, pro αὐτὴν, ex Bar. & Grav. * Hæc petita ſunt ex Bar. & Grav. & à me emendata. 15 Ἀπὸ τοῦ Πρωτέως λόγου, à ſermone de Proteo, habet Grav. ſenſu optimo: vult enim ex fabula Protei, qui per meatum ſubterraneum ex Pallenia in Ægyptum Neptuni operâ tranſlatus eſt, nonnullos anſam habuiſſe fingendi, quod Ulyſſes ex Epiro in Tyrrheniam ſimili via devenerit. Vid. hujus poematis v. 125. 16 Εὐρυτάνων, pro Βρυτάνων fide MSS. omnium. 17 Πιθανότητος, pro πιθανότηταν, ex MSS. omnibus. 18 Οὐ παντελῶς ἀπόβλητον, pro οὐ πάντα ἀπόβλητον, ex Bar. & Grav. οὐ παντελῶς ἀπόβλητον Seld. * Hoc adjeci ex Bar. & Grav.

Ἐν [a] Γορτυνίᾳ δέξεται πεφλεγμένον,	In Gortynia combuſtum excipiet,
[b] Ὅταν στενάζων κῆρας ἐκπνεύσῃ βίον	Quando vitam expirarit deplorans miſerias
Παιδός τε καὶ δάμαρτος, ἣν κτείνας πόσις,	Filii & Uxoris, quam occidens Maritus
Αὐτὸς πρὸς ᾅδην δευτέραν ὁδὸν περᾷ,	Secundum ad inferos ibit iter,
Σφαγαῖς ἀδελφῆς ἠλοκισμένος [c] δέρην,	Sororis cæde, Glauconis Abſyrtique
[d] Γλαύκωνος Ἀψύρτοιό τ' αὐτανεψίας.	Conſobrinæ, collum amputatus.
Χ' ὁ μὲν [e] τοσῶνδε θῖνα πημάτων ἰδὼν,	Atque ille quidem tantum conſpicatus malorum acervum,
[f] Ἄστεμφον ᾅδην δύσεται τὸ δεύτερον,	Immutabilem ſecundò ſubibit Orcum,
Γαληνὸν ἦμαρ οὔποτ' ἐν ζωῇ δρακών.	Lætum nunquam in vita diem adeptus.
Ὦ σχέτλι', ὥς σοι κρεῖσσον ἦν μίμνειν πάτρᾳ	O infelix, quàm tibi præſtabat in patria manere
Βουλκατοῦντι, καὶ τὸν ἐργάτην μύκλον	Bubulco, & laborioſum aſinum
Κλώθων' ὑπὸ [g] ζεύγλῃσι μεσσαβοῦν ἔτι,	Curvum ſub jugo ad aratrum adhuc jungere,

VARIANTES LECTIONES.

a Γορτυνίᾳ al. Γορτυνίῃ Seld. Bar. quorum hic in Scholiis eandem lectionem retinet. b Ὅτ' ἂν Seld. c Δέρα Seld. d Γλαύκωνός τ' Ἀψύρτου Bar. e Τοσῶνδε Seld. aliique. f Ἀτρεμφὲς MSS. uterque. g Al. ζεύγλαισιν.

806. Ἐν Γορτυνίᾳ] Θεόπομπός φησιν, ὅτι ἀναχωρούμενος ὁ Ὀδυσσεὺς, καὶ τὰ περὶ τὴν Πηνελόπην ἐγνωκὼς, ἀπῆρεν εἰς Τυρσηνίαν, καὶ ᾤκησεν εἰς Γορτυναίαν ἔνθα καὶ τελευτᾷ.

808. Παιδός τε καὶ δάμαρτος.] Τηλέμαχος ἔγημε Κασσιφόνην, θυγατέρα Κίρκης. καὶ Κίρκην μὲν ἀναιρεῖ Τηλέμαχος, μὴ φέρων αὐτῆς τὰ προστάγματα· ἀναιρεῖται δὲ καὶ αὐτὸς ὁ Τηλέμαχος ὑπὸ Κασσιφόνης, τῆς αὐτοῦ γυναικὸς, ἐκδικούσης Κίρκην τὴν μητέρα. Ὁ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι ἀποθανεῖται ὁ Ὀδυσσεὺς ὁρῶν τὰ παθήματα, Κίρκην ἀναιρεθεῖσαν ὑπὸ Τηλεμάχου, Τηλέμαχον δὲ ὑπὸ Κασσιφόνης.

811. Γλαύκωνος Ἀψύρτου τε.] εἶπον τὴν ἱστορίαν ὄπισθεν, ὅμως καὶ πάλιν ἐρῶ· Τὸν Γλαῦκον, Γλαύκωνα εἶπε· Γλαῦκος δὲ, καὶ Ἄψυρτος, καὶ Κασσιφόνη, καὶ οἱ λοιποὶ, ὡς εἶπον, αὐτανέψιοι, ἤτοι ἐξάδελφοι· ἀδελφῶν γὰρ, ὡς ἔφην, ἦσαν παῖδες, Πασιφάης ὁ Γλαῦκος, Αἰήτου ὁ Ἄψυρτος, Κίρκης δὲ ἡ Κασσιφόνη. ὁ δὲ Γλαῦκος, ὃν εἴπομεν, διώκων μῦν, πεσὼν εἰς πίθον μέλιτος γέμοντα, ἀπεπνίγη· ἀνεζωώθη δὲ, ὥς φασιν, ὑπὸ τοῦ μάντεως Πολυΐδου, τοῦ υἱοῦ Κοιρανοῦ, τοῦ καὶ εὑρόντος ἐν τῷ πίθῳ εἶναι πεπνιγμένον· ψηλαφῶν γὰρ τὸν Γλαῦκον ὁ πατὴρ αὐτοῦ Μίνως, ὡς οὐχ εὕρισκεν, ἐδόθη τούτῳ χρησμὸς, ἐκεῖνον εἰπεῖν περὶ τοῦ παιδὸς, ποῦ αὐτὸν εὑρήσει, ὅτι δὲ καὶ ἀναστήσει αὐτὸν, ὃς εἴπῃ τίνι ὅμοιός ἐστιν ὁ τρίχρωμος τοῦ Μίνωος βοῦς, ὁ ἐν ταῖς ἀγέλαις· Πολύειδος δὲ αὐτὸν εἶπεν ὁμοίαν εἶναι βάτου καρπῷ, καὶ ὁ Μίνως κατέχει αὐτὸν εἰπεῖν, ποῦ ἐστιν ὁ Γλαῦκος· ὁ δὲ ὑπὸ τῆς μαντικῆς εἶπεν [1] αὐτὸν ἐν τῷ πίθῳ εἶναι πεπνιγμένον· εὑρεθέντος δὲ αὐτοῦ νεκροῦ, συνεπεκλείσθη αὐτῷ ἔν τινι οἰκήματι, ὥστε ζωῶσαι αὐτόν· ἰδὼν δὲ δράκοντα ἐπὶ τὸν νεκρὸν ἐρχόμενον, θέλων ἀγελάσαι τὸν δράκοντα, ὅπως ἀναιρεθῇ ὑπ' αὐτοῦ, βαλὼν τυχαίως ἀνεῖλεν αὐτόν· ἕτερος δὲ δράκων ἐλθὼν, καὶ βοτάνην ἐπιθεὶς τῷ τεθνηκότι δράκοντι, ἤγειρεν αὐτόν· ταύτην τὴν βοτάνην λαβὼν Πολύειδος, καὶ ἐπιθεὶς τῷ Γλαύκῳ, ἤγειρεν αὐτόν. Μίνως δὲ ἰδὼν οὕτως τὸν Πολύειδον εἴα εἰς τὴν ἑαυτοῦ πατρίδα, τὸ Ἄργος, ἀπελθεῖν, πρὶν τῷ Γλαύκῳ διδάξαι τὴν μαντικήν· καὶ ὃς διδάσκει αὐτόν. ἀποδημῶν δὲ κελεύει τὸν Γλαῦκον εἰς τὸ ἑαυτοῦ στόμα ἐμπτύσαι, καὶ τοῦτο ποιήσας ὁ Γλαῦκος, πάλιν τῆς μαντικῆς ἐπελάθετο.

813. Ἄστεμφον ᾅδην.] ἐπεὶ πρῶτον, ὡς λεγόμενον, ὑπὸ Κίρκης ἀνέστη ἀποθανών· ἐγὼ δὲ φημὶ, ἐπεὶ κατῆλθεν εἰς ᾅδην διὰ τὸν Τειρεσίαν, καὶ ἀνῆλθε πάλιν, ὃ καὶ ἀλληγοροῦνται, ὅτι νεκυομαντείαν ἐποίησε, καὶ τὴν Τειρεσίου ψυχὴν ἠρώτησε· τούτου χάριν φησὶν, ὅτι ἄστεμφον ᾅδην ὑπεισελεύσεται, καὶ οὐ τοιοῦτον, οἷον ὅτι κατῆλθε, ζητῶν τὴν ψυχὴν τοῦ Τειρεσίου, καὶ πάλιν ἀνῆλθεν.

817. Μεσσαβοῦν.] ἐν σ γράφεται, λέγεται δὲ τὸ ζευγνύειν κυρίως βόας, καταχρηστικῶς δὲ, καὶ ἕτερα ζῶα· μέσσαβα δὲ λέγονται, αἱ τοῦ ζυγοῦ γλυφαὶ, ἔνθα οἱ αὐχένες τῶν βοῶν δέδενται, ὡς Καλλίμαχος, Μεσσάβοις ὑποδύς. ὁ δὲ Λυκόφρων ἀδεὴς στιχουργίας, ποτὲ μὲν διπλασιάζει τὰ σύμφωνα, ποτὲ δὲ ἀφαιρεῖται τὰς διπλᾶς, καὶ ἁπλῶς εἰπεῖν, παιδείας τῆς ἀληθινῆς συγχέει καὶ ἱστοριῶν ψεύδεται, καὶ [2] βαρβάροις παραφθοραῖς καὶ τόπων καὶ λέξεων, οἷς πᾶσι καὶ [3] σκυτεὺς χρησάμενος, ἂν ἐπεγράφη πρὸς στιχουργίαν. Μέσσαβα δὲ, καὶ μεσσαβοῦν διὰ δύο σσ γράφουσί τινες, Αἰολικῶς διαλέκτῳ τοῦτο λεγέτω, κἂν ὁ Λυκόφρων ἐστὶ Χαλκιδεὺς, ἤτοι Ἀττικὸς ἐστί.

EMENDATIONES.

[1] Αὐτὸν ἐν τῷ πίθῳ εἶναι, ἐν τῷ πίθῳ πεπνιγμένον Impreſſ. Ego ſecundum illud ἐν τῷ πίθῳ delevi, ex auctoritate MSS. omnium. [2] Βαρβάροις poſui, pro βαρβάρων, ex Bar. & Grav. [3] Σκυτεὺς, pro σκυλεὺς, ex MSS. omnibus. Vult enim Scholiaſtes, Ne cerdonem quidem, aut coriarium, (id enim valet σκυτεὺς) aut alium quemvis rudem & indoctum artificem Poetica facultate deſtitutum fore, ſi hiſtorias & fabulas corrumpere, fictis à ſe mendaciis intermiſcere, & aliâ quantâlibet tam in rebus, quam vocibus mutandis licentia uti fas ſit.

Πλαστῇσι λύσσης μηχαναῖς οἰστρημένῳ,
Ἢ [a] τηλικῶνδε πεῖραν ὀτλῆσαι κακῶν;

Fictis insaniæ technis incitato,
Quàm tantorum sustinere malorum experientiam?

VARIANTES LECTIONES.
a Τηλικῶνδ' al.

818. Πλαστῇσι λύσσης μηχαναῖς.] φασὶν ὅτι ὁ Ὀδυσσεὺς, ἡνίκα οἱ Ἕλληνες ἠνάγκαζον αὐτὸν ἐπὶ Τροίαν στρατεύεσθαι, προσεποιήσατο μαίνεσθαι, καὶ ζεύξας ὄνον καὶ βοῦν, ἠροτρία, Παλαμήδης δὲ αὐτὸν ἐξήλεγξε τοῖς Ἕλλησι· Τηλέμαχον γὰρ, τὸν Ὀδυσσέως παῖδα, λαβὼν, τέθεικε πρὸ τοῦ ἀρότρου, Ὀδυσσεὺς δὲ φοβηθεὶς μὴ πλήξῃ τὸν παῖδα, τὸ ἄροτρον ἐπέσχε, καὶ ἐγνώσθη τοῖς Ἕλλησιν, ὅτι πλαστῶς ἐμαίνετο. Ἀλλὰ τὴν Ὀδυσσέως πᾶσαν ὑπόθεσιν κεφαλαιωδῶς λεκτέον, εἶθ' οὕτως τῶν καθεξῆς ἀψόμεθα.

* Ἡ ὑπόθεσις τοῦ Ὀδυσσέως. *

Μετὰ τὴν Ἰλίου πόρθησιν, Ὀδυσσεὺς ἐξωσθεὶς ἀνέμοις, καταίρει πρὸς Κίκονας, καὶ τὴν πόλιν αὐτῶν Ἴσμαρον πορθεῖ, τὴν νῦν λεγομένην Μαρώνειαν, καὶ ἔμελλεν ἀποπλεῖν, οἱ δὲ φίλοι αὐτοῦ οὐκ εἴων αὐτόν· τῇ ἐπαύριον δὲ οἱ ἠπειρῶται Κίκονες πανσυδὶ ἀθροισθέντες, πανημερίως ἐμάχοντο, περὶ δὲ ἑσπέραν οἱ Ὀδυσσέως ἡττηθέντες, ἀποβαλόντες ἄνδρας οβ', ἤτοι ἀφ' ἑκάστης νηὸς ἄνδρας ς', ιβ' γὰρ εἶχε ναῦς ὁ Ὀδυσσεύς, ὅτε δὲ ἡττηθέντες ἄκοντες [1] ἀπέπλεον· ἀνέμοις δὲ συσχεθέντες δεινοῖς, καὶ μόλις ἐξελθόντες εἰς γῆν, δύο ὅλας ἡμέρας ἔκειντο πρὸς τὴν γῆν, τῇ τρίτῃ δὲ ἡμέρᾳ πλεῖν ἀπαρξάμενοι, μικροῦ δεῖν ἀβλαβεῖς ἵκοντο πρὸς τὰς πατρίδας· ἀπὸ δὲ Μαλέας, ἀκρωτηρίου Πελοποννήσου, ἐξωσθέντες, θ' νυχθημέροις δεινοῖς ἀνέμοις ἐφέροντο. Δεκάτῃ δὲ ἡμέρᾳ τῇ γῇ τῶν Λωτοφάγων, ἤτοι τῶν Καμαρειναίων, προσπελάσαντες ὑδρευσάμενοί τε, δειπνοῦσι περὶ τὰς ναῦς, εἶτα ἔπεμψαν τρεῖς ἰδεῖν τὴν χώραν, οἱ γευσάμενοι τοῦ λωτοῦ, ὑποστρέφειν οὐκ ἤθελον. [2] Δήσας δὲ Ὀδυσσεὺς αὐτοὺς, ἀπέπλει, καὶ ἦλθον νυκτὶ οὐκ εἰδότες εἰς νῆσον μικρὰν τῶν Κυκλώπων ἔρημον, αἶγας δὲ ἀγρίας πολλὰς ἔχουσαν, ὧν τῇ ἐπαύριον μὴ θηρεύσαντες, εὐωχοῦντο πανημερίας· περὶ δὲ ἑσπέραν, καὶ πῦρ ἔβλεπον ἐν τῇ γῇ τῶν Κυκλώπων, καὶ φωνῆς ἀμυδρῶς ἤκουον· τῇ ἐπαύριον δὲ τὰς μὲν ια' ναῦς Ὀδυσσεὺς αὐτοῦ καταλιπὼν ἐν τῇ μικρῇ νήσῳ, τῇ ἑαυτοῦ μόνῃ ἀποπλεῖ πρὸς τὴν γῆν τῶν Κυκλώπων, κατασκοπείᾳ χρησάμενος, καὶ παρά τινα πετρώδη καὶ ἀπόκρυφον αἰγιαλὸν ταύτην ἀποκρύπτει τὴν ναῦν σὺν τοῖς λοιποῖς ἑταίροις· αὐτὸς δὲ ιβ' μόνους λαβὼν τῶν ἑταίρων, καὶ οἴνου Μαρωνείτου ἀσκὸν, καὶ βρώματα, εἰσῆλθεν εἰς τὸ τοῦ Κύκλωπος σπήλαιον, ἐκείνου περὶ νομὴν τῶν προβάτων ἠσχολημένου· ἱκετευόντων δὲ τῶν φίλων φαγεῖν τυροῦ, καὶ γάλακτος, καὶ τῶν προβάτων λαβεῖν, καὶ ὑποχωρῆσαι, οὐκ ἤθελεν, ἕως ὁ Κύκλωψ περὶ ἑσπέραν ἐλθὼν, αὐτοὺς ἐν τῷ σπηλαίῳ κατέχει, καὶ ἠρώτησε, ποῦ τι ἡ ναῦς αὐτοῦ ἐστὶ, καὶ ὅπως αὐτὸς καλοῖτο; ὁ δὲ αὐτὸν ἀπατᾷ, τὴν ναῦν μὲν εἰπὼν ὑπὸ τοῦ κλύδωνος λυθῆναι, αὐτὸν δὲ Οὖτιν καλεῖσθαι· ὁ δὲ, δύο λαβὼν τῶν Ὀδυσσέως ἑταίρων, κατέφαγεν, εἶτα ὁμοίως καὶ τῇ ἐπαύριον δύο φαγὼν, καὶ τοὺς λοιποὺς κλείσας, ἐξήλασε τὴν ἀγέλην ἐπὶ νομήν· οἱ δὲ περὶ τὸν Ὀδυσσέα εὑρηκότες ξύλον ἀπεξυσμένον, ὑπὸ πυρκαϊὰν ἔθεντο, ὥστε ξηρανθὲν στερεωθῆναι, καὶ συνέθεντο τούτῳ τυφλῶσαι αὐτὸν, ὃ καὶ ἐποίησαν· ἐλθόντος γὰρ αὐτοῦ περὶ ἑσπέραν, καὶ εἰσελάσαντος εἰς τὸ σπήλαιον πάντα τὰ ποίμνια, καὶ πάλιν δύο τούτων φαγόντος, κιρνῶσιν [3] αὐτῷ οἶνον, καὶ μεθύσαντες τυφλοῦσιν αὐτόν· τοῦ δὲ βοῶντος, προσῆλθον πάντες οἱ Κύκλωπες, ἀκούσαντες δὲ βοῶντος αὐτοῦ, Οὖτίς με ἐτύφλωσε, μεμηνέναι δοκήσαντες αὐτὸν, ἀνεχώρησαν. ὁ δὲ τῇ πρωΐᾳ τὰ ποίμνια ἐκβάλλει, περὶ τὴν θύραν τοῦ σπηλαίου καθεσθεὶς, ὅπως ὕστερον κλείσας τὸ σπήλαιον, καὶ ἔνδον αὐτοὺς εὑρὼν ἀνέλῃ· οἱ δὲ προεξελθόντες ὑποκάτω τῶν προβάτων, καὶ αὐτῶν πολλὰ ἐμβαλόντες τῷ πλοίῳ, ἀπέπλεον· βοησάντων δὲ αὐτῶν ὁ Κύκλωψ ἀκηκοὼς, λίθον βαλὼν εἰς τὴν θάλασσαν, ἔστρεψεν ὑπὸ τοῦ κλύδωνος αὐτῶν τὴν ναῦν εἰς τὴν γῆν· ὡς δὲ πάλιν ἀποπλέοντας εἶδεν, ηὔχετο τῷ Ποσειδῶνι, μὴ ἀπελθεῖν αὐτοὺς εἰς τὰς πατρίδας, καὶ πάλιν ὁμοίως λίθον βαλὼν, ἐώθησεν αὐτοὺς εἰς τὴν γῆν· εἶτα [4] λοιπὸν ἀποπλεύσαντες, ἦλθον εἰς τὴν μικρὰν νῆσον, ὅπου καὶ αἱ λοιπαὶ νῆες αὐτῶν· εὗρον δὲ δακρύοντας τοὺς ἑταίρους, καὶ τότε μὲν εὐωχηθέντες κοιμῶνται. Τῇ ἐπαύριον δὲ κἀκεῖθεν πλέοντες, ἦλθον εἰς Αἰολίαν, καὶ διατρίψαντες ἐκεῖ μῆνα, λαβόντος Ὀδυσσέως παρ' Αἰόλου τὸν τῶν ἀνέμων ἀσκὸν, [5] ἀπέπλεον, ζεφύρου θ' νυξὶ καὶ ἡμέραις πνέοντος· τῇ δεκάτῃ δὲ τὴν Ἰθάκην, καὶ ἀνθρώπους, καὶ πῦρ, καὶ καπνὸν ἔβλεπον· κεκμηκότος δὲ Ὀδυσσέως, καὶ καθευδήσαντος, λύουσι τὸν ἀσκὸν, νομίσαντες χρήματα ἔχειν· καὶ ἐκχυθέντων τῶν ἀνέμων, [6] ἀναρπάξας αὐτοὺς ὁ κλύδων, πάλιν στρέφει πρὸς Αἴολον· ὁ δὲ Αἴολος αὐτοὺς ἱκετεύοντας ἀποπέμπει, ὡς θεοῖς ἐχθρούς. Οἱ δὲ εἰρεσίᾳ ἐξ ἡμέρας πλέοντες, ἑβδόμῃ παρὰ Λαιστρυγονίαν ἦλθον· κατελθόντες δὲ οἱ Λαιστρυγόνες, κατέαξαν τὰς ια' ναῦς αὐτῶν πέτραις σὺν τοῖς ναύταις πᾶσι, μόνος δὲ Ὀδυσσεὺς, ἀποκόψας τῆς ἑαυτοῦ νηὸς τὰ πρυμνήσια, ἔφυγε. Κώπαις δὲ πλέοντες, ἦλθον εἰς τὴν [7] Αἰαίαν, νῆσον τῆς Κίρκης, ἥτις ἐθηριοποίει τοὺς ἀνθρώπους, καὶ δύο ἡμέρας ὅλας ἐπὶ γῆς ἔκειντο θρηνοῦντες· τρίτῃ ἡμέρᾳ [8] διαιρεθέντες εἰς δύο μέρη, ἔστησαν ἐν μὲν τῷ ἑνὶ Εὐρύλοχος, καὶ εἰκοσιδύο ἑταῖροι, ἐν δὲ τῷ ἑτέρῳ Ὀδυσσεὺς, καὶ ἕτεροι κβ' ἑταῖροι· καὶ κληρωθέντες, ἔπεσεν ὁ κλῆρος ἐπὶ Εὐρύλοχον, ὥστε ἀπελθεῖν τοὺς μετ' αὐτοῦ ἐπὶ τὴν Κίρκην· ἀπελθὼν δὲ σὺν ἐκείνοις, εἶδον ἔξωθεν τῆς αὐλῆς τῆς Κίρκης λύκους, καὶ λέοντας ἡμέρους σαίνοντας αὐτοὺς τῇ οὐρᾷ· εἰσελθόντων δὲ τῶν φίλων, αὐτὸς ἔξω ὑπελείφθη· κἀκείνους μὲν ἡ Κίρκη χοίρους ποιεῖ, δοῦσα πιεῖν αὐτοῖς οἶνον μεμιγμένον τυρῷ, ἀλφίτοις, καὶ μέλιτι· Εὐρύλοχος δὲ ἦλθε πρὸς Ὀδυσσέα, καὶ τοὺς λοιποὺς, ἀφωνίᾳ μὲν συνεχόμενος, ἐξ ὀφθαλμῶν δὲ ἀεννάως καταστάζων τὰ δάκρυα, μόλις δέ ποτε εἰς ἑαυτὸν γενόμενος, τὸ

EMENDATIONES.

* Ex Seld. 1 Sic lego, & distinguo hunc locum, ope MSS. Codd. quem Impress. perversa interpunctione hoc modo corruperant, ἀπέπλεον, ἀνέμοις συσχεθέντες δεινοῖς, καὶ μόλις ἐξελθόντες &c. 2 Δήσας, pro Δύνας ex fide MSS. utrinsque. Et apud Homerum, cujus Odysseam in hac narratione κατὰ πόδας (ut ita dicam) sequitur Tzetzes, Ulysses fertur socios in naves abductos sub transtris ligasse, cum jam ex esu loti patriæ essent obliti, Odyss. ι'. v. xcviii.

Τοὺς μὲν ἐγὼν ἐπὶ νῆας ἄγον κλαίοντας ἀνάγκῃ,
Νηυσὶ δ' ἐνὶ γλαφυρῇσιν ὑπὸ ζυγὰ δῆσα ἐρύσσας.

3 Αὐτῷ καὶ οἶνον Impress. Ego καὶ delevi, ut inutile, secutus Bar. & Grav. 4 Λοιπῶν Impress. Ego reposui λοιπὸν, quod huic loco accommodatius. idque habet Bar. & Grav. at Seld. λοιπῶν. 5 Sic emenda locum hunc, ἀπέπλεον ζεφύρου θ' νυξὶ καὶ ἡμέραις, τῇ &c. Impress. ἀπέπλεον ζεφύρῳ &c. Seld. ἀπέπλεον ζεφύρου θ' νυξὶ καὶ ἡμέραις πνέοντος Bar. 6 Ἀναρπάξας, pro ἁρπάσας, ex MSS. omnibus. Et hoc quidem non est prorsus repudiandum, illud vero huic loco accommodatius videtur. 7 Αἰαίαν, pro Αἰολίαν, ex MSS. omnibus. Nam Ulysses è Læstrygonum manibus elapsus, ad Ææam, quæ Circes erat insula, delatus est. Homerus Odyss. κ'. v. cxxxv.

Αἰαίην δ' ἐς νῆσον ἀφικόμεθ', ἔνθα δ' ἔναιε
Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς, αὐδήεσσα.

8 Sic distinguo hunc locum cum MSS. omnibus. Διαιρεθέντες εἰς δύο ἔστησαν. ἐν μὲν τῷ ἑνὶ &c. Impress. Deinde pro nominativis, accusativos Εὐρύλοχον, Ὀδυσσέα. & bis ἑταίρους habent Bar. & Grav. quod rectius.

Ὁ δ' αἰνόλεκτρον ἁρπαγεῖσαν σύνευνος	Alius infaustam Maritus Uxorem
[a] Πλάτιν ματεύων, κληδόνων πεπυσμένος,	Raptam quærens, rumoribus auditis,

VARIANTES LECTIONES.

a Πλάτιν Bar. eandemque lectionem in Scholiis retinet.

τὴν ἀρπαγεῖσαν· καὶ Ὀδυσσεὺς αἰτεῖ αὐτὸν τὴν ὁδὸν ὑποδεῖξαι, ὃς δ' οὐκ ἐπείθετο, μόνος Ὀδυσσεὺς τῆς πορείας ἀπήρχετο. Ἑρμῆς δὲ αὐτῷ συναντήσας, τὰ τῆς Κίρκης πάντα κατέλεξε, καὶ δίδωσιν αὐτῷ τὸ μῶλυ, ὅπερ ἐστὶ βοτάνη ἀντιπαθὴς μαγείαις. καὶ οὕτως πρὸς Κίρκην ἐλθὼν, οὐ μόνον οὐκ ἐθηριώθη, ἀλλὰ καὶ τὸ ξίφος ἐπ' αὐτὴν ἑλκύσας, ἔπεισε καὶ τοὺς φίλους αὐτοῦ πάλιν ἐκ χοίρων ἀνθρώπους ποιῆσαι. κατελθὼν δὲ Ὀδυσσεὺς, ἀνήγαγε καὶ τοὺς ἑτέρους φίλους αὐτοῦ τοὺς μετ' Εὐρυλόχου, καὶ χρόνον παρὰ τῇ Κίρκῃ διέτριψαν, συγκαθευδόντος Ὀδυσσέως τῇ Κίρκῃ. Μετὰ δὲ τὸ μέλλειν αὐτοὺς ἀποπλεῖν, εἶπεν αὐτοῖς, μὴ ἄλλως εἶναι αὐτοῖς εἱμαρμένον ἀποπλεῖν, εἰ μὴ κατέλθωσι πρὸς ᾅδην, καὶ χρήσονται μαντείαις ἐκ τῆς Τειρεσίου ψυχῆς· καὶ δὴ δι' ὅλης ἡμέρας πλέοντες, κατῆλθον διὰ τῆς Ἑσπερίας καὶ [1] Κιμμερίων Ὠκεανοῦ, καὶ [2] πυγούσιον βόθρον ὀρύξαντες, καὶ σφάξαντες κριὸν καὶ οἶν θήλειαν, ἐξέχεαν εἰς τὸν βόθρον τὸ αἷμα, καὶ ἔθυσαν χοὰς τοῖς νεκροῖς, καὶ ἦλθον αἱ ψυχαὶ πιεῖν αἷμα, Ὀδυσσεὺς δὲ κατέχων ξίφος, οὐκ εἴα πίνειν, πρὶν αὐτῷ καταλέξωσιν ἅπερ βούλοιτο· καὶ πρώτη μὲν ἡ [3] Ἐλπήνορος ἦλθε ψυχὴ, ὃς ἐν τῇ Κίρκης οἰκίᾳ ἔτι ἄθαπτος ἔκειτο· δευτέρα δὲ ἡ Ἀντίκλεια, ἡ μήτηρ Ὀδυσσέως· εἶτα Τειρεσίας, ὃς πάντα τὰ μέλλοντα αὐτὸν καταλήψεσθαι ἐμαντεύσατο· μετὰ ταῦτα πάντες οἱ ἥρωες ἦλθον, καὶ αἱ τῶν ἡρώων γυναῖκες, λέγοντες αὐτῷ ὃ καθένα τις εἴη, καὶ ὅσα [4] πέπονθε. Εἶτα φοβηθέντες μὴ ἡ Γοργὼ ἐξέλθοι, ἐμβάντες πάλιν εἰς τὴν αὐτῶν ναῦν, ὡς πρὸς τὴν Κίρκης νῆσον πρὸς αὐγὰς κουφόλως ἀπέπλευσαν· καὶ θάψαντες τὸν Ἐλπήνορα ἀποπλέουσι, παρὰ τῆς Κίρκης τὰ χρειώδη λαβόντες, καὶ τοῦ Ὀδυσσέως μαθόντος παρ' αὐτῆς, ὅσα καὶ παρὰ Τειρεσίου, τὰς Σειρῆνας, τὰς Πλαγκτὰς, τὴν Σκύλλαν, τὴν Χάρυβδιν, τὰς βόας Ἡλίου, καὶ πάντα ἁπλῶς. Κηρῷ γοῦν Ὀδυσσεὺς ἀλείψας τὰ ὦτα τῶν ἑταίρων, παρέπλει αὐτὸς ἐπὶ τοῦ ἱστοῦ ἐκκρεμὴς ὢν, καὶ ἀκάλυπτα ἔχων τὰ ὦτα· παραπλεύσαντες γοῦν τὸν λειμῶνα τῶν Σειρήνων, καὶ τὰ μέλη ἐκείνων, ὑφ' ὧν θελγόμενοι ἀπέθνησκον οἱ ἀκούοντες, λύουσι τὸν Ὀδυσσέα τοῦ ἱστοῦ. Ἔπειτα [5] παραπλεύσαντες τὰς Πλαγκτὰς πέτρας, αἳ πρὸς ἀλλήλας συνεκρούοντο, καὶ φοβερὸν ἀπετέλουν τὸν κτύπον, (αὗται καὶ [6] Κυάνεαι λέγονται, κεῖνται δὲ καὶ μεταξὺ Κιλικίας καὶ Παμφυλίας, καθ' Ὅμηρον, καὶ παρ' ἑτέρους) ἦλθον διὰ Χαρύβδεως καὶ Σκύλλης, πλησίον μᾶλλον τῆς Σκύλλης· ἁρπαγέντων δὲ [7] παρὰ τῆς Σκύλλης ἐκ τῆς νηὸς ἀνδρῶν ς', οἱ λοιποὶ συντονώτερον τῇ εἰρεσίᾳ χρησάμενοι, ἔφυγον. Περὶ δὲ νύκτα τὴν Ἡλίου νῆσον Θρινακίαν προσπελάζουσι, καὶ Ὀδυσσεὺς παραπλεῖν αὐτὴν ἐκέλευεν· οἱ δὲ μὴ πεισθέντες ἐξῆλθον, καὶ πρῶτον μὲν θηρεύουσι, καὶ ἀγρευσίᾳ διέζων· ὡς δὲ νότος ἔπνει πρὸς μῆνα ὅλον, ἀπελθόντος Ὀδυσσέως εἰς τὸ ἐνδότερον τῆς νήσου εὔξασθαι, καὶ κατακοιμηθέντος, σφάττουσιν οἱ μετ' Εὐρυλόχου βόας θ', καὶ ἤσθιον ἐπὶ ἓξ ὅλας ἡμέρας· τῇ ζ' δὲ παυσαμένου τοῦ δεινοῦ ἀνέμου ἐμβάντες, ὥστε πλεῖν, ζεφύρῳ πρῶτον μεγάλῳ συνθραύονται, εἶτα κεραυνοῦνται. Ὀδυσσεὺς δὲ μόνος [8] τὴν τρόπιν κατέχων, ὅλην νύκτα ἐφέρετο· ἀνατέλλοντος δὲ ἡλίου, νότῳ φερόμενος, ἦλθε περὶ τὴν Χάρυβδιν, καὶ δραξάμενος τῆς περὶ τοὺς [9] τόπους ἐκείνους ἐρινεοῦ συκῆς, ἀπεκρέματο περὶ αὐτὴν, τὰ δὲ ξύλα κατέδυ πρὸς τὸν βυθόν· ὀψὲ δὲ ἀναδυόντων [10] αὐτῶν, καθεὶς ἑαυτὸν ἀπὸ τῆς συκῆς, ἐπελάβετο τῶν ξύλων. Καὶ θ' μὲν οὕτως ἡμέρας ἐνήχετο, δεκάτῃ δὲ περὶ τὴν Ὠγυγίαν νῆσον ἦλθε τῆς Καλυψοῦς, καὶ ζ' χρόνους ἐκείνῃ συνδιῆγε· τῷ δὲ ὀγδόῳ ἀπολύθη μετὰ σχεδίας, Διὸς ὀργισθέντος τῇ Καλυψοῖ. Καὶ οὕτω μετὰ τῆς σχεδίας Ὀδυσσεὺς ιζ' ἡμέρας ἔπλεεν, ιη' δὲ τὴν Φαιακίαν, ἤτοι τὴν Κέρκυραν, εἶδεν· ἀνέμων δὲ γενομένων ὀργῇ Ποσειδῶνος, κατεάχθη ἡ σχεδία· δύο δὲ ὅλας ἡμέρας ἐνήχετο, τρίτῃ δὲ ἡ Λευκοθέα ἐλεήσασα αὐτὸν, δίδωσι τὸ κρήδεμνον αὐτῆς, μεθ' οὗ ἐξῆλθεν εἰς τὴν γῆν τῶν Φαιάκων, καὶ καλαμῶσιν ἐν ὕλῃ ἐκρύβετο· τῆς δὲ Ἀλκινόου θυγατρὸς Ναυσικάας, μετὰ τῶν θεραπαινίδων αὐτῆς ἐλθούσης πλῦναι, καὶ τερφθείσας παιγνίοις, καὶ σφαιριζουσῶν πρὸς ἀλλήλας βοῆς γενομένης, ἐγείρεται Ὀδυσσεὺς, καὶ ἱκετεύει αὐτήν· ἡ δὲ τροφὴν καὶ εἵματα δοῦσα, κελεύει τοῦτον ἐλθεῖν πρὸς τὸν οἶκον τοῦ ταύτης πατρὸς, καὶ τὴν αὐτῆς ἱκετεῦσαι μητέρα Ἀρήτην, ὡς ἂν τύχοι [11] ὧνπερ καὶ βούλοιτο· ἐκεῖσε δ' ἐλθὼν, ἐρωτᾶται [12] παρὰ Ἀλκινόου καὶ τῆς Ἀρήτης, [13] καὶ τὴν πᾶσαν, ἣν ἔφημεν, διηγεῖται ὑπόθεσιν, καὶ δῶρα παρ' αὐτῶν μυρία λαβὼν εἰς τὴν Ἰθάκην πέμπεται, ἑσπέρας μὲν ἐπιβὰς τῆς νηὸς ἐκ τῆς Φαιακίας· πρωῒ δὲ ἐκφέρεται καθεύδων ἐκεῖσε, καὶ εἰσελθὼν ὡς πτωχὸς πρὸς τὸν Εὔμαιον τὸν συβώτην, ἦλθε καὶ πρὸς τοὺς μνηστῆρας. καὶ πολλὰ παρὰ πολλῶν παροινηθεὶς, γνωρίζει ἑαυτὸν τοῖς οἰκέταις, [14] καὶ σὺν αὐτοῖς ἀνελὼν τοὺς μνηστῆρας, ἀναγνωρίζεται τῇ ἑαυτοῦ γυναικί, καὶ συγκαθευδήσας αὐτῇ, πάντα κατὰ λεπτὸν διηγήσατο· τῷ ἐπαύριον δὲ πρωῒ ἔξεισι περὶ τὸν ἀγρόν. οἱ δὲ τῶν μνηστήρων συγγενεῖς μαθόντες τὸ γεγονὸς, πρῶτα μὲν εἰς τὴν Ὀδυσσέως οἰκίαν ἐλθόντες, θάπτουσι τοὺς νεκρούς· ἔπειτα δὲ ὁπλισθέντες, ἐξήρχοντο καὶ αὐτοὶ πρὸς τὸν ἀγρὸν, Ὀδυσσεῖ πολεμήσοντες, Ἀθηνᾶς δὲ βουλῇ φιλιοῦνται, καὶ τὸ νεῖκος καταπαύουσιν. Ὀδυσσεὺς δὲ εἰς Εὐρυτᾶνας, ἔθνος Ἠπείρου, κατὰ χρησμὸν ἐλθὼν, θύει τὰ νενομισμένα, καὶ γηραιὸς ἤδη ὑποστρέψας, κτείνεται παρὰ Τηλεγόνου, τοῦ ἐκ Κίρκης αὐτῷ γεννηθέντος υἱοῦ· * Καὶ τὰ μὲν κατὰ τὴν Ὀδύσσειαν οὕτως ἔχουσιν.*

820. Ὁ δ' αἰνόλεκτρον] ὁ δὲ Μενέλαος σύνευνος καὶ ἀνὴρ, ματεύων καὶ ψηλαφῶν τὴν ἁρπαγεῖσαν αἰνόλεκτρον πλάτιν καὶ γυναῖκα, παρὰ τὸ πελάζειν καὶ μίγνυσθαι, λέγει δὲ τὴν Ἑλένην· ματεύων δὲ αὐτὴν πῶς; ὑπὸ κληδόνων καὶ φημῶν πεπυσμένος καὶ μαθὼν, ποθῶν δὲ τὸ φάσμα τὸ πτηνὸν, τὸ φυγὸν εἰς αὔρας, καὶ εἰς τὸν αἰθέρα, ποίους θαλάσσης οὐκ ἐρευνήσει μυχούς; [15] Λυκόφρων ἀκολουθῶν Ἡροδότῳ, τὴν Ἑλένην φησὶ μὴ ἐλθεῖν εἰς Τροίαν, ἀλλ' ἁρπαγεῖσαν ὑπὸ Ἀλεξάνδρου, ἀπελθεῖν μετ' αὐτοῦ εἰς Αἴγυπτον, ἔνθα Πρωτεὺς ἀφείλετο αὐτὴν ὑπὸ Ἀλεξάνδρου· πορθηθείσης δὲ τῆς Τροίας, καὶ μὴ εὑρεθείσης τῆς Ἑλένης ἐκεῖσε, τότε ὁ Μενέλαος ἐλθὼν πρὸς τὸν Πρωτέα, ἔλαβε τὴν γυναῖκα.

EMENDATIONES.

1 Κιμμερίων, ex Bar. & Grav. Κιμμέριοι Impress. Κιμμερίων Seld. Κιμμερίων reposuit Gerbelius, sed voluit (puto) Κιμμερίων. 2 Πυγούσιον pro πυργίσιον, ex MSS. omnibus, quibuscum consentit ipse Homerus, cujus hunc versum exprimere voluit Scholiastes,

Βόθρον ὄρυξ', ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα

3 Ἐλπήνορος, pro Ἐλπήνορος, ex Bar. & emendatione N. sc. Gerbelii. Nam isti socio Ulyssis, nomen fuisse Elpenori, ubique constat in Odyssea. 4 Ἐπεπόνθει Bar. & Grav. quod melius. 5 Παραπλεύσαντες, pro παραπλεύσαντα, ex MSS. omnibus. 6 Κυάνεαι, pro Κυδωνίαι, ex MSS. omnibus. Cujus emendationis ratio vel pueris constat. 7 Παρὰ pro περὶ, ex Seld. & Grav. ὑπὸ habet Bar. sed ei superpositum est παρὰ. 8 Τὴν τρόπιν, pro τὸ τρόπιον, ex Bar. & Grav. 9 Ἐκείνους τόπους MSS. uterque. 10 αὐτῶν MSS. omnes. 11 Οὗπερ, pro ὅπερ, ex MSS. omnibus. 12 Παρὰ, pro περὶ, ex Seld. & Grav. 13 Καὶ τὴν πᾶσαν, ἣν ἔφημεν, pro καὶ τὴν πᾶσαν μὲν ὑπόθεσιν, ex MSS. omnibus. 14 Sic emendo & distinguo hunc locum, ex MSS. omnibus, καὶ σὺν αὐτοῖς ἀνελὼν τοὺς μνηστῆρας ἀναγνωρίζεται δὲ τῇ ἑαυτοῦ γυναικί, Impress. * Ex Bar. & Grav. 15 Loco eorum, quæ hic de Proteo dicuntur, hæc occurrunt in Bar. & Grav. Ἁρπαγεῖσαν.] (lege ἁρπαγεῖσαν) γινώσκεις ὅτι ἡρπάγη ὑπὸ Θησέως καὶ Ἀλεξάνδρου.

822. Ποθῶν

[a] Ποθῶν δὲ φάσμα πτηνὸν εἰς αἰθέραν [b] φυγὸν,	Requirensque simulacrum alatum, quod in cœlum aufugerat,
Ποίους θαλάσσης οὐκ ἐρευνήσει μυχούς;	Quos non angulos maris scrutabitur?
Ποίαν δὲ χέρσον οὐκ ἀνιχνεύσει μολών;	Quam non terram investigatum ibit?
Ἐπόψεται μὲν πρῶτα Τυφῶνος σκοπὰς,	Videbit primùm Typhonis scopulos,
Καὶ [c] πέμπελον γραῖαν μαρμαρουμένην δέμας,	Et Anum capularem factam marmoream,
Καὶ τὰς Ἐρεμβῶν [d] ναυάταις [e] ἰχθυμβόρας	Et Eremborum nautis piscata
Προβλῆτας ἀκτάς. Ὄψεται δὲ τλήμονος	Prominentia litora. Videbit deinde miseræ
Μύῤῥας ἐρυμνὸν ἄστυ, τῆς μογοστόκους	Myrrhæ munitam Urbem, cujus puerperas
Ὠδῖνας ἐξέλυσε δενδρώδης κλάδος·	Ægritudines exsolvit arboreus cortex:
Καὶ τὸν θεᾷ κλαυσθέντα Γαύαντος τάφον	Et Gavantis sepulcrum à Musis perditi,

VARIANTES LECTIONES.

a Πεθῶν Seld. ibi tamen ε superscripsit eadem, ut videtur, manus. b Φυγὼν Bar. c Πέμπτον Seld. d Al. ναυβάταις. f Al. ἰχθυόμενος.

822. Ποθῶν δὲ φάσμα.] τινές φασιν ἐνταῦθα περὶ τοῦ εἰδώλου λέγειν τῆς Ἑλένης, τοῦ δοθέντος παρὰ τοῦ Πρωτέως τῷ Ἀλεξάνδρῳ ἀνθ' Ἑλένης αὐτῆς· ἐγὼ * δὲ * φημὶ οὐ καλῶς αὐτοὺς λέγειν· οὐ γὰρ τὸ εἴδωλον, τὸ παρὰ Πρωτέως δοθὲν, πέφευγεν εἰς τὸν αἰθέρα· ἀλλὰ περὶ τοῦ συμβάντος ὕστερον τῇ Ἑλένῃ φησὶν, ὡς Εὐριπίδης ἐν Ὀρέστῃ διδάσκει· κρατηθεῖσαν γὰρ ὑπὸ Πυλάδου καὶ Ὀρέστου τοῦ Ἀγαμέμνονος, καὶ μελλουσαν σφαγιασθῆναι, διὰ τὸ μὴ βοηθῆσαι αὐτῷ τὸν Μενέλαον διὰ τὴν αὐτοῦ ἀπουσίαν, ἁρπάξας αὐτὴν Ἀπόλλων, ἀνήγαγε περὶ τὸν Δία, καὶ φαίνεται Μενελάῳ καὶ Ὀρέστῃ εἰδωλοειδῶς ἀνιπτάμενον αὐτήν. Ἡ δὲ ἔννοια οὕτως· Ὁ δὲ Μενέλαος τόδε καὶ τόδε ποιῶν, ποθῶν δὲ, δηλονότι ὕστερον, τὸ εἴδωλον τῆς Ἑλένης, τὸ ἀναχθὲν εἰς οὐρανὸν ὑπ' Ἀπόλλωνος, ποίους θαλάσσης οὐκ ἐρευνήσει μυχούς; καὶ ἐν τούτῳ ὁ Λυκόφρων ἀσάφειαν ἐργάζεται, τὰ ὕστερα τοῖς πρώτοις μιγνὺς, καὶ τὰ πρῶτα τοῖς ὑστέροις.

825. Ἐπόψεται μὲν πρῶτα.] θεάσεται πρῶτον τὰ Ἄριμα, ὄρη τῆς [1] Κιλικίας, ὅπου Πίνδαρος, καὶ Ὅμηρος φασὶν εἶναι τὸν Τυφῶνα. * Ὅμηρος φησὶν οὕτως,

Εἰν' Ἀρίμοις ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς. *

826. Καὶ πέμπελον γραῖαν.] καὶ τὴν πάγγηρων γραῖαν, τὴν ἀπολιθωθεῖσαν· ἀπὸ δὲ μέρους, καὶ τὰ περιεχόμενα τῆς Κύπρου ὑποσημαίνεται· φέρεται γὰρ ἱστορία, ὅτι Ἀφροδίτη ὀργισθεῖσα τοῖς θεοῖς, (τινές φασι διὰ τὸ συλλαβεῖν τὸν Ἥφαιστον Ἄρεϊ συγκατακειμένην) ὑπεχώρησε περὶ Κύπρον, κἀκεῖ διέτριβε περὶ τὸ Καυκάσιον ὄρος. οἱ δὲ θεοὶ ἐρευνῶντες αὐτὴν, ἐκεῖσε εὗρον αὐτὴν, γραῦς ὑποδειξάσης τὸν τόπον, ἔνθα ἦν κεκρυμμένη, ἐρωτηθείσης παρὰ τῶν θεῶν, εἰ οἶδε ποῦ ἐστιν Ἀφροδίτη, ἣν Ἀφροδίτη ὀργισθεῖσα ἐμαρμάρωσε, καὶ μέχρι τοῦ νῦν ἵσταται ἡ στήλη αὐτῆς ἐκεῖσε.

827. Καὶ [a] τὰς Ἐρεμβῶν.] Ἑλλάνικός φησι, τοὺς Ἐρεμβοὺς περὶ τὰς τοῦ Νείλου ῥοὰς οἰκεῖν· γένος δὲ Ἀράβων εἰσὶν οἱ Ἐρεμβοὶ, οἱ καὶ Τρωγλοδύται, καὶ Ἰχθυοφάγοι καλούμενοι, ὧν τὸν βίον πλατέως ὁ Διόδωρος γράφει. Ἐρεμβοὶ δὲ λέγονται, ὅτι ἐν τῇ ἔρᾳ, ἤτοι τῇ γῇ, βαίνουσιν, ὑπὸ γὰρ [a] τὴν * γῆν καὶ τρώγλας οἰκοῦσιν.

829. Μύῤῥας ἐρυμνὸν ἄστυ.] τὴν Βύβλον λέγει, ἥτις ἐστὶ πόλις τῆς Φοινίκης. Μύῤῥα δὲ Θείαντος θυγάτηρ ἐγένετο· αὕτη ἐρασθεῖσα τοῦ πατρὸς, καὶ λάθρα μιγεῖσα αὐτῷ, καὶ ἔγκυος γενομένη, αἰσθομένη τοῦτο τοῦ πατρὸς, ηὔξατο τοῖς θεοῖς εἰς ἑτέραν φύσιν μεταλλαγῆναι, ἤτοι μήτε μετὰ ζώντων εἶναι, μήτε μετὰ τεθνεώτων· ὅθεν εἰς δένδρον αὐτὴν μετέβαλον, τὸ ἀπ' αὐτῆς λεγόμενον μύῤῥαν, ἤτοι σμύρναν Αἰολικῶς, ὅθεν καὶ τὸ μύρον καλεῖται· μὴ γὰρ ὡς οἱ μωροὶ, καὶ σὺ τὴν μύῤῥαν μυῤῥίνην, ἤτοι μυρσίνην, [3] νόσης. Οὕτω μεταβληθείσης αὐτῆς εἰς μύῤῥαν, ἐφεστῶτος τοῦ χρόνου τοῦ τοκετοῦ, διαῤῥηγνύντος τοῦ φλοιοῦ ἀπεκύησε τὸν Ἄδωνιν, ὃν ἰδοῦσα ἡ Ἀφροδίτη ἐφίλησε, καὶ ἀνδρωθέντα ἐραστὴν ἔσχεν.

831. Γαύαντος.] ὁ Ἄδωνις Γαύας παρὰ Κυπρίοις καλεῖται. Ἄδωνις δὲ ὁ Κύπριος, κατά τινας, Κινύρου παῖς ἦν, τοῦ Κυπρίων βασιλέως, καὶ ὁ Θείαντος, ἐξ οὗ Ἀφροδίτη γενέσθαι Πείσανον λευκὸν, καὶ βαθυαίδειον, καὶ γὰρ Ἥρα εἴκελον ἔδωκε αὐτὴν [4] μεμαγευμένη χρυσῷ ἀφαιρεθὲν, ἐποίησε τοῦτον γεννῆσαι. Καὶ τὸν θεᾷ κλαυσθέντα.] αἱ Μοῦσαι τῇ περὶ Ἀφροδίτην ὀργῇ φερόμεναι, ὅτι πολλὰς αὐτῶν εἰς ἔρωτας κινήσασα, ὑπεῖσεν ἀνδράσι μιγῆναι, καὶ τεκεῖν, οἷον Καλλιόπην ἐξ Οἰάγρου τεκεῖν Ὀρφέα καὶ Κυμόθοην, Τερψιχόρην ἐκ Στρυμόνος Ῥῆσον, Κλειὼ δὲ ἐκ Μάγνητος Λίνον, τὸν ἐρώμενον αὐτῇ Ἄδωνιν ἀπώλεσαν· μέλος γὰρ κυνηγέσιας ἦσαν τερπνὸν, καὶ τὸν ἐραστὴν Ἀφροδίτης Ἄδωνιν ἀκούσαντα ποιήσασαι χαμαιθῆναι, [5] ὥρμησαν ἐπὶ κυνηγέσιον· Ἄρης δὲ ὁ θεὸς ἀντεραστὴς ὢν Ἀφροδίτης, εἴτε μεταμορφώσας ἑαυτὸν εἰς χοίρου μορφὴν, εἴτε περὶ χοῖρον ὁρμήσαντα τὸν Ἄδωνιν ἐναντίος * αὐτὸς * ἐλθὼν, αὐτὸν ἀναιρεῖ· καὶ τὸ μὲν Ἀδώνιδος αἷμα καταῤῥεύσαν, τὴν ἀνεμώνην λευκὴν οὖσαν πρότερον, ἐρυθρὰν ἀπεργάσατο, περὶ γὰρ ἀνεμώνην τὸν Ἄδωνιν πεσεῖν ἔτυχεν. Ἀφροδίτη δὲ τὸ πάθος μαθοῦσα, γυμνοῖς περιτρέχουσα τοῖς ποσὶν, ἐλεεινὸν ὠλοφύρετο· ἀκάνθαις δὲ καὶ αὐτὴ ῥοδωνιᾶς ἐμπεσοῦσα, τῷ καταῤῥεύσαντι αἵματι τὸ ῥόδον ἐρυθρὸν ἀπειργάσατο.

EMENDATIONES.

* Ex MSS. utroque. 1 Σικελίας Bar. & Grav. * Hæc emendate adjeci ex Bar. 2 Τὰς, pro τοὺς, ex MSS. utroque, & ipso Tzetzæ textu. * Ex Grav. 3 Νοήσῃς, pro νομίσῃς, ex MSS. omnibus. 4 Μεμαγευμένη, pro μεμαγευμένην, ex Grav. 5 Ὥρμησαν, pro ὥρμησεν, ex MSS. omnibus. * Ex MSS. omnibus.

832. Σχεῖνις,

Σχοινίδι μυσόφθαρτον, Αρέντα, Ξένη,
[a] Κρατῆρι λευκῷ τόν ποτ' [b] ἔκτανε πλέας.
Επόψεται δὲ [c] τύρσιας [d] Κηφηΐδας,
Καὶ Λαφρίου [e] λακτίσμαθ' [f] Ερμείου ποδὸς,
Διοσάς τε πέτρας, κέπφος αἷς [g] προσήλατο
Δαιτὸς χατίζων· ἀντὶ θηλείας δ' ἔθη
Τὸν χρυσόπατρον μόρφνον ἁρπάσας γνάθοις,

Schœnidi defletum Deæ, Arentæ, Hoſpitæ,
Quem dente quondam albo aper occidit.
Videbit quoque Turres Cephei,
Et Laphrii Calcitratus Mercurialis pedis,
Geminaque ſaxa, ad quæ Cepphus aſſiliit
Dapis egens; pro virgine autem Aquilam
Aurigenam maxillis rapiens diſceſſit,

VARIANTES LECTIONES

a Κρατῆρι Seld. Et hanc lectionem MSS Scholia utriuſque Codicis defendunt. b Εκτανε Seld. c Τύρσιας MSS. uterque, & alii. d Κηφηΐδας al. e Λακτίσματ' MSS. uterque. f Ερμαίου Bar. aliique Ερμείου Seld. aliique. Et hanc lectionem habent MSS. Scholia Codicis utriuſque. g Περιέπταθ' Bar aliique.

832. Σχοινὶς, Αρέντα, καὶ Ξένα.] Αφροδίτης ἐπίθετα, ὅτι ὁ χοῖρος βοτάνη σχοινίδι, τοὺς ὀδόντας μὲν καθαίρει, κινεῖ δὲ καὶ πρὸς Αφροδίσια. Αρέντα δὲ λέγεται, ὅτι δύο ξένους ἁρμόζει πρὸς μίαν συνάφειαν γαμικήν· Ξένη δὲ, ὅτι φιλοξενεῖ. Η δὲ σύνταξις οὕτως· Επόψεται ὁ Μενέλαος τόδε καὶ τόδε, καὶ τὸν τάφον τοῦ Γαυάντος τὸν μυσόφθαρτον, ἀδελφικῶς τὸν Αδωνιν, τὸν κλαυθέντα καὶ θρηνηθέντα τῇ [1] Αφροδίτῃ τῇ τοιᾷδε καὶ τοιᾷδε, ὅντινα ποτὲ Αδωνιν ἔκτανε ὁ πέλας κάπρος ἐν κρατῆρι καὶ ὀδόντι λευκῷ. Εκ δὲ τοῦ εἰπεῖν, ὅτι ἐπόψεται τάφον Αδώνιδος, ἢ τὴν Βύβλον, ἢ τὴν Κύπρον· καὶ ἐν τῇ Βύβλῳ γὰρ ἦν Αδωνις, καὶ ἐν τῇ Κύπρῳ ἕτερος Αδωνις ὁ Κινύρου, ἄμφω ἀκριβῶς πολὺς οὐκ εἰδότες, συγχέουσι τοὺς νέους, τινὲς οἱ μὴ γινώσκοντες [2] τὴν Μύῤῥας Αδωνιν Βύβλιον εἶναι, τὴν δὲ, ὃν εἴπομεν, Κύπριον, νοοῦσι Αδώνιδος, τὴν Κύπρον φασίν. * Εστι δὲ καὶ τοῦτο κατάπλασμα, τὸ τάφον μυσόφθαρτον λέγειν· ὁ γὰρ ὗς ὁ τάφος, ἀλλ' ὁ Αδωνις ὑπὸ Μουσῶν ἐφθάρη. *

834. Επόψεται δέ.] Θεάσεται δὲ καὶ τὴν Αἰθιοπίαν, τύρσιας γὰρ Κηφηΐδας, τὰ τείχη καὶ τὰς πόλεις λέγει τοῦ Κηφέως· ὁ δὲ Κηφεὺς, ὁ τῆς Ανδρομέδας πατὴρ, βασιλεὺς ἦν Αἰθιόπων. Πέρσας δὲ, μὴ γράφε Κηφηΐδας, ὡς οἱ πολλοὶ, λέγοντες Κηφῆνας, τοὺς Αἰθίοπας λέγεσθαι· [3] ἀλλὰ Κηφηΐδας πύργους, ἀπὸ τοῦ Κηφέως Κηφῆος Κηφηΐδας, καὶ ἐκλάσει Κηφηΐδας, ὡς Χρυσηΐδας. [4] Ηρόδοτος Κηφῆνας, καὶ Αρταίους, ἔθνη Περσῶν εἶναι λέγει, ἐκ Αἰθιόπων.

835. Καὶ Λαφρίου.] Λάφριος, ὁ φιλόξενος, λέγει δὲ τοῦ Ερμοῦ· Ερμῆς γὰρ φυλάττων ἐν Αἰθιοπίᾳ βουλῇ τοῦ Διὸς τὴν Ιὼ, ἵνα μὴ ὑπὸ τῆς Ηρας βλαβῇ, διψήσας ἐλάκτισε τὴν γῆν· καὶ ἀνέδωκεν ὕδωρ, ὅθεν ἐκεῖ ὁ τόπος Πτέρνα Ερμοῦ καλεῖται, ὡς Πηγάσου κρήνη, καὶ Σκάμανδρος ποταμός. Ερμαίου] οἱ μὲν πάντες τὸ μαι δίφθογγον γράφουσιν, ὡς ἔοικεν, οὐκ εἰδότες διαφοράν· ἐγὼ δὲ ἕρμα, ἕρμαιον, τὸ εὕρημα, καὶ ὁ γενικὴ ἑρμαίου, τοῦ εὑρήματος, "δίφθογγον γράφω" Ερμείου δὲ ποδὸς, τοῦ Ερμαϊκοῦ, ψιλὸν, ὅτι ἐκθλίψει τοῦ ἰῶτα γέγονεν.

836. Διοσάς τε πέτρας.] Κηφέως, τοῦ Αἰθιόπων βασιλέως, καὶ Κασσιεπείας γίνεται παῖς Ανδρομέδα· ἐριζούσης δὲ τῆς [5] Κασσιεπείας περὶ κάλλους τῇ Ηρᾳ, ἢ, καθ' ἑτέρους, ταῖς Νηρηΐσιν, ὁ Ποσειδῶν αὐτῶν παρακλήσει ἐπέμψε κῆτος, ὃ τὴν Αἰθιοπίαν ἐλυμαίνετο· χρησμῷ δὲ ὁ Κηφεὺς τὴν ἑαυτοῦ θυγατέρα, τὴν Ανδρομέδαν, πρὸς βορὰν ἔδωκεν ἐκείνῳ τῷ κήτει, καὶ περὶ πέλαν Αἰθιοπίας, Ιόπην, δεσμοῖς σιδηροῖς δεσμοῦσιν αὐτὴν παρά τινας πέτρας. Περσεὺς δὲ τότε καρατομήσας τὴν [6] Γοργόνα, περὶ τούσδε τοὺς τόπους διήρχετο, καὶ τὴν Ανδρομέδαν οἰκτείρας, δείκνυσι τὴν κεφαλὴν τῆς Γοργόνος τῷ κήτει, καὶ ἅμα ἐλκύσας τὸ [7] λογχοδρέπανον, ὃ μὲν μέρος τοῦ κήτους ἐποίησε λίθινον, ὃ δὲ ἀπέκοψε, καὶ τὴν κόρην ῥυσάμενος ἔγημεν· ὅτι δὲ περὶ Ιόπην τὰ κατ' Ανδρομέδαν γέγονεν Αριστείδης τε μαρτυρεῖ, καὶ Λιβάνιος, καὶ Προκόπιος, καὶ [8] Ιώσηπος, καὶ τις ἀπ' αὐτῶν οὕτως λέγει, "Πόλις Ιόπη, τῆς Ανδρομέδας τὸ "δεσμωτήριον. Αλλος δέ τις πάλιν φησίν, ὅτι ἐκεῖ ὁ Ιὼ τὴν Αργον νικήσασα, ἄνθρωπος γέγονεν. * Ο κέπφος, ζῶον ἐστὶ θαλάσσιον, πτερωτόν. ἀφρόν· νῦν δὲ καταχρηστικῶς κέπφος τὸ κῆτος λέγεται. *

838. Τὸν χρυσόπατρον.] τὸν Περσέα. Η δὲ ἱστορία τοιαύτη· Ακρισίῳ, τῷ Αργείων βασιλέως, καὶ Εὐρυδίκης, τῆς Εὐρώτου θυγατρὸς, γίνεται θυγάτηρ Δανάη, ἣν Ακρίσιος ὁ πατὴρ σιδηροῦν ποιήσας θάλαμον ἐνέκλεισεν, ὅπως τούτῳ τῷ τρόπῳ μείνῃ παρθένος· ἐκ χρησμοῦ γὰρ ἤκουσε, ἀναιρεθῆναι ὑπὸ τοῦ ἐξ αὐτῆς γεννηθέντος. Ζεὺς δὲ, ὡς λέγουσιν, εἰς χρυσὸν μεταστρέψας αὐτὸν, χυθεὶς διά τινος ὀπῆς, ἐμίγη αὐτῇ, ἣ δὲ ἐν γαστρὶ ἔσχε τὸν Περσέα· ὅπερ γνοὺς ὁ ταύτης πατὴρ, ἀνέμενε ταύτην τεκεῖν, τεκοῦσαν δὲ σὺν τῷ βρέφει ἐμβαλὼν αὐτὴν λάρνακι ξυλίνῃ, εἰς τὴν ὑποκειμένην ἔῤῥιψε θάλασσαν, ἥτις περὶ Σέριφον νῆσον ἐξωκείλη, μίαν οὖσαν τῶν Κυκλάδων, ἧς ἐβασίλευε [9] Πολυδέκτης, υἱὸς Ποσειδῶνος καὶ Κηρεβίας, ἀδελφὸν ἔχων Δίκτυν, ὃς Δίκτυς, ὡς ἴδιον παῖδα τὸν Περσέα ἐπαιδαγώγει, καὶ τῆς Δανάης ἐπεμελεῖτο· ὁ δὲ Πολυδέκτης ἐβιάζε τὴν Δανάην, μὴ δυνάμενος δὲ συγγενέσθαι αὐτῇ, τοῦ Περσέως ἤδη πρὸς ἥβην ἐλαύνοντος, πλάττεται ὡς ἵππων χρείαν ἔχει πρὸς γάμον Ιπποδαμείας τῆς Οἰνομάου· καὶ ἄλλον ἄλλο τῶν φίλων αἰτεῖ, Περσέα δὲ

EMENDATIONES.

1 Αφροδίτῃ τῇ τοιᾷδε καὶ τοιᾷδε, pro Αφροδίτῃ τοιᾷδε καὶ τοιᾷδε, ex Seld. Hujuſque emendationis ratio cuivis facile conſtabit, qui Poetæ textum cum Scholiaſta conferre dignabitur. 2 Τὴν Μύῤῥας Αδωνιν, pro τῆς Μύῤῥας, Αδωνιν, ex MSS. omnibus. * Hoc adjeci ex Seld. 3 Αλλὰ Κηφηΐδας τύρσεις, lego cum MSS. utroque. ἀλλὰ Κηφηΐδας· τύρσεις Impreſſ. ubi Nic. Gerbelius ait, Locus mutilus & corruptus eſſe videtur, atque nonnihil deeſſe. Ego vero nihil deeſſe exiſtimo, ſed perversâ diſtinctione, ut ſæpe alias fit, corruptum eſſe. 4 Hæc Herodoti in Impreſſ. paulo ante, in media ſententia confuſe legebantur, Ego vero in locum, ut videtur, proprium reſtitui, ſecutus MSS. Codd. * Hoc adjeci ex MSS. omnibus. 5 Κασσιεπείας, pro Κασσιοπείας, ex Seld. & emendatione Nic. Gerbelii. Κασσιεπείας Grav. 6 Γοργόνα, pro Γοργόνην, ex Seld. eandemque mutationem, aliis in locis feci, nimis auctoritate utriuſque MSS. Satis autem ſit hoc ſemel monuiſſe. 7 Λογχοδρέπανον. pro λογχοδρέπανον, ex Bar. & Grav. Cæterum per λογχοδρέπανον vult haſtam falcatam, quo modo ξιφοδρέπανον enſem falcatum denotare vult Heſychius, Ξιφοδρέπανον, ὁ λεγόμενος ἅρπη ἐστιν. Dixit etiam aliquis δορυδρέπανον. Eandem etiam mutationem infra faciam, eorundem Codicum auctoritate fretus. 8 Ιώσηπος, ut & ſupra aliquoties, poſui, pro Ιώσηππος cum duplici π, MSS. utroque id ſuadente. * Hæc ex Bar. & Grav. deprompſi. 9 Πολυδέκτης, pro Πολυδεύκτης, Ex Seld. Et eandem emendationem infra faciam, uno interdum, & utroque ſæpe Codd. MSS. id ſuadente. Nam in hac voce Codex Baroccianus ſibi minus conſtat.

Τὸν ᵃ ἡπατουργὸν, ἄρσεν', ἀρβυλόπτερον·
Πεφήσεται δὲ τοῦ θεριστῆρος ξυρῷ
ᵇ Φάλαινα δυσμίσητος ἐξινωμένη,
ᶜ Ἱπποβρότους ὠδῖνας οἴξαντος τόκων
Τῆς δειροπαίδος, μαρμαρώπιδος γαλῆς·

Jecinorum dissectricem, masculam, pennipedem:
Interficietur autem novacula Messoris
Balæna invisa enervata,
Equihominis qui aperuit parituras
Ex collo parientis Mustelæ saxificæ:

VARIANTES LECTIONES.
a Ἡπατουργὸν Seld. b Al. φάλλαινα. c Al. ἱπποβρώτους.

σία δὲ πέμπει ἐπὶ Γοργόνας, δειροτομῆσαι τὴν Μέδουσαν, καὶ τὴν κεφαλὴν αὐτῷ ἐνεγκεῖν, ὅπως τῇ Ἱπποδαμείᾳ δοίη· τοῦτο δὲ ἐπραγματεύσατο, ὅπως τοῦ Περσέως ὑπὸ Γοργόνων ἀναιρεθέντος, αὐτὸς ἀδεῶς τῇ Δανάῃ συγγίνοιτο. Ταῦτα δὲ λῆρος, Πολυδέκτης γὰρ πρὸς τὸν γάμον πρότερον Ἱπποδαμείας. τὸ δ' ἀληθὲς οὕτως ἔχει· τινὲς μυθικώτερον, ἀλληγορικωτέρως δὲ εἶπον κατ' ἀρχὰς, ὅτι μὲν ἐβίαζε Πολυδέκτης Δανάην, ᾔδει καὶ ὁ Περσεύς. ἐπεὶ δὲ ἡ Μέδουσα, ¹ γυνὴ οὖσα Ποσειδῶνος, τῇ Ἀθηνᾷ περὶ κάλλους ἀντήριζεν, Ἀθηνᾶ τὸν Περσέα κατ' αὐτῆς ἔπεμψεν, ὑποσχέσθαι καὶ ὑποδείξασα τούτῳ ἐν ζωγραφίαις τὴν Γοργόνα περὶ πόλιν τὴν Σάμου Δεικτήριον καλουμένην, ὑπὸ τῆς ὑποδειχθείσης ταύτης αὐτῷ. ἐλθὼν δὲ περὶ τὰς Φορκίδας, πρῶτον τήν τε Πεφρηδὼ, καὶ τὴν Ἐνυὼ, τὰς ἐκ γενετῆς γραίας, ἀδελφὰς δὲ τῶν Γοργόνων, ἔλαβε παρ' αὐτῶν τὸν ἕνα ὀφθαλμὸν αὐτῶν, καὶ τὸν ἕνα ὀδόντα, ὃν μόνον εἶχον κατ' ἀμοιβὴν, καὶ οὐ πρότερον αὐταῖς ταῦτα ἔδωκεν, ἕως ὡδήγησαν αὐτὸν πρὸς Νύμφας· καὶ λαβὼν τὰ πτερωτὰ τῶν Νυμφῶν πέδιλα, ² κίβισιν, ἤτοι πήραν, ἢ κεστὸν, καὶ τὴν κυνῆν τοῦ Ἅιδου, καὶ παρὰ Ἑρμοῦ ἀδαμαντίνην ἅρπην ἔχων, καὶ παρὰ τῆς Ἀθηνᾶς κάτοπτρον, πετόμενος ἦλθεν ἐπ' αὐτὰς τὰς Γοργόνας ἐπ' Ὠκεανὸν οὔσας, τὸν περὶ πόλιν Ἰβηρίας, τὴν Ταρτησσὸν, αἵτινες δρακοντοφολίδας εἶχον κεφαλὰς, ³ συῶν ὀδόντας ⁴ μεγάλους, χεῖρας χαλκᾶς, καὶ πτέρυγας, αἷς ἐπέτοντο· ἕως γοῦν πετόμενος ἐπ' αὐτὰς ἐλθὼν, καὶ κοιμωμένας εὑρὼν, καρατομεῖ τὴν Μέδουσαν εἰς τὸ κάτοπτρον βλέπων, οὐ πρὸς αὐτὴν, ἢ γὰρ ἂν ἀπελιθώθη ταύτην ἰδών· αἱ δὲ λοιπαὶ αὐτῆς ἀδελφαὶ θρηνοῦν μέχρι ἐδίωκον, ⁵ ἐκ τῶν ὀφιωδῶν αὐτῶν κεφαλῶν ἐκπέμπουσαι συριγμὸν, ἐξ οὗπερ Ἀθηνᾶ, κατὰ Πίνδαρον, τὸν αὐλητικὸν καλούμενον πολυκέφαλον εὗρε νόμον. Περσεὺς δὲ τότε τῇ πήρᾳ τὴν κεφαλὴν θεὶς, καὶ κατὰ νώτου φέρων αὐτὴν, ἐπορεύετο· ἐλθὼν δὲ καὶ πρὸς Αἰθιοπίαν, ὡς ἔφην, τὴν Ἀνδρομέδαν τοῦ κήτους ἐξέσωσε, καὶ λαβὼν γυναῖκα, ἔσχε παῖδα Πέρσην ἐξ αὐτῆς, καὶ καταλείπει παρὰ Κηφεῖ· τὸν δὲ Κηφέως ἀδελφὸν, Φινέα, προμνηστευσάμενον Ἀνδρομέδαν, καὶ αὐτῷ ἐπιβουλεύοντα, ἀπελίθωσε, δείξας τὴν Γοργόνα, αὐτὸς δὲ σὺν Ἀνδρομέδᾳ εἰς Σέριφον παραγίνεται· εὑρὼν δὲ τὴν μητέρα μετὰ τοῦ Δίκτυος προσπεφευγυῖαν ἐν τῷ ναῷ διὰ Πολυδέκτην, ἐλθὼν περὶ τὴν οἰκίαν τοῦ Πολυδέκτου, καὶ συμπόσιον λαμπρὸν ἐφορῶν, δείξας τὴν Γοργόνα πάντας ἐλίθωσε, τὴν δὲ βασιλείαν ⁶ Δίκτυϊ δίδωσι· τὰ δὲ τῶν Νυμφῶν πέδιλα, καὶ τὴν Ἅιδου κυνῆν Ἑρμῆς παρ' αὐτοῦ λαβὼν, ταῖς ἰδίαις δεσπότισιν ἀπέδωκε· τὴν δὲ κεφαλὴν τῆς Γοργόνος Περσεὺς παρέσχε τῇ Ἀθηνᾷ, ἡ δὲ πρὸς τὸ μέσον τῆς ἰδίας ἀσπίδος ταύτην ἐνέπηξεν· ἄλλοι δέ φασιν, ὅτι ἐπὶ τοῦ κόσμου, ὃ περὶ τὸ στῆθος εἶχε, ταύτην ἐνέπηξεν, ὅθεν ἀπὸ τῆς Γοργόνος καὶ ὁ ἐπιστήθιος ἐκεῖνος τῆς Ἀθηνᾶς κόσμος, Γοργόνειον ἐκλήθη· Περσεὺς δὲ σὺν Ἀνδρομέδᾳ, καὶ τῇ μητρὶ Δανάῃ, ἔσπευδεν εἰς Ἄργος ἐλθεῖν πρὸς θέαν Ἀκρισίου, Ἀκρίσιος δὲ τὸν χρησμὸν δεδοικὼς, εἰς Πελασγίαν ἐχώρησεν. Τευταμίδου δὲ, τοῦ Λαρισσαίων βασιλέως, πένταθλον θέντος ἐπὶ τῇ τοῦ πατρὸς τελευτῇ, Περσεὺς ἀγωνιζόμενος δίσκῳ βαλὼν τὸν Ἀκρισίου πόδα, ἄκων αὐτὸν ἀναιρεῖ, καὶ πενθήσας ἔθαψεν αὐτὸν ἔξω τῆς πόλεως· πρὸς δὲ Μεγαπένθην, τὸν Προίτου, ἐλθὼν, αὐτῷ μὲν ἔδωκεν ἰδίαν βασιλείαν, τὴν τοῦ Ἄργους ἀρχὴν, αὐτὸς δ' ὁ Περσεὺς τὴν Τίρυνθα κατέσχε, τὴν ἐκείνου βασιλείαν· περιετείχισε δὲ Μίδειαν, καὶ ⁷ Μυκήνας, ἔνθα καὶ ἑτέρους παῖδας ἐξ Ἀνδρομέδας γεννᾷ, ⁸ Ἀλκαῖον, Σθένελον, Ἕλειον, Μήστορα, Ἠλεκτρύωνα, καὶ Γοργοφόνην, τοῦ ἑτέρου υἱοῦ αὐτοῦ Πέρσου καταλειφθέντος, ὡς εἴπομεν, ἐν Αἰθιοπίᾳ παρὰ τῷ πάππῳ Κηφεῖ. Ἁρπάσας γνάθοις] ληρεῖ, φλυαρεῖ, μὴ γινώσκων τί γράφει, ὡς καὶ τὸ Ἡπατουργόν· οὐ γὰρ τὸν Περσέα τὸ κῆτος κατέπιεν, ὥσπερ Ἡρακλέα· ὡς ἔοικε δὲ, οἰνοβαρῶν ὁ Λυκόφρων ἐκ τῶν Πτολεμαίου τρυφῶν, καὶ δωρημάτων, τὴν ἱστορίαν Ἡρακλέους, * καὶ τὴν * κατὰ τὴν Ἡσιόνην κήτους, ἐπὶ Περσέα καὶ Ἀνδρομέδαν μετήνεγκεν.

839. * Ἄρσενα.] γενναῖον. * Ἀρβυλόπτερον.] ἐλέχθη ὅτι πτερωτὰ ὑποδήματα τῶν Νυμφῶν εἶχεν· ἀρβύλη δὲ, εἶδος ὑποδήματος. Περσεὺς κατάγει τὸ γένος ἐξ Ἄβαντος· Ἄβαντος γὰρ Προῖτος, καὶ Ἀκρίσιος· Ἀκρισίου Δανάη· Δανάης καὶ Διὸς Περσεύς· Περσέως Ἀλκαῖος, καὶ οἱ λοιποί· Ἀλκαίου Ἀμφιτρύων· Ἠλεκτρύωνος Ἀλκμήνη· Ἀλκμήνης Ἡρακλῆς, καὶ Ἰφικλῆς, ἐξ οὗ Ἰόλαος.

840. Θεριστῆρος ξυροῦ.] ξίφους.

842. Ἱπποβρότους ὠδῖνας.] καρατομηθείσης τῆς Γοργόνος παρὰ Περσέως, ἐκ τοῦ τραχήλου αὐτῆς ἐξέθορον ἄνθρωπος μὲν ὁ Χρυσάωρ, ἵππος δὲ ὁ Πήγασος, * ὃ παρ. ἐπελαθόμην ἐν τῷ οἰκείῳ τόπῳ εἰπεῖν. *

843. Δειρόπαιδος γαλῆς.] τῆς γαλῆς τῆς παιδούσης καὶ παῖδας τικτούσης ἐκ τοῦ τραχήλου, ἡ γὰρ ⁹ θαλασσία γαλῆ ἐκ τοῦ τραχήλου γεννᾷ· νῦν δὲ τὴν Μέδουσαν εἶπε Γοργόνα, διὰ τὸ μετὰ τὴν καρατομίαν τεκεῖν, ὡς εἴπομεν, Χρυσάορα, καὶ τὸν Πήγασον. Μαρμαρώπιδα δὲ, διὰ τὸ ἀπολιθοῦν τοὺς ὁρῶντας αὐτήν. Καὶ ταῦτα μὲν οὕτω· τὸ δ' ἐνταῦθα σύμπαν χωρίον ἀνοήτως ἔγραψεν ὁ Λυκόφρων, εἰ μή τι μικρὸν αὐτοῦ βοηθήσαντες, τὸ δέον ἀναπληρώσομεν· σκοπείτω πᾶς ὁ βουλόμενος, ὅπως ἔχει ἐνταῦθα κακῶς ἡ γραφὴ φησὶ περὶ Μενελάου,

Ἐπόψεται δὲ τύρσιας Κηφηίδας,

καὶ τοῦ Ἑρμοῦ τὰ λακτίσματα, καὶ τὰς δισσὰς πέτρας, ὅπου ὁ θαλάσσιος κύων ἐξῆλθε, χρήζων φαγεῖν Ἀνδρομέδαν, ἀντὶ δὲ τῆς Ἀνδρομέδας ὑποχάνας λαβὼν τὸν Περσέα τὸν ἡπατουργὸν,

EMENDATIONES

1 Θυγάτηρ Bar. Grav. 2 Κίβισιν Seld. κισσὸν Bar. & Grav. sed receptam lectionem tuetur Hesychius &c. 3 Συῶν μεγάλους ὀδόντας Bar. 4 Μεγάλους Bar & Grav. 5 Ἐκ τῶν ὀφιωδῶν αὐτῶν κεφαλῶν, pro ἐκ τῶν κεφαλῶν ὀφιωδῶν αὐτῶν, adjuvantibus MSS. 6 Δίκτυι Grav. 7 Μυκήνας, pro Μυκηνίας, ex fide MSS. utriusque. Et Mycenas à Perseo conditas esse testis est Strabo Geogr. lib. VIII. Αἱ μὲν γὰρ Μυκῆναι ὑπὸ [illegible] ἱδρῦσθαι δ' αὐτὰς Περσέα. Et Pausanias Corinthiacis. Καὶ ὅτι μὲν Περσεὺς ἐγένετο Μυκηνῶν οἰκιστής, ἴσασιν Ἕλληνες. Idem Mideam etiam condidisse fertur; Stephanus Byzantinus, Μίδεα, πόλις ἐν Ἄργει, ἡ νῦν κώμη, ἡ πρότερον Περσέως πόλις. Hanc Μήδειαν corrupte vocat Codex Baroc. 8 Variant hic MSS. Codices in propriis nominibus scribendis, pro Ἐλλεῖον. omnes Ἑλεῖον habent, quod forsan rectius. Deinde pro Γοργοφόνιον, Γοργοφόνην posui etiam ex omnibus. * Hæc supplevi ex Bar. & Grav. sine quibus manca esset, & incongrua hæc sententia. * Hoc habui ex Grav. * Hæc interserui ex Bar. & Grav. 9 Θαλασσία, pro θαλαττίας, ex Bar.

τὸν ἀρ-

Ος ζωοπλαστῶν ἄνδρας ἐξ ἄκρου ποδὸς
Αγαλματώσας ἀμφελυτρώσει [a] πέτρων,
Λαμπτηροκλέπτης τριπλανοῦς [b] ποδηγίας.
Επόψεται δὲ τὰς θερειπότους [c] γύας,
Καὶ ῥεῖθρον Ασβύσταο, καὶ [d] χαμευνάδας
[e] Εὐνὰς, δυσόδμοις θηρσὶ συγκοιμώμενος.
Καὶ πάντα [f] τλήσεθ' εἵνεκ' Αργείας κυνὸς,
Τῆς θηλύπαιδος, καὶ τριάνορος κόρης.

Qui effingens homines ab extrema calce
In statuas convertendo saxis involvet,
Lucernalis fur trivagæ deductionis.
Videbit etiam æstate irrigata arva,
Et Asbystæ fluvium, & humi stratorum
Cubilia, fœtentibus balænis condormiens.
Omniaque feret Argivæ Canis gratia,
Mulierperæ, triconjugis puellæ.

VARIANTES LECTIONES.

a Πέτρῳ legendum existimavit *Gul. Canterus*, πέτρῳ *Scaliger*. b Al. ποδηγίδι. c Al γύας. Quam lectionem habet etiam *Suid.* sed aliquis diphthongum υ isti υ superposuit. d Χαμευνίδας al. e Εὐνὰς δυσόδμοις *Bar.* aliique. f Τλήσεθ' εἵνεκ' *Suid.* aliique. Τλήσεθ' ἕνεκ' Αργείας *Stephanus* Byzantinus. Vide Commentarios.

τὸ ἀρβυλόπτερον· καὶ μέχρι τοῦδε καλῶς πῶς ὁ λόγος ἔχειν δοκεῖ, κἂν καὶ ἐνταυθοῖ ψεύδεται, παραφθείρας τὴν ἱστορίαν· ἀπὸ δὲ τοῦ Περσέως μέχρι τοῦ στίχου τοῦ λέγοντος,

Επόψεται δὲ καὶ θερειπότους γύας,

πάντα σφαλερά, καὶ ἀσύστατος ὅλος ὁ γραφή, καὶ ἄτοπος· Επόψεται ὁ Μενέλαος τοὺς τόπους, ὅπου τάδε γέγονε, καὶ ὅπου τὸν Περσέα ἁρπάσαν τὸ κῆτος ἔδει τότε, σπαράσσεται δὲ καὶ φονευθήσεται νῦν τῷ ξυρῷ τοῦ Περσέως, καὶ τὸ ἐφεξῆς. Ο ζωοπλαστῶν ἄνδρας. ὁρᾷς πῶς ἔχει τὸ [1] ἀσύστατον. φέρε δὲ ἡμεῖς, ὡς δυνατὸν, [2] ἀνακαθάρωμεν [3] τὴν βαθεῖαν τῆς γραφῆς κακίαν, καὶ ἄχρηστον, καὶ ὡς οἷόν τε ἐξομαλίσωμεν, ὅπως ταῦτα τις συντάττων· Επόψεται ὁ Μενέλαος τοὺς τόπους, ὅπου τάδε καὶ τάδε γέγονεν, καὶ ὅπου τὸν Περσέα τὸν τοῖον δὲ * καὶ τοῖον δὲ * ἁρπάσας ὁ κῆτος καὶ τὸ κῆτος ἔδει. Πεφήσεται δὲ, ἀντὶ τοῦ πεφόνευται καὶ ἐφονεύθη ἡ φάλλαινα ἡ δυσμίσητος, ἤτοι τὸ κῆτος αὐτὸ, ἐκκενωθὲν ἐν τῷ ξυρῷ καὶ λογχοδρεπάνῳ τοῦ Περσέως αὐτοῦ, τοῦ σφάξαντος καὶ ἀνοίξαντος τὰς [4] ἱπποβρότους ὠδῖνας τῆς τίκτουσης τὰς ἵππους καὶ μαρμαρώπιδας κάλας, ἤτοι τῆς ἀποκτείναντος τὴν Γοργόνα, καὶ ἐκ τῆς κεφαλοτομίας αὐτῆς ποιήσαντος ἐξελθεῖν Χρυσάορα, καὶ τὸν Πήγασον, ὅς καὶ ὅστις Περσεὺς, ὁ λαμπτηροκλέπτης * καὶ ὀφθαλμοκλέπτης * τῆς τριπλανοῦς ποδηγίας, ζωοπλαστῶν καὶ μεταπλάττων ἀπὸ ζώων τοὺς ἄνδρας, ἤγουν τοὺς ἀνθρώπους, ἀγαλματώσας, ἀντὶ τοῦ ἀγαλματίσας, ἤτοι ἀγάλματα καὶ ἀνδριάντας ἐποίει, ἐν τῇ ἀμφιλυτρώσει καὶ ἐπιπέλυψει τῶν πέτρων.

846. Λαμπτηροκλέπτης.] ὁ μὲν Λυκόφρων φησὶ τῶν Γοργόνων εἶναι τὸν ὀφθαλμὸν, τὸν ὑπὸ Περσέως κλαπέντα· λέγει δὲ, ὅτι ἕνα ὀφθαλμὸν εἶχον, καὶ ἐφύλαττον ἀλλήλας, ὁ δὲ Περσεὺς ἐλθὼν ἐκ τῶν ὄπισθεν, ἐκράτησε τοῦ ὀφθαλμοῦ, καὶ οὕτως ἔκοψε τὴν κεφαλὴν τῆς Γοργόνος· ἐγὼ δὲ εἶπον, ὅτι τῶν Φορκίδων, αἵτινες ἦσαν ἀδελφαὶ τῶν Γοργόνων, περιπλανώμεναι γὰρ αἱ τρεῖς ἐποδήγουν ἀλλήλας ἐναλλὰξ ἕνα ἔχουσαι ὀφθαλμόν. Τριπλανοῦς ποδηγίας.] ὅτι μία παρ' ἑτέρας ἐναλλὰξ χρωμένη τῷ ὀφθαλμῷ, καὶ κατὰ πλάνην καὶ [5] περιφορὰν τὰς λοιπὰς ἐποδήγει.

847. Θερειπότους γύας.] ἀρσενικῶς καὶ θηλυκῶς λέγεται, τοὺς γύας, καὶ τὰς γύας. καὶ μετὰ περισπωμένης ἄπλαστον ἐστὶ τὸ μέλαν, κατὰ γὰρ συλλαβὴν γίνεται διὰ τὸ πεχλιβός· καὶ χαλίναμβος δὲ εἰ ἦν, λέγεται ἐν τῷ ἰαμβικῷ. Γύας δὲ καὶ χώρας θερειπότους, λέγει τὴν Αἴγυπτον· ὁ Νεῖλος γὰρ ἐξερχόμενος ἐν τῷ θέρει, ἀρδεύει αὐτήν· ἐστὶ δὲ ὕστερον τῆς Αἰθιοπίας ἀπὸ τῆς Λιβύης, τινὲς δὲ φασὶν ἐν Λιβύῃ εἶναι τὰς πηγὰς τοῦ Νείλου, ὡς Δῶρος, ἀλλ' οὐκ ἔστι τοῦτο ἀληθές. Ασβύστης δὲ, ἔθνος Λιβυστικὸν, ὡς λέγει Διονύσιος ἐν τῇ Περιηγήσει.

848. Καὶ χαμευνάδας.] * δυσόδμοις, ἢ δυσόδμοις θηρσὶ συγκοιμώμενος. Η δὲ ἱστορία τοιαύτη· * Μενέλαος ἐξωσθεὶς περὶ Αἴγυπτον, πολλῷ χρόνῳ ἐκεῖσε διατρίβων, ἀδημονῶν περὶ τῆς εἰς πατρίδα ἐλεύσεως· ὃν ἰδοῦσα Ειδοθέα, ἡ τοῦ Πρωτέως θυγάτηρ, ἐν Φάρῳ, φησὶ πρὸς αὐτόν· Μενέλαε, εἴπερ βούλει μαθεῖν τὰ περὶ σοῦ νῦν, ἔστι μοι πατὴρ ὁ θαλάσσιος Πρωτεὺς, ὅστις περὶ [6] δείλην ἐκβαίνων ἐκ τῆς θαλάσσης, συγκοιτάζεται ταῖς φώκαις· λαβὼν οὖν καὶ σὺ παρ' ἐμοῦ δέρματα φωκῶν νεοδάρτων, [7] ὑπόδυσον καὶ σὺ, καὶ [8] οἱ γενναιότεροι τῶν σῶν ἑταίρων, καὶ συγκατακλίθητε ταῖς λοιπαῖς φώκαις, ἐλθόντα δὲ τὸν Πρωτέα κατάσχετε, καὶ μηδὲν πτοηθέντες, πρὸς πάντα τοῦτον ὁρῶντες μεταστρεπόμενον, πρὸς ὕδωρ, πρὸς πῦρ, πρὸς ζῶα παντοῖα, ἀλλὰ κατέχοντες ἐρωτήσατε, καὶ ὡς ὑμῖν ἐρεῖ περὶ πάντων σαφέστατα. συγκοιτασθέντες γοῦν ταῖς φώκαις, καὶ τὰ λοιπὰ πάντα ποιήσαντες, ἔμαθον παρὰ τοῦ Πρωτέως περὶ τῆς ὑποστροφῆς, καὶ πάντων, ὧν ἔχρῃζον. Διὰ δὲ τὸ δυσῶδες τῆς φώκης, [9] οὕτος εἶπε τὸ δυσόδμοις, ἢ δυσόδμοις θηρσίν.

850. Τλήσεθ' εἵνεκ.] καὶ τλήσετ' εἵνεκα. τὸ μὲν τλήσεθ' εἵνεκα Αττικὸν, δασύνεται γὰρ τὸ εἵνεκα Αττικῶς· τὸ δὲ τλήσετ' εἵνεκα ψιλοῦται, Ιωνικῶς καὶ Αἰολικῶς· ἐκεῖνοι γὰρ πάντα ψιλοῦσιν, ὡς τὸ Λαύκαππος, ἀπηλιώτης, καὶ τὰ ὅμοια· ταῦτα γὰρ παρ' ἡμῖν δασέως ἐκφέρονται, Λαύχαππος, καὶ ἀφηλιώτης.

851. Τῆς θηλύπαιδος.] τῆς Ελένης, ὡς καὶ Ομηρος φησὶν, Ελένῃ μὲν τεκεῖν οὐδὲν, ἀλλὰ θυγατέρα τὴν Ερμιόνην, κατὰ δὲ

EMENDATIONES.

1 Εναντίον *Bar.* & *Grav.* 2 Ανακαθάρωμεν, pro ἀνακάθαρμα, ex *MSS.* omnibus. 3 Τὴν βαθεῖαν τῆς γραφῆς κακίαν, καὶ ἄχρηστον lege cum *Bar.* & *Grav.* nisi forte malis, τῆς βαθείας τῆς γραφῆς κακίας καὶ ἀχρήστου, quod habet *Suid.* τῆς βαθείας τῆς γραφικῆς, καὶ ἀχρήστου *Impress.* * Ex *Grav.* 4 Ιπποβρότους, pro ἱπποβρότας, ex *Suid.* ἱπποβρότους hic & supra habet *Bar.* * Ex *Grav.* 5 Περιφορὰν, pro περιφοράν, ex *MSS.* omnibus. * Hæc adjeci ex *Bar.* Ultima verba agnoscit etiam *Grav.* 6 Δείλην. pro δίλην, ex *MSS.* omnibus. 7 Υπόδυσον *Grav.* 8 Οἱ γενναιότεροι, pro οἱ νεώτεροι. Cui emendationi ansam præbuerunt *MSS* Codices, qui paullo ante habebant, σὺ δὲ γενναιότεροι παρ' ἐμοῦ δέρματα &c. Et hoc videtur ad *Homeri* mentem propius accedere, apud quem Protei filia Menelaum jubet sociorum, non minimos natu, sed præstantissimos, & fortissimos ad Proteum capiendum sibi comites adjungere; Odyss. δ' v. cccevIII.

— σὺ δ' εὖ κρίνασθαι ἑταίρους
Τρεῖς, οἵ τοι παρὰ νηυσὶν ἐϋσσέλμοισιν ἄριστοι.

9 Οὗτος lego cum *MSS.* ὕτο *Impress.* absurde.

Ἥξει δ᾽ ἀλήτης εἰς Ἰαπύγων στρατόν,	Tum veniet ad Japygum erro exercitum,
Καὶ δῶρ᾽ ἀνάψει παρθένῳ Σκυλητρίᾳ,	Ac dona Virgini suspendet Spoliatrici,
Ταμάσιον κρατῆρα, καὶ βοάγριον,	Æneum craterem, & clypeum bubulum,
Καὶ τὰς δάμαρτος ἀσκέρας εὐμαρίδας.	Atque Uxoris crepidas suæ.
Ἥξει δὲ Σῖριν, καὶ [a] Λακινίου μυχοὺς,	Adibit etiam Sirin, & Lacinii sinus,

VARIANTES LECTIONES.

a Al. Λακίνιον.

Δῖειν, καὶ Ἰφιγένειαν ἐκ Θησέως. Ἄλλοι δέ φασι καὶ Νικόστρατον τεκεῖν, καὶ [1] Ερμιόνην, καὶ Μενέλαον· ἐκ δ᾽ Ἀλεξάνδρου οἱ πλείονες φασὶ τέσσαρας τεκεῖν, Βούνικον, Κόρυθον, Αγανον, καὶ Ἰδαῖον. * Τετράορον.] τὴν πολυάνδρον, ὡς ὅπουδὴ τετράορον αὐτὴν εἶπεν. * Κίσσιν.] κόρη, κυρίως ἡ ἐνθάδε καὶ παρθένος· κατὰ δὲ Μολοσσοὺς, καὶ κατὰ τὴν κοινὴν συνήθειαν, κόρη, ἡ εὔμορφος, ὅθεν καὶ νῦν δηλοῖ· οὐ γὰρ τὴν θηλύπαιδα καὶ πολύανδρον παρθένον λέγει, ἀλλ᾽ εὔμορφον αὐτὴν καλεῖ.

852. Ἥξει δ᾽ ἀλήτης.] ἀπαγγέλλεται δὲ ὁ Μενέλαος πλανώμενος εἰς τὴν χώραν τῶν Ἰαπύγων, ἤτοι Καλαβρῶν· [2] ἡ γὰρ Μεσσαπία, καὶ Ἰαπυγία, ὕστερον Σαλεντία, εἶτα Καλαβρία ἐκλήθη, καθά φησιν ὁ ἱστορικὸς Δίων, ὁ τὰς Ῥωμαίων πράξεις συντάξας· κεῖται δὲ ἡ Καλαβρία περὶ τὸν Ἰόνιον κόλπον, καὶ τὴν Ἀδρίαν.

853. Καὶ δῶρ᾽ ἀνάψει.] καὶ τῇ Ἰαπυγίᾳ, ἤτοι τῇ Καλαβρίᾳ, τῇ σκυλητρίᾳ καὶ πολεμικῇ Ἀθηνᾷ δῶρα δώσει, καὶ καθιερώσει ἀναθήματα, κρατῆρα χαλκοῦν [3] ἀπὸ Τεμέσης, πόλεως Καλαβρίδος, καὶ τὴν ἑαυτοῦ θυρεὸν, ὅπερ τὸ σάκος, καὶ τὰ τῆς Ἑλένης σάνδαλα ὑποδήματα.

854. Ταμάσιον.] Τάμασα, πόλις Καλαβρὶς ἀριστόχαλκος, περὶ ἧς φησιν Ὅμηρος,

Ἐς [4] Ταμάσην μετὰ χαλκὸν, ἄγω δ᾽ αἴθωνα σίδηρον.

Ταύτην δὲ καὶ οἱ βάρβαροι, Καλαβροί τε, καὶ ὕστερον [5] Τάμψαν [6] ἔτι καλοῦσιν, ὥσπερ αἰδούμενοι μεταποιοῦσι καθ᾽ ὁλοκληρίαν τὴν τοῦ Ὁμήρου φωνήν· ὁ δὲ Λυκόφρων ἐκ αἰδεσθεὶς πλὴν ποιητικὴν ἐκείνην φωνὴν, ἤδη τὴν περὶ τὸν ποιητὴν τῶν βαρβάρων αἰδῶ λογισάμενος, βαρβαρώτερος ἐκείνων φανεὶς, πρὸ κατὰ τὴν παροιμίαν, [7] κενὸς τὰ ἔξω ὀδοὺς, Τάμασαν, τὴν [8] Τέμεσαν ἐκάλεσεν. Βοάγριον.] ἀσπίδα, ἐκ δέρματος βοὸς ἀγρίου γεγονυῖαν.

855. Ἀσκέρας εὐμαρίδας.] οὕτως ἀσκέρας τὰ ὑποδήματα * οὐ * καλῶς λέγει· εὐμαρίδας δὲ, τὰς εὐμαρῶς καὶ εὐκόλως ὑποδυομένας περὶ τοὺς πόδας. ἀσκέρας δὲ, κυρίως τὰ ἐν τοῖς ποσὶ πιλία, ἤτοι τὰ ὀρτάλεια, λέγεται. [9] Γίνωσκε, [10] ὦ Λυκόφρον, ὅτι τινὰς μὲν λέξεις ἀπ᾽ Αἰσχύλου κλέπτεις, ἐξ Ἱππώνακτος δὲ πλεῖον, ὀλιγόσημον δὲ ὤν, ὃ μὴ νοῶν ταύτας, [11] ἀλληλουάλλως τίθης, ἀλλ᾽ ἀναμνήσω τοῦτο ἐγὼ τὸν σοφὸν ποιητὴν οὐκ οἶδας, [12] ὦ Λυκόφρον, ὅτι ὅτε σὺ τὴν Ἱππώνακτος κατεῖχες βίβλον, κατόπιν σου ἑστηκὼς ἐγὼ, ἑώρων σε τὰς αὐτοῦ λέξεις ἀναλεγόμενον, [13] καὶ τὸ ἀσκέρας ἐκεῖ εὑρηκὼς, καὶ οὕτω τέθεικας, μὴ προσχὼν, μηδ᾽ εἰς νοῦν ἔχων τὰ ἐντεῦ· ἀλλ᾽ ἄκουε πῶς φησὶν Ἱππῶναξ, καὶ μάθε, ὅτι ἀσκέρας οὐ τὰ ὑποδήματα, ἀλλὰ τὰ πιλία, ἤτοι τὰ ὀρτάλεια, εἰσὶν, ὡς καὶ Ἱππῶναξ,

[14] Ἐμοὶ γὰρ οὐκ ἔδωκας ὅτι [15] τὴν χλαῖναν
Δασεῖαν, ἐν χειμῶνι φάρμακον [16] ῥίγους,
Οὔτ᾽ [17] ἀσκέρῃσι τοὺς πόδας δασείῃσιν
Ἔκρυψας, ὥς μή μοι [18] χίμετλα ῥήγνυται.

Ἔγνως ὅτι διὰ τοῦ εἰπεῖν δασείας τὰς ἀσκέρας, τὰ ὀρτάλεια φησὶν, εἰ δὲ χρεία σοι καὶ ἑτέρας μαρτυρίας, ἄκουσον· Ὦ φίλ᾽ Ἑρμῆ Μαιάδος, Κυλλήνιε. Καὶ μετά τινα φησὶ,

[19] Δὸς χλαῖναν * σφάλλειν * Ἱππώνακτι,
Καὶ κυπασίσκον, καὶ [20] σαμβαλίσκα, [21] κἀσκερίσκα,
Καὶ χρυσοῦ * μοι * στατῆρας ἑξήκοντα
[22] Τοῦ ἑτέρου τοίχου. ———

Ἔγνως πάντως νῦν, ὅτι ἀσκερίσκα τὰ ὀρτάλεια πάντως λέγεται· ἰδοὺ γὰρ ἐν τῷ αὐτῷ καὶ ἑνὶ στίχῳ περὶ ὑποδημάτων εἰπὼν, καὶ περὶ ἀσκερῶν λέγει. Ἥξει δὲ Σῖριν.] Σῖρις, ποταμὸς Ἰταλίας, καὶ πόλις· ἡ δὲ πόλις Σῖρις, νῦν [23] Πολίειον λέγεται, ἀπὸ πόλεως κειμένης ἐμπόρου. Λακινίου μυχούς.] τὸ Λακίνιον, ἀκρωτήριον Κρότωνος, περὶ οὗ φησὶ καὶ Θεόκριτος.

EMENDATIONES.

1 Variant in Helenæ Liberorum nominibus proferendis Codices *MSS.* Sed non est tanti hæc differentia, ut operose sanari debeat; nec, si id vellem facere, satis de veris eorum appellationibus constaret; ne vero officio meo in hac parte deesse videar, variationes hasce apponere non dedignabor. Scias itaque pro Ερμιόνην, *MSS.* utrumque Αθιόναν legere: Αθιόναν in Margine *Grav.* pro Κόρυθον. Κόρυθον *Bar.* & *Grav.* pro Αγανον. Αγαυὸν *Seld.* Αγαυὸν *Bar.* & *Grav.* * Hæc adjeci ex *Bar.* & *Grav.* 2 Ἡ γὰρ Μεσσαπυγία (lege hic, & aliis in locis Μεσσαπία) καὶ Ἰαπυγία, ὕστερον Σαλεντία, εἶτα Καλαβρία ἐκλήθη, ex *MSS.* omnibus, nisi quod Καλαυρία habeat *Seld.* de quo errore, qui in omnibus omnium fere Auctorum Codicibus nimis frequens est, supra monui. Ἡ γὰρ Μεσσαπυγία, καὶ Ἰαπυγία, ὕστερον Βεαντία, εἶτα Βεαίοντα ἐκλήθη *Impress.* corrupte. Quod autem eadem Regio appellata sit Messapia, Japygia, Calabria, & Salentina testatur, præter *Dionem*, quem laudavit *Scholiastes*, etiam *Strabo*, ex quorundam opinione, Geograph. lib. vi. in Italiæ Descriptione, ubi hæc verba habet, Ἡ δ᾽ ἐκ Βρεντεσίου παρακειμένη ὁδὸς εἰς τὴν Τάραντα εὐζώνῳ μιᾶς ἐστιν ἡμέρας, ἣ δὴ μίαν ποιεῖ τὴν λεγομένην χερρόνησον, ἣν Μεσσαπίαν τε, καὶ Ἰαπυγίαν, καὶ Καλαβρίαν, καὶ Σαλεντίνην κοινῶς οἱ πολλοὶ προσαγορεύουσι. 3 Ἀπὸ Τεμέσης, pro ἀπό τε μέσης, ex *Bar.* 4 Al. Τεμέσην. 5 Τέμψαν, pro Τέμισαν, ex *Seld.* Latini enim Tempsam dixerunt, quam Græci Temesam, *Plinio* teste, cujus hæc sunt verba, *Oppidum Tempsa, à Græcis Temese dictum.* *Ptolemæus* quoque libro tertio, Tempsam vocat, ut observavit *Joach. Vadianus* Helvetius, in Commentariis ad librum secundum *Pomponii Melæ.* 6 Ἔτι καλοῦσιν. pro ἐπικαλοῦσιν, ex *MSS* utroque 7 Κενὸς ἀδὼν τὰ ὀρφανὰ *Seld.* Κενὸς περὶ τὰ ὀρφανὰ ὀδοὺς *Impress.* Lectio nostra ex *Bar.* desumpta est. Cæterum hoc Proverbium vulgo sic, Κενὸς τὰ ὀρφανὰ ὀπίσσει. Vide *Hesychium*, *Suidam*, & Collectanea ex *Tarrhæo*, *Didymo*, &c. 8 Τέμεσαν, pro Τέμισαν, ex emendatione *Nic. Gerbelii.* * Hanc vocem, quam è cæteris excidisse sequentia ostendunt, recuperavi ex *Grav.* 9 Hæc paullo post occurrebant in *Impress.* usque ad ὡς καὶ Ἱππῶναξ, Ego vero in suum locum reduxi, sequutus *Bar.* 10 Ὦ Λυκόφρον, pro ὁ Λυκόφρων, ut sit vocandi casus, omnia ita scribere, ὅτι ὁ Λυκόφρων. & deinde in tertia persona cætera proferre, quod facere potes auctoritate *Baroccianæ* Codicis. 11 Ἄλλον ἄλλως *Bar.* quod equidem malim, monstrosa enim videntur, & Græcis auribus absona hujusmodi composita. 12 Ὦ Λυκόφρον, pro ὁ Λυκόφρων. ex *Bar.* 13 Hæc sic lego cum *Bar.* & *Grav.* quæ in *Impressis* hoc modo extabant, ὡς καὶ ἐσταλκὼς ἀσκέρας ὑποδήματα λέγει, καίπερ σημαινούσης πιλία, ἤτοι ὀρτάλεια. Cætera desunt. 14 Hos *Hipponactis* versus, qui prius confusi extabant, in ordinem digessi. 15 Χλαῖναν *Impress.* χλαῖνον *Bar.* & *Grav.* 16 Ῥίγους *Bar.* & *Grav.* ῥίγος *Impress.* 17 Ασκέρῃσι *Seld.* deinde Δασείῃσι idem, pro quo *Bar.* habet φοινί. 18 Χίμετλα ῥήγνυται *Bar.* Ibid. ῥήγνυται *Seld.* 19 Et hos versus digessi in ordinem. * Ex *Seld.* 20 Σαμβαλίσκα, pro σαμβάλισκα, ex *Seld.* nam Σάμβαλα, τὰ σάνδαλα. teste *Hesychio.* Σαμβάλιστρα *Bar.* & *Grav.* σαμβάλισκα *Seld.* 21 Κἀσκερίσκα *MSS.* omnes. * Ex *Bar* ad metrum supplendum. Et huic voci alia manus superposuit σοί. 22 Τοῦ ἑτέρου, pro τοῦ ἑτέρου, ex *Seld.* 23 Σῖριν *Impress.* Πλείον *MSS.* Ego reposui Πολίειον eam Siris postea Polieum dicta. *Stephanus* Byzantinus, Πολίειον, πόλις Ἰταλίας, ἡ πρότερον Σῖρις καλουμένη. Idem in v. Σῖρις, causam hujus nominis ait esse, quod ibi dedicatum fuerit Minervæ Πολιάδος simulacrum: Σῖρις, πόλις Ἰταλίας, ἀπὸ τοῦ Μεταποντίου καὶ Ταραντίνου μετωνομάσθη δὲ καὶ Πολίειον, ἀπὸ τῆς ἐκεῖ Πολιάδος Ἀθηνᾶς. Quod confirmat *Strabo* Geogr. lib. vi. quem videsis.

Ἐν οἷσι πόρτις ὄρχατον τεύξει θεᾷ	Ubi Juvenca hortum Deæ faciet
Ὁπλοσμίᾳ φυτοῖσιν ἐξησκημένον.	Hoplosmiæ plantis exornatum.
Γυναιξὶ [a] δ' ἔσαι θεσμὸς ἐγχώροις ἀεὶ	Mulieribus autem indigenis mos erit semper
Πενθεῖν τὸν [b] ἐννάπηχυν, Αἰακοῦ τρίτον,	Lugere novemcubitalem, ab Æaco tertium,
Καὶ Δωρίδος, [c] πρηστῆρα [d] δαΐου μάχης.	Et Doride, bellicæ fulmen pugnæ.
Καὶ μήτε χρυσῷ φαιδρὰ καλλύνειν ῥέθη,	Nec vel auro nitida decorare corpora,
Μήθ' ἁβροπήνοις ἀμφιβάλλεσθαι πέπλοις	Vel molles vestes circumdare
[e] Κάλχῃ φορυκτὰς, οὕνεκα [f] θεᾷ θεὸς	Purpura tinctas: quoniam Deæ Dea
[g] Χέρσου μέγαν σόρθυγγα δωρεῖται [h] κτίσαι.	Magnum terræ cacumen dabit habitandum.
Ἥξει δὲ ταύρου γυμνάδας κακοξένους	Adibit deinde Tauri gymnasticas inhospitas
[i] Πάλης κονίστρας, ὅν τε [k] Κωλῶτις τεκνοῖ	Luctæ Palæstras, quem Colotis genuit
Ἀλεντία, [l] κρείουσα [m] Λογγύρου μυχῶν,	Alentia, regina specuum Longuri;
Ἅρπης Κρόνου πήδημα, Κογχείας [n] θ' ὕδωρ	Falcis Saturniæ saltum, & aquam Concheæ

VARIANTES LECTIONES.

a Al. τ'. b Εἰνάπηχυν Bar. c Πρηστῆρα Sold. d Δαΐς Sold. δαΐς al. e Al. χάλκῃ. f Θεὸς θεᾷ Bar. g Χέρσον al. h Κτίσαι Bar. i Πάλας Sold. k Al. Καλῶτις. l Κρέουσα Sold. m Λογγέρου Bar. n Hanc particulam non agnoscit Sold.

[1] Καὶ τὸ ποτᾶον τὸ Λακίνιον, ὅπερ ὁ πύκτας
Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μάσδας.
Λακίνιον δὲ ἐκλήθη, ἀπὸ Λακινίου Κροτωνιάτου.

857. Ἐν οἷσι πόρτις.] ἐν οἷστισι τόποις, τοῖς περὶ Κρότωνα δηλονότι, ἡ Θέτις κῆπον τῇ Ἥρᾳ ἀναθήσει, αἱ δὲ [2] γυναῖκες ἐγχώριοι ἐκ νόμου ἀεὶ ἐκεῖ ἔσονται μελανοφόροι, καὶ τὸν ἐννεάπηχυν Ἀχιλλέα δακρύσουσι, οὗτινος ἕνεκα ἡ θεὸς Θέτις τῇ θεᾷ Ἥρᾳ δωρεῖται καὶ ἀνατίθησι τὸν μέγαν σόρθυγγα τῆς χέρσου, ἐν τῷ κῆπον ὄρχατον. Ὄρχατον.] στίχον, τάξιν· διὰ δὲ τοῦ εἰπεῖν ἐξησκημένον καὶ κατεστεμμένον φυτοῖς ὄρχατον, δηλοῖ τὸν κῆπον.

858. Ὁπλοσμία.] Ἥρας ἐπίθετον, τιμωμένης ἐν Ἤλιδι, πόλει τῆς Πελοποννήσου καὶ Τεμψίλῃ.

859. Τεθμός.] ὁ νόμος, ἐκ τοῦ τίθημαι, τίθεισαι, * τίθενται. * τεθμός.

860, 861. Εἰνάπηχυν] ἐννέα πηχῶν λέγει μέγεθος ἔχειν τὸν Ἀχιλλέα Αἰακοῦ τρίτον, καὶ Δωρίδος.] τὸν ἔκγονον Αἰακοῦ [3] τρίτον, καὶ Δωρίδος· Αἰακοῦ γὰρ καὶ Ἐνδηΐδος Πηλεύς, Πηλέως καὶ Θέτιδος Ἀχιλλεύς. καὶ πάλιν μητρόθεν, Δωρίδος καὶ Νηρέως Θέτις, Θέτιδος καὶ Πηλέως Ἀχιλλεύς. Πρηστῆρα μάχης.] τὸν [4] σφοδρὸν καὶ διάπυρον ἄνεμον τοῦ πολέμου.

862. Ῥέθος.] κυρίως τὸ πρόσωπον, παρὰ τὸ ῥᾶον τὰ ἤθη δι' αὐτοῦ φαίνεσθαι, νῦν δὲ καταχρηστικῶς πάντα τὰ μέλη ῥέθη εἶπεν.

863. * Ἀβροπήνους.] τρυφερογνώμονας, πλουσίους, σπατάλους. *

864. Κάλχῃ φορυκτάς.] πορφύρᾳ βεβαμμένους κυρίως, νῦν δὲ τοὺς ἁπλῶς βεβαμμένους διὰ πολλῶν βαφῶν, καὶ πεποικιλμένους, καὶ πλουμαρικοὺς λέγει. Κάλχη δέ, ἡ [5] πορφύρα, ὅθεν ὁ κόγχος, καὶ ἡ κογχύλη ἐβάφη.

865. Σόρθυγγα.] * ὀξύτητα, * ἀκρωτήριον τοῦ [6] Κρότωνος· λέγει δὲ τὸ Λακίνιον.

866. Ἥξει δὲ ταύρου.] διαγυμνάσονται δὲ ὁ Μενέλαος καὶ περὶ τὴν Σικελίαν, ὅπου αἱ παλαῖστραι τοῦ Ἔρυκος τοῦ ξενοκτόνου, τοῦ υἱοῦ Ἀφροδίτης καὶ Ποσειδῶνος, ἀφ' οὗ καὶ ὁ τόπος Ἔρυξ ἐκλήθη· παλαιστὴν γὰρ αὐτὸν ὄντα, ἢ πένταθλον, καὶ οὕτω τοὺς ξένους ἀναιροῦντα, Ἡρακλῆς διερχόμενος καὶ πενταθλήσας αὐτόν, ἄρας μετέωρον κατεκρήμνισε, καὶ οὕτως ἀνεῖλεν αὐτόν. Ἔρυξ δὲ καὶ ὁ τόπος ἐκλήθη. Ταῦρον δὲ τὸν Ἔρυκα φησὶ διὰ τὸ θυμικόν, καὶ γενναῖον.

867. Κωλῶτις.] ἡ Ἀφροδίτη * ἐν Κύπρῳ. * Κωλῶτις δὲ ἐκλήθη, ὅτι τις νεανίας ὑπὸ λῃστῶν, ἢ ὑπὸ τοῦ τυράννου κατασχεθεὶς, ἐκ τῶν κώλων, ἤτοι ἐκ τῶν [7] ἀκρωμιαίων καὶ τῶν χειρῶν, ἐδέθη· ἡ δὲ θυγάτηρ, [8] ἢ τοῦ ἀρχιλῃστοῦ, ἢ τοῦ τυράννου, ἐρασθεῖσα αὐτοῦ, ἀπέλυσεν αὐτόν, μιγεῖσα τούτῳ· ὁ δὲ Ἀφροδίτης ἱερὸν Κωλιάδος ἱδρύσατο, εἰς εὐχαριστίαν αὐτῆς, ὅτι δεδεμένον ὄντα ἐκ τῶν κώλων ἐῤῥύσατο. Κωλιὰς δὲ λέγεται καὶ ἡ ἄκρις γῆ.

868. Ἀλεντία.] ἡ ἐν Ἀλέντῃ, πολίχνῃ Κολοφῶνος, τιμωμένη ἐκεῖσε γὰρ ἱερὸν αὐτῆς ἐστιν. * Λόγγουρος, λίμνη Σικελίας. *

869. Ἅρπης.] ἅρπη, ἤτοι δρέπανον, καὶ ἡ Φαιακία, * ἡ * Κέρκυρα, καὶ ἡ Σικελία λέγεται· ἡ μὲν Κέρκυρα, ὅτι ἐκεῖ ἐστι κεκρυμμένον τὸ δρέπανον, μεθ' οὗ ὁ Ζεὺς τὸν Κρόνον ἐξέτεμεν,

EMENDATIONES.

[1] Versus hos ex *Theocriti* quarto Idyllio restitui, quos *Impress.* & *MSS.* Codd. hoc modo mutilarunt & corruperunt: καὶ ποτ' (καὶ τὸ ποτ' *MSS.*) ἄιον τὸ λακινιον. ὅπερ ὁ πύκτας Αἴγων (ἄγων *Bar.*) ὀγδωήκοντα (ὀδδώικοντα *Bar.* ὀδδώικοντα *Sold.*) μόνος κατεδήσατο (κατεδήσατο *Sold.* κατεδαίσατο *Bar.*) μάζας (μάζας *Bar.*) [2] Γυναῖκες καὶ ἐγχώριοι cæteri Codd. habent: Ego vero καὶ delevi, quod sit superfluum, & sensum Authoris pervertat. * Ex *Bar.* [3] Τρίτον, καὶ Δωρίδος, pro καὶ τρίτον Δωρίδος &c. [4] Σφοδρόν, pro σφίδρον. * Hoc adjeci ex *Bar.* & *Grav.* nisi quod ἁβροπήνους posuerim pro ἁβρογνώμονας. [5] Πορφύρα pro πορφυρίς, ex *Sold.* * Ex *Bar.* & *Grav.* [6] Κρότωνος, pro Κρόνου. ex *Bar.* & *Grav.* & emendatione *Nic. Gerbelii*. Cæterum de Lacinio promontorio, si de hac mutatione dubites, vide Commentarios nostros. * Ex *Grav.* [7] Ἀκρωτηρίων *Bar.* & *Grav.* [8] Pro ἡ, posui ἢ. ex *MSS.* utroque. * Hæc adjeci ex *Bar* & *Grav.*

[a]Κάμψας, Γονοῦσάν τ', ἠδὲ Σικανῶν πλάκας,	Ambiens, Gonuſamque, & arva Sicanorum,
Καὶ θηροχλαίνου σηκὸν [b] ὠμηστοῦ λύκου,	Et ferinam induti Lupi crudelis templum,
Ὃν Κρηθέως ἄμναμος, ὁρμίσας σκάφος,	Quod Crethei Nepos, appulſa nave,
Ἔδειμε πεντήκοντα σὺν ναυπηγέταις.	Cum quinquaginta navium fabris extruxit.
[c] Κρόκαι δὲ Μινυῶν εὐλιπῆ [d] σελγίσματα	Litora verò pinguia Minyarum ſtrigmenta
Τηροῦσιν, ἅλμης οὐδὲ φοιβάζει κλύδων,	Servant, nec vel maris expurgat æſtus,
Οὐδ' ὀμβρία σμήχουσα δηναιὸν νιφάς.	Vel pluvia diu nix extergens.
Ἄλλους δὲ θῖνες, οἵ τε [e] Ταυχείρων πέλας	Alios litora, ſaxaque juxta

VARIANTES LECTIONES.

a Κάψας Bar. b Al. ὠμηστοῦ. c Κρόκαι Bar. Κρόκαι Μινυῶν δ' εὐλιπῆ Sold. Μινύων Bar. Sed iſtā, eadem, ut videtur, manus superpoſuit. d Στλεγγίσματα Bar. aliique. στλεγγίσματα al. e Al. Τευχείρων. al. Ταυχείρων.

ἢ τὸ δρέπανον, ὅπερ ὁ Δημήτηρ ἔλαβε παρ' Ἡφαίστου, τέμνειν τοὺς στάχυς· Δρέπανον δὲ, ἡ Σικελία, ὅτι ἐκεῖ ἐστὶ τὸ δρέπανον, μεθ' οὗ τὸν οὐρανὸν ὁ Κρόνος ἐξέτεμε, κἀντεῦθεν ὁ Λυκόφρων φαίνεται νῦν τὸ Κρονοτόμον δρέπανον λέγειν. Τὸ δὲ δρέπανον παρὰ Σικελοῖς ζάγκλον καλεῖται· μέμνηται δὲ καὶ Καλλίμαχος ἐν δευτέρῳ Αἰτιῶν.

870. Γονοῦσαν.] ἔστι μὲν καὶ πόλις Θετταλική, νῦν δὲ λιμὴν Σικελίας, ἐν ᾗ ἐπλανήθη ὁ Μενέλαος.

871. Καὶ θηροχλαίνου σηκόν.] ἀπὸ κοινοῦ τὸ κάμψας, ὅτι περιελθὼν, ὁ Μενέλαος, καὶ τὸν σηκὸν καὶ τὸν ναὸν τοῦ θηροχλαίνου Ἡρακλέος, ἤγουν τοῦ ἐνδεδυμένου τὴν λεοντῆν· τὸν γὰρ Ἡρακλέους ναὸν περὶ Σύρτιν τῆς Λιβύης Ἰάσων ἐδείματο, καὶ οἱ λοιποὶ Ἀργοναῦται, μετὰ τὸ ἐκτελέσαι ἀγῶνας ἐκεῖσε· εἰς γὰρ τὴν Σύρτιν ἐμπεσόντες, διὰ τὸ εἶναι ἄβατον τὴν θάλασσαν, καὶ μὴ δυνάμενοι πλεῖν αὐτὴν, ἄραντες ἐπ' ὤμων τὴν Ἀργὼ, δώδεκα ἡμέρας ἐπορεύοντο διὰ τῆς ἐρήμου Λιβύης, ὥς φησι Πίνδαρος· τῇ δωδεκάτῃ δὲ πρὸς ἑτέραν θάλασσαν ἐλθόντες, κατέθεντο αὐτὴν, καὶ ἀγωνισάμενοι, καὶ λουσάμενοι περὶ τὴν ἐκεῖσε θάλασσαν, ναὸν ἔκτισαν ὃν εἶπον τοῦ Ἡρακλέους, ἐν ᾗ θαλάσσῃ ὁ ἀποπλυνθεὶς ἱδρὼς τῶν Ἀργοναυτῶν ἐν ταῖς ψάμμοις μέχρι νῦν δῆλον ἐλαίου στίλβει, μήτε ὑπὸ τοῦ τῆς θαλάσσης κλύδωνος, μήτε ὑπὸ ὄμβρων καθαιρόμενος.

872. Ὃν Κρηθέως ἄμναμος ὁρμίσας.] ὅντινα ναὸν τοῦ Ἡρακλέος ἔδειμε καὶ ἔκτισε σὺν τοῖς ν' Ἀργοναύταις ὁ ἄμναμος καὶ ἀπόγονος τοῦ Κρηθέως Ἰάσων, ὁρμίσας καὶ ἐλλιμενίσας ἐκεῖσε, δηλονότι τὸ σκάφος, ἤτοι τὴν ναῦν, τὴν Ἀργώ· ἄμναμος δὲ καὶ ἀπόγονος Κρηθέως [1] ὁ Ἰάσων οὕτως· Σαλμωνέως καὶ Ἀλκιδίκης [2] θυγάτηρ Τυρώ· Τυροῦς καὶ Ποσειδῶνος [3] Πελίας, καὶ Νηλεύς· Τυροῦς δὲ [4] τῆς αὐτῆς, καὶ Κρηθέως Αἴσων, [5] Ἀμυθάων, Φέρης· Αἴσονος καὶ Πολυμήδης, τῆς Αὐτολύκου, ἢ κατά τινας Ἀρνης, ἢ [6] Σκάρφης, Ἰάσων. Τὴν δὲ τῶν Ἀργοναυτῶν ἱστορίαν πλατέως λίαν ὄπισθεν εἶπον. Λίγγερος.] λιμὴν Σικελίας. Γονοῦσα δὲ ἐστι μὲν καὶ πόλις Θετταλική, νῦν δὲ λιμὴν Σικελίας.

874. Κρόκαι.] οἱ αἰγιαλοὶ, παρὰ τὸ κρύος κεῖσθαι· ψυχροὶ γὰρ, ὥσπερ ὁ βυθός. Κρόκαι δὲ Μινυῶν.] οὕτως συντακτέον. Ὃν τινα ναὸν σὺν τοῖς ν' ἔδειμεν. Αἱ κρόκαι δὲ καὶ αἱ ψάμμοι καὶ οἱ αἰγιαλοὶ τῆς θαλάσσης, δηλονότι τῆς ἐκεῖ, τηροῦσι καὶ φυλάσσουσι τὰ εὐλιπῆ καὶ λιπαρὰ σελγίσματα, καὶ τοὺς ῥύπους τῶν Μινυῶν καὶ Ἀργοναυτῶν, οὐδὲ φοιβάζει καὶ πλύνει ὁ κλύδων, οὐδ' ἡ ὀμβρεία χιὼν σμήχουσα καὶ καθαίρουσα δηναιὸν καὶ [7] πολλῷ χρόνῳ. Μινυῶν.] τῶν Ἀργοναυτῶν, ὅτι οἱ πλείους αὐτῶν ἐξ Ὀρχομενοῦ τοῦ Μινυείου ἦσαν· δύο δὲ Ὀρχομενοί, [8] ὅ, τε ἐν Βοιωτίᾳ, ἤτοι ὁ Μινύειος· καὶ ὁ πολύμηλος, ὁ ἐν Ἀρκαδίᾳ· ὁ δὲ τοιοῦτος Ὀρχομενὸς Μινύειος [9] ἐκλήθη ἀπὸ Μινυοῦ, τοῦ Ποσειδῶνος παιδὸς καὶ Καλλιρρόης τῆς Ὠκεανοῦ θυγατρός· ὥσπερ Μινυοῦ καὶ Τριτογενείας, τῆς Αἰόλου, οἱ πλείους τῶν Ἀργοναυτῶν· ἄριστοι δὲ ἱππικοὶ οἱ Ὀρχομένιοι. Ἐργῖνος γὰρ ὕστερον Θηβαίους νικήσας, φόρῳ ὑποτελεῖς εἶχεν, Ἡρακλῆς δὲ αὐτοὺς ἠλευθέρωσεν. Εὐλιπῆ σελγίσματα.] οἱ λιπαροὶ [10] ἱδρῶτες, ὁ ῥύπος, τὰ ἀποξύσματα· σελγίδες γὰρ, [11] τὰ στλεγγία, οἷς ἐν τοῖς βαλανείοις πεδούμενοι, τὸν ῥύπον [12] ἐκξεόμεθα. Πολλὰ εἰπὼν ὁ Λυκόφρων περὶ Μενελάου, περὶ τῶν Ἀντηνορος υἱῶν ἐκ ἐμνημόνευσε, Γλαύκου φημὶ καὶ [13] Ευρυμάχου, οἳ μετὰ τοῦ Μενελάου πλέοντες, ναυαγήσαντες ἐξῆλθον περὶ τὴν Κρήτην, καὶ ἐκ ἔτι ἐπείσθησαν ἐκείνῳ συμπλεῖν, ἀλλ' ᾤκησαν ἐν Κρήτῃ τὸν ἀπ' αὐτῶν Ἀντηνοειδῶν λόφον κληθέντα. [14] Λυσίμαχος δὲ ἐν πρώτῳ τῶν Νόστων οὕτω πως λέγει· « Γλαῦκος, Ἀκάμας, Ἱππόλοχος, οἱ Ἀντηνορεῖδαι, « παρ' [15] Ἀμυδάλ, [16] βασιλεῖ Λιβύων, ᾤκησαν, μὴ βουλόμενοι συνοικεῖν τοῖς τὸ Ἴλιον πορθήσασιν, οἳ μεθ' ἱκανὸν « χρόνον τὸν μεταξὺ [17] Κυρήνης καὶ θαλάσσης Ἀντηνοειδῶν « λόφον ἔκτισαν, καὶ ᾤκησαν.

877. Ἄλλους δὲ θῖνες.] περὶ τῶν [18] Θεσσαλῶν φησί, Γουνέως, Προθόου, καὶ Εὐρυπύλου, ὅτι τοὺς ἄλλους δὲ αἰάζουσι καὶ θρηνήσουσιν οἱ θῖνες καὶ οἱ αἰγιαλοί, οἵ τε μύρμηκες καὶ

EMENDATIONES.

1 Ὁ Ἰάσων οὕτως· Σαλμωνέως, pro ὁ Ἰάσων, οὕτως Σαλμωνέως, ope MSS omnium, & Nic. Gerbelii. 2 Θυγάτηρ, pro θυγατέρος, ex Grav. & emendatione Nic. Gerbelii. 3 Πελίας, pro Πηλεύς, ex Sold. & emendatione Gerbelii. Peleus enim Æaci & Endeïdos Nymphæ filius erat; Pelias vero, Jaſonis avunculus, Neptuni. 4 Τῆς αὐτῆς Grav. 5 Ἀμυθάων δὲ Φέρης Impreſſ. Ego illud δὲ delevi, & poſt Ἀμυθάων (pro quo Ἀμυθάων Grav. Ἀμυθάων Bar.) comma poſui, ope Bar. & Grav. 6 Σκάρφης Bar. Σκάφης Sold. Σκάρφης Grav. 7 Πολυχρόνιον MSS. omnes. 8 Ὅ, τε ἐν Βοιωτίᾳ repoſui, pro ὅτι Βοιωτίᾳ, ex Bar. ὅτι, ἐν Βοιωτίᾳ Sold. ὅτε ἐν Βοιωτίᾳ Grav. idque repoſuit Gerbelius, ex Homeri & Apollonii Interpretibus: Minyas enim in Bœotiam irrumpens, Thebis conterminum Orchomenon condidit, à quo & Minyeïum appellatum Homero. Deinde, putat idem Gerbelius, legendum eſſe πολύμηλος, quod habent MSS. omnes. Nam alterum Orchomenon, Arcadiæ urbem, πολύμηλον vocavit Homerus, à pecorum abundantia. Quod ſi quis à lana πολύμαλλον, ut apud Pindarum χρυσόμαλλον, legere maluerit, cum eo ſane non magnopere contenderim. Attamen Homericum πολύμηλον mihi videtur ſuavius, & Ὁμηρικώτερον. Poetæ Scholiaſtes etiam tertium Orchomenon, Theſſaliæ urbem, adjicit. 9 Οὕτως Grav. 10 Ἱδρῶτες, pro ἱδρῶται, ex Sold. itaque legendum eſſe conjecerat Gerbelius. 11 Τὰ στλεγγία Bar. & Grav. 12 Ἐκξεόμεθα, pro ἐκξαιρόμεθα ex MSS. omnibus. 13 Ερυμάχου Sold. 14 Λυσίμαχος pro Σύμμαχος, ex MSS. omnibus 15 Ἀμυμνάμ Bar. & Grav. 16 Βασιλεῖ, pro βασιλεῖς, ex MSS. omnibus. 17 Κρήνης Bar. & Grav. 18 Θεσσαλῶν, pro Θεσσαλικῶν, ex Sold. & Grav. Θετταλῶν Bar. Cæterum vult Scholiaſtes, Lycophronem jam pergere ad enarrationem caſuum variorum, & infortuniorum, quibus Guneus, Prothous, & Eurypylos, Theſſalis oriundi, affecti erant.

παραθαλάσσιαι

Μύρμηκες [a] αἰάζουσιν ἐκβεβρασμένους
Ἔρημον εἰς Ἄτλαντος οἰκητήριον,
[b] Θρυλλιγμάτων [c] δέρτροισι [d] περσονεστηρότας·
Μόψον [e] Τιταιρώνειον ἔνθα [f] ναυάται
Θανόντα [g] ταρχύσαντο, τυμβείαν θ' ὕπερ
Κρηπῖδ' [h] ἀνεστήλωσαν Ἀργῴου δορὸς
[i] Κλασθὲν [k] πέτευρον, νερτέρων κειμήλιον,
[l] Αὐσίγδα, [m] Κινύφειος ἣν τέγγων ῥόος
Νασμοῖς λιπαίνει· τῷ δὲ Νηρέως γόνῳ,

Teuchira lugebunt in Atlantis
Desertum ejectos diversorium,
Fragmentorum puncturis corrugatos:
Ubi Mopsum nautæ Titæronium
Mortuum sepelierunt, & supra sepulcralem
Crepidinem erexerunt Argoæ navis
Fractam tabulam, inferorum donarium,
Apud Ausigda, quam Cinnyphius humectans fluvius
Aquis fœcundat: Nereique filio,

VARIANTES LECTIONES.

a Αἰάζουσι Seld. b Θρυλιγμάτων MSS uterque, & alii. c Δέρτροισι Bar. aliique. d Περονηστρίζας Bar. e Τιταρώνιον Bar. aliique. f Ναυβάται Seld. aliique. g Ταρχύσαντο Seld. h Ἀνεστήλωσαν Bar. i Κλασθὲν Bar. k Πέταυρον MSS. uterque, & eandem lectionem in Scholiis retinent. l Al. Αὔσιγδα. Malim Αὐσίγδα. m Κινύφιος MSS. uterque.

περιθλασθεῖσαι πέτραι, αἱ πέλας καὶ πλησίον τῆς Τευχείρων, ἥτις ἐστὶ πόλις Λιβύης· θρηνήσουσι δὲ αὐτοὺς τί παθόντας; ἐκβεβρασμένους καὶ ῥιφέντας ὑπὸ τῆς θαλάσσης εἰς τὸ ἔρημον οἰκητήριον τοῦ Ἄτλαντος, ἤτοι τὴν Λιβύην· ἐκριφέντας δὲ, πολλούς; περονεστηρότας καὶ διεσχισμένους δέρτροισι καὶ σώμασι θρυλιγμάτων καὶ συντριμμάτων, ἀντὶ τοῦ εἰπεῖν θρυλλίγμασι καὶ [1] συντρίμμασι δέρτρων καὶ σωμάτων, ἀντιστρέψας εἶπε. * Ἄλλως δὲ οὕτως.] τῆς Κυρήνης πόλις, Ἀπολλωνία, καὶ Τεύχειρα· ἡ δὲ Κυρήνη, χωρίον τῆς Λιβύης ἐστὶ, ὡς καὶ ὁ Φάρος. *

879. [2] Ἄτλαντος οἰκητήριον.] τὴν Λιβύην λέγει· Ἄτλας γὰρ μαθηματικὸς ἦν Λίβυς ἀνὴρ, ὃς εἰς ὄρος ὑψηλὸν ἀνερχόμενος περὶ ἀκριβεστέραν κατασκοπὴν τῶν ἀστέρων, καί ποτε περισφαλεὶς, κατέπεσεν ἀπ' αὐτοῦ εἰς τὴν ὑποκειμένην θάλασσαν, καὶ ἀνῃρέθη, ὅθεν ἀπ' αὐτοῦ τό, τε ὄρος, καὶ τὸ πέλαγος Ἀτλαντικὸν ἐκλήθη. Πολύειδος δὲ ὁ διθυραμβοποιὸς τὸν Ἄτλαντα τοῦτον ποιμένα Λίβυν φησὶν, οὐ μαθηματικόν, ἀπολιθῶσαι δὲ ὑπὸ Περσέως, δείξαντος αὐτῷ τὴν Γοργόνα, διὰ τὸ μὴ ἐᾶν αὐτὸν διελθεῖν, ἀλλ' ἐρωτᾶν αὐτὸν τίς εἴη. τούτου καὶ τοῦ Ἄτλαντος υἱὸς Ἕσπερος κατὰ τοὺς λοιποὺς, ὁ κατὰ τὸν Πολύειδον. * Ἔρημον δὲ τὸ Ἄτλαντος οἰκητήριον, ὅτι ἔρημος ἡ Λιβύη. *

881. Μόψον Τιταιρώνειον.] ἔνθα περ ποτὲ θανόντα τὸν Μόψον, τὸν ἀπὸ Τιταιρῶνος πόλεως, ταρχύσαντες οἱ Ἀργοναῦται, ἀνεστήλωσάν τε καὶ ἔστησαν στήλας ἤτοι τυμβείαν κρηπῖδα καὶ βάσιν, καὶ σῆμα ἀπὸ τοῦ Ἀργῴου δορὸς καὶ τοῦ τῆς Ἀργοῦς ξύλου, πέτευρον καὶ σανίδα κλασθὲν, ἤτοι κώπην τεθραυσμένην, ἀνεστήλωσαν δὲ αὐτὸ, κειμήλιον καὶ δώρημα νεκρῶν· ποῦ δὲ ἀνεστήλωσαν; περὶ τὴν Αὔσιγδα, πόλιν Λιβύης, ἥντινα Αὔσιγδα περιρρέει ὁ Κίνυφος ποταμός. Τῷ δὲ Νηρέως γόνῳ οὕτως σύνταξον· Ἔνθα ποτὲ τὸν Μόψον οἱ Ἀργοναῦται ἔθαψαν, ἡ δὲ Κολχὶς Μήδεια τῷ Νηρέως υἱῷ, Τρίτωνι, παρέσχε πλατὺν κρατῆρα, κεκροτημένον καὶ εἰργασμένον χρυσοῦ· τίνος δὲ χάριν παρέσχε τῷ Τρίτωνι; δείξαντι τὸν πλοῦν, καὶ ὅπου [3] διὰ τῶν στενῶν πετρῶν ὁ Τῖφυς, κυβερνήτης ὢν τῆς Ἀργοῦς, ἄθραυστον αὐτὴν διαβιβάσει, τότε καὶ τότε αὐδάξει καὶ εἴπῃ ὁ θαλασσόπαις δίμορφος θεὸς, ἤγουν ὁ Τρίτων, τοὺς Ἕλληνας τὰ [4] κράτη λαβεῖν τῆς χώρας, ἤτοι κυριεῦσαι τῆς Λιβύης, ὅταν ἀγρεύτης Λιβυκὸς λαὸς παλίμπουν καὶ ἀντίστροφον τὸ δῶρον, * ἤτοι τὸν κρατῆρα, * ὀρέξῃ καὶ παράσχῃ Ἕλλησι, νοσφίσας καὶ ἐκβαλὼν καὶ στερήσας τῆς πατρίδος, ἤτοι τῆς Λιβύης· τὰς δ' εὐχὰς, ἤτοι τοὺς λόγους, τοῦ Τρίτωνος φοβούμενοι οἱ Λίβυες, κρύψουσι τὸ κτέαρ καὶ κτῆμα, ἤτοι τὸν κρατῆρα, ἐν χθονὸς ἐσχάτοις μυχοῖς ἄφαντον. [5] Ἐν ᾗ Κυφαίων.] ἐν ᾗτινι γῇ Λιβυκῇ, Γουνεὺς, Πρόθοος, καὶ Εὐρύπυλος, ὁ Βορρᾶς πνέων ἐξέρασε σὺν τοῖς αὐτῶν ναύταις. Μόψον Τιταιρώνειον.] ὁ Μόψος οὗτος εἷς τῶν Ἀργοναυτῶν ἦν, υἱὸς Ἀμπυκος καὶ Χλωρίδος τῆς Ὀρχομενοῦ· ὁ δὲ Ἄμπυκος, υἱὸς Τιταιρῶνος, ἀφ' οὗ καὶ πόλις, ὡς καὶ Ἡσίοδος,

Μόψον τ' Ἀμπυκίδην, Τιταρήσιον, ὄζον Ἄρηος.

οὗτος ὁ Μόψος τοῖς Ἀργοναύταις συμπλέων, ἀνῃρέθη ὑπὸ ὄφεως ἐν Λιβύῃ, ἔνθα θάψαντες αὐτὸν οἱ Ἀργοναῦται, οἱ ἑταῖροι αὐτοῦ, ἔπηξαν ἐπάνω τοῦ τάφου αὐτοῦ κώπην, ἢ σανίδα, ἐκ τῆς Ἀργοῦς. καὶ ὁ μὲν Μόψος οὗτος, ὁ τοῦ Ἀμπυκος καὶ Χλωρίδος, ἐν Λιβύῃ κεῖται, εἷς ὢν τῶν Ἀργοναυτῶν· ὁ δὲ τοῦ Ἀπόλλωνος υἱὸς Μόψος καὶ Μαντοῦς, τῆς θυγατρὸς Τειρεσίου, ἐν Κολοφῶνι τῆς Ἀσίας· τινὲς δέ φασιν, ἐν Κιλικίᾳ.

883. Ἀργῴου δορός.] Ἀργὼ ἐκλήθη ἡ τοῦ Ἰάσονος ναῦς, ἢ ὅτι, κατὰ Ἀπολλώνιον, Ἄργος αὐτὴν ἐναυπήγησεν, ὁ Ἐσόρος, ἢ Ἀλέκτορος υἱός· ἢ ὅτι ἐν Ἄργει ἐναυπηγήθη, ὥς φησιν Ἡγήσανδρος ὁ Σαλαμίνιος.

885. Αὔσιγδα.] πόλις Λιβύης, ἣν περιρρέει Κίνυφος ποταμός. Φασὶν ὅτι κατὰ τὴν ἀνακομιδὴν ἡ Ἀργὼ εἰς τὴν Σύρτιν ἐνέπεσεν, ἀποροῦσι δὲ τοῖς Ἀργοναύταις περὶ τοῦ ἔκπλου Τρίτων, ὁ υἱὸς Ποσειδῶνος, ἐπιφανεὶς, ὡδήγησεν αὐτοὺς, ᾧ ἔδωκεν ἡ Μήδεια ἀμοιβὴν χρυσοῦν κρατῆρα, ὃν εἶχεν ἀπὸ τῶν πατρὸς λαφύρων.

886. Νηρέως γόνῳ Τρίτωνι.] Ἀλέξανδρος φησὶν Εὐρύπυλον, καὶ Τρίτωνα Ποσειδῶνος καὶ Κελαινοῦς εἶναι παῖδας, ὃς Εὐρύπυλος γήμας Στερόπην τὴν Ἡλίου * θυγατέρα, * Πασιφάης δὲ ἀδελφὴν, τίκτει [6] Λύκαονα καὶ Λεύκιππον, ὃς Εὐρύπυλος καὶ βασιλεὺς ἦν Κυρήνης. Ὁ δὲ Τρίτων τὰ μὲν

EMENDATIONES.

[1] Συντρίμμασι. Δέρτρων Impress. Ego periodum delevi post συντρίμμασι, secutus MSS. utrumque. * Hæc adjeci ex penu Barocciano & Grav deprompta. [2] Hæc paullo post occurrebant in Impressis. Ego vero in suum locum reduxi, ope Seld. * Ex Bar & Grav. [3] Διὰ τῶν στενῶν πετρῶν ὁ Τῖφυς, pro διὰ τῶν πετρῶν ὁ Τῖφυς, ex MSS. omnibus. Cujus emendationis ratio constabit omnibus, qui vel primis labiis libros Poetarum degustarunt. [4] Κράτη, pro κρᾶτα, ex MSS. omnibus. Confer cum hisce verbis Poematis hujus vers. DCCCCXI. * Ex MSS. omnibus. [5] Hæc non sunt hujus loci, sed paullo post accipienda veniunt. * Hoc adjeci ut plena esset sententia. [6] Λυκάονα Grav.

ἄστυ

Τρίτωνι, Κολχὶς [a] ὤπασεν δάνος γυνή,
Χρυσῷ πλατὺν κρατῆρα κεκροτημένον,
Δείξαντι [b] πλωτὴν [c] οἶμον, ᾗ διὰ στενῶν
Μύρμων [d] ἐνήσει Τῖφυς ἄθραυστον σκάφος.
Γραικοὺς δὲ χώρας τοὐτάκις λαβεῖν κράτη
Θαλασσόπαις δίμορφος αὐδάξει θεός,
[e] Ὅταν παλίμποινον δῶρον ἄγραυλος λεὼς

Tritoni, donum Colchica dedit mulier,
Ex auro latam pateram conflatam,
Cum navigabilem monstrasset viam, qua per angustos
Scopulos illæsam Tiphys immitteret ratem.
Græcos porrò tunc regionis accepturos imperium
Maris Filius biformis prædicet Deus,
Quando retrogradum donum rusticus populus

VARIANTES LECTIONES.

a Ὤπασε sine ν finali MSS. uterque. b Πλωτὸν Bar. c Οἶμον cum aspero Seld. d Al. ἐνήσειν e Ὅτ' ἂν Seld.

ἄνω μέχρι λαγόνων ἄνθρωπος ἦν τέλειος, χεῖράς τε ἔχων, καὶ τὰ λοιπά, τὰ δ' ἐκ λαγόνων κάτω δελφίς, ἔχων δύο μόνους ἐμπροσθίους πόδας ἵππου, Ἀμφιτρίτης καὶ Ποσειδῶνος ὢν παῖς, κατ' ἐμέ, καὶ τοὺς λοιπούς· ἔστι δὲ καὶ Τρίτων ποταμὸς Λιβύης· οὗτος ὁ Τρίτων ὁμοιωθεὶς Εὐρυπύλῳ, τῷ λεχθέντι Κυρήνης βασιλεῖ, καθὰ Μνασέας καὶ Πίνδαρος ἱστοροῦσιν, ὑπέδειξε τὸν πλοῦν, καὶ βῶλον ἔδωκε τοῖς Ἀργοναύταις, ἣν Εὔφημος, ὁ πρωρεὺς τῆς Ἀργοῦς, ἐδέξατο, υἱὸς ὢν καὶ αὐτὸς Ποσειδῶνος καὶ Μηκιονίκης, ἢ [1] Ὠρίδος τῆς [2] Εὐρώτου θυγατρός, γαμβρὸς δὲ Ἀλκμήνης ἐπὶ Λαονόμῃ θυγατρί· ὃν Εὔφημον Ἀσκληπιάδης φησὶ δῶρον ἔχειν παρὰ Ποσειδῶνι, τὴν θάλασσαν ἀπημάντως, ὡς διὰ γῆς, πορεύεσθαι· ὡς γοῦν ἐκ τῆς Κολχίδος διὰ τῆς ἔξω θαλάσσης καὶ τοῦ Ἀδρίου τὸν πλοῦν ἐποιήσαντο, διὰ τοῦ Φάσιδος δὲ εἰς τὸν Ὠκεανὸν ἐνέβαλον, ιβ' ἢ πρότερον ἡμέρας ἔξω τοῦ Ὠκεανοῦ φέροντες ἐν τοῖς νώτοις τὴν Ἀργὼ διὰ τῆς ἐρήμου τῆς Λιβύης, ἐκεῖσε δὲ περὶ Κυρήνην ἐδέξαντο τὴν βῶλον παρὰ τοῦ Τρίτωνος, ὡς ἔφην, Εὐρυπύλῳ ὁμοιωθέντος. ἐλύθη δὲ ἡ βῶλος περὶ Θήραν βραχεῖσα ἐν τῷ πλοίῳ· μαντεύεται ἡ Μήδεια τοῖς Ἀργοναύταις, τὸν [3] ἀπ' Εὔφημον ἑπτακαιδεκάτῃ γενεᾷ στεῖλαι ἀποικίαν εἰς Λιβύην ἐκ τῆς [4] Θήρας, (ἡ δὲ Θήρα Καλλίστη πρότερον ἐλέγετο) ὃ καὶ γέγονεν· Εὔφημος γὰρ ἐν Λήμνῳ [5] Λαμάχῃ μιγείς, [6] Λευκοφάνη γεννᾷ, ἐξ οὗ κατάγεται καὶ [7] Βάττος, ὁ κτίστωρ Κυρήνης, ὁ διὰ στάσιν ἐκ τῆς Θήρας χρησμῷ εἰς Λιβύην μετοικίσας, καὶ οὕτως κτίσας τὴν Κυρήνην, ὥς φησι Μνασέας. Βάττον δὲ οἱ μὲν αὐτόν φασι, διὰ τὸ βατταρίζειν καὶ κεκομμένην ἔχειν τὴν φωνήν, Ἀριστοτέλην καλούμενον· ἄλλοι φασίν, ὅτι τὸ Βάττος Λιβυκῶς βασιλεὺς λέγεται. Οὕτω μὲν Πίνδαρος καὶ οἱ λοιποί, οὓς εἶπον, ἱστορικοὶ τὸν Τρίτωνα καὶ Ποσειδῶνος υἱὸν λέγουσι, καὶ δοῦναι βῶλον γῆς [8] τῶν Ἀργοναυτῶν, ἐξ ἧς αὐτοῖς [9] ἐμαντεύσατο Μήδεια ἐκ Θήρας εἰς τὴν Λιβύην σταλῆναι ἀποικίαν· ὁ δὲ Λυκόφρων οὗτος τὸν Τρίτωνα καὶ Νηρέως υἱὸν λέγει, ἴσως [10] παρὰ τὸ ῥῆξιν τὸν αὐτὸν λέγει εἶναι τῷ Ποσειδῶνι, καὶ [11] λαβεῖν παρὰ Μηδείας χρυσοῦν κρατῆρα, ὃν εἶχεν ἀπὸ τῶν τοῦ πατρὸς λαφύρων, [*] ἀνθ' ὧν ὑπέδειξε τὴν ὁδὸν τοῖς Ἀργοναύταις ἀποροῦσι περὶ τοῦ ἔκπλου. Καὶ τοῦτον φασὶ μαντεύσασθαι τοῖς Λίβυσιν, ὅτι τότε δεσπόσουσιν Ἕλληνες Λιβύης, ὅταν τὸν κρατῆρα τις Λίβυς πάλιν Ἕλληνι ἀνδρὶ παράσχῃ, διὸ φοβηθέντας λέγει τοὺς Λίβυας ὀρύγματι τῆς γῆς κρύψαι τὸν κρατῆρα. Οἱ δέ φασιν οὕτως ὅτι φαρμακεργὸς οὖσα ἡ Μήδεια, ταύτην φαρμακεύσασα τὴν ναῦν διέσωσεν, ὑδατώσασα τὸν τόπον, εἰς ὃν παθεῖσα ἦν ἡ ναῦς, καθὼς τὸ πρότερον.

887. Κολχίς.] ἡ Μήδεια· οἱ δὲ Κόλχοι, οἱ καὶ Λαζοὶ λεγόμενοι, Αἰγυπτίων ἄποικοι εἰσί, πλησίον οἰκοῦντες τῶν Ἀβασγῶν, τῶν Μασσαγετῶν λεγομένων· λέγονται δὲ οἱ Κόλχοι, καὶ [12] Σκύθαι Ἀσιανοί, καὶ Λευκόσυροι· οἰκοῦσι δὲ ἐν τοῖς μέρεσι τῆς Ἀσίας, περὶ Φάσιν ποταμόν. ἡ δὲ Εὐρωπαία Σκυθία ἐστὶ περὶ Μαιῶτιν καὶ Τάναϊν· [13] Ἰώσηππος δὲ ὁ Ἑβραῖος καὶ τοὺς Ἀλανοὺς Εὐρωπαίων Σκυθῶν γένος φησίν, οἰκοῦντας περὶ τὴν αὐτὴν Μαιῶτιν, καὶ τὸν Τάναϊν, κατὰ τὴν τῶν Ὑρκανίων πάροδον, καὶ Κασπίων, ἣν Ἀλέξανδρος ὁ βασιλεὺς σιδηραῖς πύλαις κλεισὴν ἐποίησε.

890. Τῖφυς ἄθραυστον σκάφος.] καλῶς εἴρηκε κυβερνήτην τῆς [14] Ἀργοῦς τὸν Τῖφυν, ὃς ἦν υἱὸς [15] Ἀγνίου· τότε γὰρ πλωτῆρας ἦν ὁ Τῖφυς. μετὰ δὲ θάνατον αὐτοῦ, [16] Ἀγκαῖος ἐκυβέρνα τὴν Ἀργώ, ὃν ἔδει εἰπεῖν· ὃν δὲ ὁ Ἀγκαῖος υἱὸς Λυκούργου, ἢ, κατά τινας, Ποσειδῶνος, ὥς φησιν Ἀπολλώνιος ὁ Ῥόδιος, ὁ τὰ Ἀργοναυτικὰ γράψας, καὶ Ἀπολλόδωρος Ἀθηναῖος ἱστορικός. Πίνδαρος δέ, πολλῷ παλαιότερος ὢν ἀμφοτέρων, τὸν Εὔφημον, ὡς εἶπον, λέγει ἐκ τῆς πρώρας τῆς Ἀργοῦς δέξασθαι τὴν βῶλον· εἴτε δὲ πρωρεὺς ἦν ὁ Εὔφημος, κατά τινας, εἴτε κυβερνήτης, οὐκ ἔχω λέγειν τὸ ἀληθές· τίνες οὕτως πως φησὶ Πίνδαρος· [17] Εὔφημος πρώραθε καταβὰς δέξατο βώλακα δαιμονίαν.

892. Θαλασσόπαις.] ὁ Τρίτων. Δίμορφος δέ, παρόσον τὰ μὲν ἄνω εἶχεν ἀνθρώπου, τὰ δὲ κάτω ἰχθύος.

EMENDATIONES.

1 Ὠρείδος Bar. & Grav. 2 Εὐρώπης Grav. 3 Απ' Εὐφήμου Grav. 4 Heic, & paullo post, Κυθήρας pro Θήρας habet Bar. 5 Λαμμάχῃ Bar. 6 Λυσιμάχῳ Bar & Grav. 7 Βάττος ὁ κλίτωρ Impress Βάττος ὁ κτίστωρ Seld. Ego repolui Βάττος, ὁ κτίστωρ. Nam Battum Cyrenen condidisse, refert Strabo Geogr. lib xvii. Λέγεται δὲ ἡ Κυρήνη κτίσμα Βάττου. Unde Cyrenenses Battiada à Silio dictæ, lib. ii.

——— & tinquo à Sole calentes
Battiadas lato imperio sceptrisque regebat.

8 Τοῖς Ἀργοναύταις Grav. 9 Ἐμαντεύσατο Μήδεια MSS omnes. Impressi corruptissime, ἐμαντεύσατο μηδὲν 10 Παρά, pro περὶ, ex Bar. & Grav. Et hanc mutationem paullo ante feci. 11 Λαβεῖν περὶ Μηδείας, pro λαβεῖν περὶ Μηδείας, ex Bar & Grav. Item post Μηδείας delevi μᾶλλον quod in Scholia videtur irrepsisse. * Præpositionem hanc, quam ex Impressis constat excidisse, supplevi ex MSS. 12 Σκύθαι Ἀσιανοί, καὶ Λευκόσυροι, pro Σκύθαι, Ἀσιανοὶ καὶ Λευκόσυροι. Nam Colchi gens erant Scythiæ Asiaticæ. Adi Geographiæ Scriptores. 13 Hic, ut & supra aliquoties, Ἰώσηππος posui, pro Ἰώσηφος, ex MSS. utroque 14 Ἀργοῦς, pro Ἀργώ, ex MSS. utroque. 15 Ἀγνίου Bar. 15 Ἀγκαῖος pro Ἐλικαῖος, ex MSS. utroque, & Nic. Gerbelio. 17 Hæc Pindari verba tanquam versiculus in prioribus Editionibus scripta sunt, quod fieri non debuit. Locus, ad quem respexit Tzetzes, occurrit in Pythionic Od. iv. ubi ita habet.

Πρώραθεν Εὔφαμος καταβάς,
Δέξατ', ———

Duo autem sequentia verba, ut integer fieret sensus, à Tzetze addita sunt.

894. Λίβυς.]

Ελλὰς ὀρέξῃ νοσφίσας πάτρας Λίβυς·
Εὐχὰς δὲ δειμαίνοντες Ἀσβύσαι, κτέαρ
Κρύψουσ' ἄφαντον ἐν χθονὸς [a] νέρθεν μυχοῖς·
Ἐν ᾗ Κυφαίων δύσμορον στρατηλάτην
Ναύταις [b] συνεκβράσουσι [c] Βορραῖαι πνοαὶ,
Τόν τ' ἐκ [d] Παλαύθρων ἔκγονον [e] Τενθρηδόνος,
[f] Ἀφρυσίων σκηπτοῦχον Εὐρυαμπίων,
Καὶ τὸν δυνάστην τοῦ πετρωθέντος λύκου
Ἀποινοδόρπου, καὶ πάγων Τυμφρηστίων·
Ὡς οἱ μὲν Αἰγώνειαν ἄθλιοι πάτραν

Libycus patria privans, Græco dederit:
Quas comminationes metuentes Asbystæ, donum
Abscondent obscurum in cavis terræ finibus;
In quam Cyphæorum infelicem Ducem
Cum nautis exspuent Borei flatus,
Et Palythrium Tenthredonis filium,
Amphrysiorum regem, & Euryampiorum,
Ac Dominum lupi in lapidem conversi
Donivori, montiumque Tymphresti:
Quorum alii Ægoneam miseri patriam

VARIANTES LECTIONES.

a Νέρθε Etymolog. aliique. b Συνεκβράσουσι Bar. c Βορίαι Sold. aliique. Βορεαὶ Bar. al Βορεαὶ al. d Παλαύθρων al. e Τενθρηδόνος Bar. f Ἀμφρυσίων MSS, uterque. Ἀμφρυσίων al. Canterus hunc versum ex Stephano Byzantino sic emendavit,

Ἀμφρύσιον σκηπτοῦχον Εὐρυάμπιον.

Vide Stephanum in voce Εὐρυάμπιος. Idem in v. Ἀμφρυσος hunc versum eodem modo laudavit, nisi quod Ἀμφρύσιον cum simplici σ proferat. g Al. ἀθλιώτεροι.

894. Λίβυς.] Λιβύη, ἡ χώρα, λέγεται ἀπὸ Λιβύης, τῆς Ἐπάφου καὶ Μέμφιδος θυγατρὸς, καθὼς σχεδὸν οἱ πάντες ἱστορικοί φασιν· Ἄνδρων δ' ὁ Ἁλικαρνασσεὺς Ὠκεανὸν φησὶ γῆμαι δύο γυναῖκας, [1] Ὀμφαλόδην καὶ Παρθενόπην, ἐξ ὧν τέσσαρας θυγατέρας γεννῆσαι· [2] τὰς μὲν Ἀσίαν καὶ Λιβύην, θατέρας δὲ Εὐρώπην καὶ Θρᾴκην, ἀφ' ὧν λέγεται κληθῆναι τὰς χώρας. Ἀσβύσται δέ εἰσιν ἔθνος Λιβυκόν.

897. Ἐν ᾗ Κυφαίων.] Κύφος, πόλις Θεσσαλίας, ὅθεν ἦν ὁ Γουνεύς· καὶ Ὅμηρος,

[3] Γουνεὺς δ' ἐκ Κύφου ἦγε δύω καὶ εἴκοσι νῆας.

899. * Παλαύθρα.] πόλις Θεσσαλική. * Ἔκγονον, τὸν υἱὸν, ἢ πάντες χρῶνται, τὸν δὲ υἱοῦ υἱὸν, ἐγὼ δὲ ἀντικρίνω, τὸν τοῦ υἱοῦ υἱὸν ἐκ τοῦ γένου γόνον λέγων· μᾶλλον δὲ τὰ β' διὰ τοῦ ἐκφέρω. ἔγγονον δὲ, ἰσχὺν τὴν γονὴν ἔχοντα, καὶ γυναῖκα καὶ ἄνδρα, ἔχοντα ἐν γένου καὶ τίκτειν, ἢ διαμαρτάνον γονεῦσιν, ἔγγονον μετὰ τοῦ ἢ γράφε. Ἔκγονον δὲ Τενθρηδόνος, ἤτοι υἱὸν, τὸν Πρόθοον λέγει, ὡς καὶ Ὅμηρος,

Μαγνήτων δ' ἦρχε Πρόθοος, Τενθρηδόνος υἱός.

μετὰ γὰρ τὴν Ἰλίου ἅλωσιν, Γουνεὺς, καὶ Πρόθοος, καὶ Εὐρύπυλος εἰς Λιβύην ἦλθον, καὶ ἄλλοι τινὲς σὺν αὐτοῖς.

900. Ἀφρυσίων.] Μαγνήτων, Ἀφρυσὸς γὰρ ποταμὸς Μαγνησίας. Εὐρυαμπίων.] τῶν Μαγνήτων, ἀπὸ πόλεως [4] Εὐρυάμπεως λεγομένης.

901. Καὶ τὸν δυνάστην τοῦ πετρωθέντος λύκου.] τὸν Εὐρύπυλον λέγει, ὃς ἐβασίλευσε τῶν ἐν Θετταλίᾳ τόπων, ὅπου ἐστὶ πεδίον [5] Λύκου καλούμενον, τὸ νῦν λεγόμενον Λυκοδόμον· ἐκλήθη δὲ Λύκου πεδίον οὕτως· Πηλεὺς ἐν κυνηγεσίῳ ἄκων ἀνεῖλεν Ἄκτορα τοῦ Ἀκάστου υἱὸν, ἔπεμψε δὲ Ἀκάστῳ ἄποινα τοῦ φόνου τοῦ παιδὸς, βόας καὶ πρόβατα, ἃ λύκος διέφθειρεν, ὃν ἡ [6] Θέμις ἀπελίθωσεν ἐν οἷς εἴπομεν τόποις. Ἄλλοι δέ φασιν, ὅτι Τελαμὼν καὶ Πηλεὺς, ὥσπερ καὶ κατ' ἀρχὰς εἶπον τοῦ βιβλίου, τὸν αὐτῶν ἀδελφὸν, Φῶκον, υἱὸν δὲ Ψαμάθης τῆς Νηρηΐδος ὄντα, φθονοῦντες ἀνεῖλον· ἡ γοῦν Ψαμάθη, περὶ οὓς ἔφαμεν τόπους, ἔπεμψε τοῖς βουσὶ τοῦ Πηλέως καὶ τοῖς ποιμνίοις λύκον, ὃς ἐκεῖνα ἐλυμαίνετο· Θέτιδος δὲ λιτευσάσης, ἀπελίθωσε τοῦτον πάλιν ἡ Ψαμάθη. Ζήτει δὲ εἰς τὴν ἀρχὴν τοῦ βιβλίου, καὶ εὑρήσεις πλατυτέρως.

902. Ἀποινοδόρπου.] τοῦ λύκου, κατὰ τὸν Λυκόφρονα, τοῦ φαγόντος τὰ ἄποινα τοῦ Πηλέως, ὡς εἴπομεν, ἢ τοῦ δειπνήσαντος ἄποινα ὑπὲρ τοῦ δόρπου αὐτοῦ τὸ ἀπολιθωθῆναι. Καὶ ὁ μὲν Λυκόφρων Γουνέα, Πρόθοον, καὶ Εὐρύπυλον εἰς Λιβύην φησὶν ἀπελθεῖν· Ἀπολλόδωρος δὲ, καὶ οἱ λοιποὶ οὕτω φασί· Γουνεὺς εἰς Λιβύην λιπὼν τὰς ἑαυτοῦ ναῦς, ἐπὶ Κίνυφα ποταμὸν ἐλθὼν κατῴκησεν, ὡς καὶ οὗτος φησί· [7] Μάγνητες δὲ καὶ Πρόθοος ἐν Εὐβοίᾳ περὶ τὸν Καφηρέα σὺν πολλοῖς ἑτέροις διαφθείρονται· Νεοπτόλεμος δὲ μετὰ [8] ζ' ἡμέρας πεζῇ εἰς Μολοσσοὺς ἀπῆλθε μετὰ Ἑλένου, καθ' ὁδὸν θάψας τὸν Φοίνικα. Τοῦ δὲ Προθόου περὶ τὸν Καφηρέα ναυαγήσαντος, οἱ σὺν αὐτῷ Μάγνητες εἰς Κρήτην ῥιφέντες ᾤκησαν. Τύμφρηστος.] ὄρος Μηλιέων.

903. Αἰγώνεια.] πόλις Μηλιέων.

EMENDATIONES.

[1] Πομφολύγην Bar. & Grav. Πομφολύγην Sold. Quod equidem malim; vera simillimum enim est, marinam Deam ἀπὸ τῆς πομφόλυγος nomen traxisse. [2] Τὰς lego cum MSS. omnibus. τὴν Impress. corrupte. Hanc autem & priorem emendationem firmat Æschyli Scholiastes ad Persas: Ἄνδρων ὁ Ἁλικαρνασσεύς φησι τὸν Ὠκεανὸν γῆμαι Πομφολύγην καὶ Παρθενόπην· σχεῖν δὲ, ἐκ μὲν Παρθενόπης, Εὐρώπην καὶ Θρᾴκην· ἐκ δὲ Πομφολύγης, Ἀσίαν καὶ Λιβύην. [3] Sic emendavi hunc versiculum ex Homeri Bœotia, quem Codices nostri hoc modo corruperant,

Γουνεὺς δ' ἐκ Τύνου ἦγε δύο καὶ εἴκοσι νῆας.

* Hoc addidi ex Grav. [4] Εὐρυάμπεως, pro Εὐρυαμπίου, ex Bar. Grav & Stephano Byzantino. Videsis Commentarios nostros. [5] Λυκίας Bar. [6] Θέτις, pro Θέμις, ex Grav. Thetidis enim opera lupus ille mutatus in lapidem fuisse dicitur. [7] Μάγνητες δὲ καὶ Πρόθοος lego. Prothoum enim Magnesium fuisse constat ex dictis. Μάγνης δὲ καὶ Πρόθοος Sold. Μάγνης δὲ ὁ Πρόθοος Edit Bas. ubi Gerbelius Μάγνης reposuit, Μάγνης δὲ καὶ Πρόθοος Edit. Steph. Μάγνης Πρόθοος Bar. Μάγνης δὲ ὁ Πρόθοος Grav. Quarum lectionum, si contextum conferas, nulla retineri potest, nisi διαφθείρονται mutes in διαφθείρεται, & tum Gerbelii lectio recipi poterit; quam equidem malim, quia paullo post Scholiastes tradit Magnesios Prothoo mortuo, in Cretam evasisse; quod tamen de una tantum parte intelligi potest. & probabile est aliam cum Prothoo periisse; atque ita demum prima nostra emendatio amplectenda erit. [8] Δύο Grav. & Bar.

Ποθοῦντες, [a] οἱ δ' Ἔχινον, [b] οἱ δὲ Τίταρον,	Desiderantes, alii Echinum, alii Titarum,
Ἰρόν τε, καὶ Τρηχῖνα, καὶ [c] Περραιβικὴν	Irum, Trachina, Perrhæbicam
[d] Γόννον, [e] Φάλανόν τ', ἠδ' Ὀλοσσόνων [f] γύας,	Gonum, Phalanum, Oloſſonum arva,
Καὶ Κασταναίαν, ἀκτέριστον ἐν πέτραις	Caſtanæam, inſepultam in ſcopulis
Αἰῶνα κωκύσουσιν ἠλοκισμένοι.	Lugebunt ætatem lacerati.
Ἄλλην δ' ἐπ' [g] ἄλλῃ κῆρα κινήσει θεός,	Aliam verò poſt aliam Deus perniciem excitabit,
Λυγρὴν [h] πρὸ νόστου συμφορὰν δωρούμενος.	Difficiles ante reditum clades conciliáns.
Τὸν δ' Αἰσάρου τε ῥεῖθρα, καὶ [i] βραχύπτολις	Alium Æſari fluvius, & urbs parva
Οἰνωτρίας γῆς Κρίμισ' ἐν βεβρωμένον	Oenotriæ terræ Crimiſſa ab hydro

VARIANTES LECTIONES.

a Al. ἴσ'. b Al. ἴσ'. c Περραιβικὴν Bar. eandemque lectionem in *Scholiis* retinet. Περραιβίαν al. d Al. Γόνον. e Al. Φάλαννον. al. Φάλαιννον. f Al. γύας. g Ἄλλην Bar. g Ἱερὸν Sold. i Βραχύπτολις Bar.

904, 905. Ἔχινος, καὶ Ἶρος, πόλεις Θεσσαλίας. * Τίταρος.] ὄρος, καὶ πόλις Μηλιέων. * Τρηχῖνα.] Τραχὶν, πόλις Θεσσαλίας.

906. Γόνον.] Γόνος, ἡ λεγομένη Γονοῦσα, πόλις Περραιβίας· οἱ δὲ Περραιβοὶ, ἔθνος Ἠπειρωτικόν. Φάλανος, καὶ Ὀλοσσὼν, πόλεις Ἠπείρου, καὶ Θεσσαλίας· ἡ δὲ Ὀλοσσὼν νῦν Ἐλασσὼν λέγεται. Γύας.] χώρας, ἀγρούς· τὸ γυ δὲ, καὶ μετὰ τοῦ ι, καὶ χωρὶς τοῦ ι γραφόμενον, ἄπλαστον ἐν τῷ μέσῳ ἐστίν.

907. [1] Κασταναία.] πόλις Μαγνησίας τῆς Θετταλικῆς.

911. Τὸν δ' Αἰσάρου τε ῥεῖθρα.] [2] τὸν δὲ Φιλοκτήτην, τὸν φονέα τοῦ Ἀλεξάνδρου, δέξονται τὰ ῥεῖθρα τοῦ Αἰσάρου, ποταμοῦ τοῦ Κρότωνος, καὶ ἡ Κρίμισσα, ἡ μικρὰ πόλις τῆς Οἰνωτρίας καὶ Ἰταλικῆς γῆς· μεταπεμφθεὶς γὰρ ἐκ Λήμνου Φιλοκτήτης ὑφ' Ἑλλήνων, κατὰ μὲν τὸν Ὀρφέα, ὑπὸ Μαχάονος ἰᾶται τῆς Ὀφιώδου πληγῆς· κατὰ δὲ ἑτέρους, καὶ Διονύσιον, ὕπνον αὐτῷ ἐπιβαλὼν Ἀπόλλων ἀπολουσαμένῳ, καὶ οὕτω τεμὼν αὐτὸν ὁ Μαχάων, καὶ ἀποπλύσας οἴνῳ, καὶ θεὶς βοτάνην ἰάσατο· ἐκέκτο δὲ ἐν Λήμνῳ πρῶτον, δηχθεὶς ὑπὸ ὄφεως ὕδρου, τοῦ καὶ χελύδρου λεγομένου, ὅτε ἐκάθαιρεν ἐν Χρύσῃ τὸν κεχωσμένον βωμὸν τῆς Ἀθηνᾶς. Οἱ δὲ φασὶν, ὅτι Χρύση, νύμφη τις, ἠράσθη ἐκεῖ τοῦ Φιλοκτήτου, μὴ πεισθέντος δὲ αὐτοῦ συνελθεῖν αὐτῇ, τῆς τοιαύτης ὀργῇ ὑπὸ τοῦ λεγομένου ὕδρου ἐδήχθη. Ἑλένου δὲ, τοῦ Πριάμου παιδὸς, μάντεως ὄντος, καὶ ἢ μόνου αὐτομολήσαντος τοῖς Ἕλλησι, καθά φασιν Ὀρφεύς τε, καὶ Τρυφιόδωρος, ἢ, ὥς φησι Σοφοκλῆς, ἐνεδρευθέντος καὶ καταχεθέντος ὑπ' Ὀδυσσέως, καὶ εἰπόντος μὴ ἄλλως τοὺς Ἕλληνας πορθῆσαι τὸ Ἴλιον, εἰ μὴ τὰ ὀστᾶ τοῦ Πέλοπος ἐνέγκωσι, καὶ τὸν Ἀχιλλέως υἱὸν Νεοπτόλεμον, καὶ τοῦτον τὸν Φιλοκτήτην, ἤγαγον ἅπαντας. Οὗτος δὲ ὁ Φιλοκτήτης ἀντιστάντα αὐτῷ τὸν Ἀλέξανδρον πρὸς τοξείαν, τοξεύσας πρῶτον μὲν κατὰ τῆς λαιᾶς χειρὸς, εἶτα τὸν δεξιὸν αὐτοῦ ἐκβαλὼν ὀφθαλμὸν, καὶ τρίτον τοὺς πόδας βαλὼν, ἀνεῖλεν. Μετὰ δὲ τὴν Ἰλίου πόρθησιν, Μενεσθεὺς, Φείδιππός τε, καὶ Ἄντιφος, καὶ οἱ [3] Ἐλεφήνορος, καὶ Φιλοκτήτης μέχρι Μίμαντος κοινῇ ἔπλευσαν· εἶτα Μενεσθεὺς μὲν εἰς Μῆλον ἐλθὼν βασιλεύει, τοῦ ἐκεῖ βασιλέως, Πολυάνακτος, τελευτήσαντος. Ἄντιφος δὲ, ὁ Θεσσαλοῦ, εἰς Πελασγοὺς ἐλθὼν, * καὶ τὴν * χώραν κατασχὼν, Θεσσαλίαν ἐκάλεσε· Φείδιππος δὲ μετὰ Κῴων ἐξωσθεὶς περὶ τὴν Ἀνδρίαν, εἶτα περὶ Κύπρον, ἐκεῖ κατῴκησεν. Ἐλεφήνορος δὲ ἀποθανόντος ἐν Τροίᾳ, οἱ σὺν αὐτῷ ἐκπεσόντες περὶ τὸν Ἰόνιον, Ἀπολλωνίαν ᾤκησαν τὴν ἐν Ἠπείρῳ, καὶ οἱ τοῦ Τληπολέμου προσέσχον Κρήτῃ, εἶτα ὑπ' ἀνέμων ἐξωσθέντες, περὶ τὰς Ἰβηρικὰς νήσους ᾤκησαν· ἐν δὲ Πινδάρου ἱστορίαις εὗρον, ὅτι οἱ τοῦ Τληπολέμου ἀπεσώθησαν εἰς Ῥόδον, τὴν αὐτῶν πατρίδα· καὶ ἡ γυνὴ Τληπολέμου, Φιλοζώη, μεγάλως δακρύουσα, ἀγῶνας ἐπὶ τῷ [4] ταύτης ἀνδρὶ ἔθετο, καὶ παῖδες ἠγωνίζοντο, καὶ οἱ νικῶντες λεύκης φύλλοις ἐστέφοντο. Οἱ δὲ Προτεσιλάου εἰς Πελλήνην ἀπερρίφησαν πλησίον πεδίου Κανάστρου. Φιλοκτήτης δὲ ἐξώσθη εἰς Ἰταλίαν πρὸς Καμπανοὺς, καὶ πολεμήσας Λευκανοὺς, πλησίον [5] Κρότωνος καὶ Θουρίου Κρίμισσαν κατοικεῖ· καὶ παυθεὶς τῆς ἄλης, Ἀλαίου Ἀπόλλωνος ἱερὸν κτίζει, ᾧ καὶ τὸ τόξον αὐτοῦ ἀνέθετο, ὥς φησιν [6] Εὐφορίων. Οὗτος δὲ ὁ Φιλοκτήτης ἀναιρεῖται· πρὸς γὰρ τῶν πορθησάντων τὸ Ἴλιον, ἐκ Πελλήνης, Ἀχαϊκῆς πόλεως, τινὲς ἐλθόντες εἰς Ἰταλίαν κατῴκησαν· μετὰ δὲ τὴν Ἰλίου πόρθησιν πλέοντες οἱ Ῥόδιοι ἦλθον ἐκεῖσε, καὶ ἐπολέμησαν πρὸς τοὺς ἐκ Πελλήνης μετοίκους, οἷς Ῥοδίοις βοηθῶν Φιλοκτήτης ἀναιρεῖται.

912. Οἰνωτρίας γῆς.] ἔνθα νῦν ἡ Ῥώμη ἐστὶ, χώρα ἦν πρότερον λεγομένη Οἰνωτρία, ὅπου ὁ Φιλοκτήτης κατῴκησε, μετὰ τὴν τῆς Ἰλίου πόρθησιν, καθὰ Διονύσιος, καὶ Δίων, καὶ πάντες οἱ τὰ Ῥωμαϊκὰ γράψαντες ἱστοροῦσιν. Κιγχείνῃ βεβρωμένον.] τὸν Φιλοκτήτην, τὸν δηχθέντα ἐν [7] Χρύσῃ ἢ Λήμνῳ ὑπὸ ὄφεως Λήμνου· ὁ γὰρ κιγχείνης αὐτὸν ἔδηξεν, ἀλλ' ὕδρος, ἀφ' ἧς εἶχε τὰ βέλη αὐτοῦ ἠλειμμένα, μεθ' ὧν τὸν Ἀλέξανδρον ἔβαλεν. εἶδος δὲ ὄφεως εἶπεν ἀντὶ εἴδους· καὶ γὰρ εἶδος ὄφεως ὁ ὕδρος, καὶ ὁ κεγχρῖνος ὁμοίως, ὅντινα ὁ Λυκόφρων καὶ κιγχείνην ἐκάλεσεν· ὅτι δὲ ταῦτα εἴδη ὄφεων εἰσὶ, Νίκανδρος λέγει,

> [8] Ὕδρον μὲν καλέουσι, [9] μεταξίστησι δὲ χέλυδρον.

Καὶ πάλιν περὶ τοῦ κιγχείνου,

> Δήεις [10] κιγχείνην δολιχὸν τέρας, [11] ὅν τε λέοντα
> Αἰόλον [12] αὐδάξαντο περίστικτον [13] φολίδεσσι.

EMENDATIONES.

* Hoc adjeci ex *Bar* & *Grav.* 1 Καὶ Κασταναία Impreſſ. Ego καὶ delevi, ſecutus *Bar.* 2 Τὸν δὲ Φιλοκτήτην, τὸν φονέα τοῦ Ἀλεξάνδρου, δέξονται, pro τὸν δὲ Φιλοκτήτην τῷ φόνῳ τοῦ Ἀλεξάνδρου δέξονται, ex *MSS* omnibus. 3 Ἐλεφήνορος, pro Ἐλεφάνορος, ope *MSS.* utriuſque. Quam emendationem etiam infra faciam. Ἐλεφήνωρ *Grav.* * Ex *Sold.* & *Grav.* 4 Τάφῳ malim legere, *Gerbel.* 5 Κρότωνος καὶ Θουρίου καὶ Κριμισσαν καλοῦσι Impreſſ. Κρότωνος καὶ Θουρίου, Κρίμισσαν καλοῦσι *Sold.* Ego legendum duxi, Κρότωνος καὶ Θουρίου Κρίμισσαν κατοικεῖ· Philoctetes enim Crimiſſam dicitur in Italia condidiſſe, haud procul à Thurio & Crotone. *Stephanus* Byzantinus. Κρίμισσα, πόλις Ἰταλίας, πλησίον Κρότωνος καὶ Θουρίου. Λυκόφρων. Vide Commentarium noſtrum. 6 Ἀλαῖον *Bar.* & *Grav.* Εὐφορίων *Sold.* 7 Χρύσῃ, pro Χρύσῃ μὴ, ex *MSS.* omnibus, & *N. ic. Gerbel.* 8 Ὕδρον, pro ὕδρον, ex *Sold. Grav.* *N. ic.* *Gerbelio*, & *Nicandri* Theriacis. 9 Μεθίστησι *Sold.* 10 Κεγχρίνην *Nicandri* Theriac. Κιγχείνην *Bar.* 11 Ὅν τε λέοντα, pro ὃν τελειοῦντα *MSS.* utroque, & ipſo *Nicandro.* ὅν τε λέοντα, αὐδάξαντο περίστικτον φολίδεσσι *Bar.* 12 Αὐδάξαντο *Sold.* αὐδάξαντο Edit. *Baſ.* 13 Φολίδεσσι Edit. *Baſ.*

913. Φιτροῦ

Κρίμαισι φιτροῦ δέξεται μιαιφόνον·	Morsum recipiet, Facis Occisorem:
Αὐτὴ γὰρ [a] ἄκρων [b] ἄρδιν εὐθυνεῖ χεροῖν	Ipsa namque extremam sagittam diriget manu
Σάλπιγξ, [c] ἀποψάλλουσα [d] Μαιώτην [e] πλόκον	Tubicina, Mæotium intendens nexum:
Δύρα παρ' ὄχθαις ὅς ποτε φλέξας θρασὺν	Qui apud ripas Duræ quondam comburens audacem
Λέοντα, ῥαιβῷ χεῖρας ὥπλισε Σκύθη	Leonem, curvo manus armavit Scythico
Δράκοντ', ἀφύκτων γομφίων [f] λυροκτύπον.	Dracone, inevitabilium molarium Lyricine.
[g] Κρᾶθις δὲ [h] τύμβους ὄψεται [i] δεδουπότος,	Crathis verò sepulcra mortui videbit,
Εὐρὰξ Ἀλαίου Παταρέως ἀνακτόρων,	E regione templorum Alæi Patarei,
Ναύαιθος ἔνθα πρὸς κλύδων' ἐρεύγεται.	Ubi Navæthus effundit undas.
Κτενοῦσι δ' αὐτὸν [k] Αὔσονες Πελλήνιοι	Occident autem illum Ausones Pellenii
Βοηδρομοῦντα Λινδίων στρατηλάταις,	Auxiliantem Lindiorum ducibus,
Οὓς τῆλε Θερμύδρου τε, Καρπάθου τ' ὀρῶν	Quos longè à Thermydri, Carpathique montibus

VARIANTES LECTIONES.

a Ακρων Bar. aliique. b Ἀρδιν Seld. c Ἀποψάλλουσα Bar. d Μαιώτιν Bar. Μαιῶτιν Seld. e Al. πλόκων. f Al. λυροκτύπον. al. λυγροκτύπον. Quam lectionem amplexus est in sua versione G. Canterus. λυγροκτύπον quidem habet Seld. in eo tamen isti ε finali eadem manus ω superposuit, ut videatur iste Librarius lectionis varietatem agnovisse, quam à Tzetze etiam observatam fuisse constat. Vide Commentarios. g Κρᾶθις paroxyton. MSS. uterque. h Τύμβοις Bar. Sed eadem manus isti ας superposuit ν. i Δεδουπότος Bar. Sed isti a manus nuperior superposuit ν. k Αὔσονες Bar.

913. Φιτροῦ μιαιφόνον.] τὸν φονέα τοῦ Ἀλεξάνδρου, * καὶ ἐξῆς. Φιτρὸν δὲ, τὸν Ἀλέξανδρον, διὰ τὸν δαλὸν, τὸν φανέντα κατ' ὄναρ τῇ Ἑκάβῃ.

914.915. Αὐτὴ γάρ.] αὐτὴ γὰρ ἡ Ἀθηνᾶ, [1] ἡ Σάλπιγξ καὶ πολεμικὴ τὴν ἄρδιν καὶ τὸ βέλος τοῦ Φιλοκτήτου εὐθυνεῖ, κατὰ τοῦ Ἀλεξάνδρου δηλονότι, ἐν χερσὶν ἀποψάλλουσα καὶ κινοῦσα καὶ ἕλκουσα τὸν Μαιώτην πλόκον, ἤτοι τὴν νευρὰν τοῦ τόξου τοῦ Φιλοκτήτου, ὅσπερ τόξον ὁ Σκύθης. Τεύταρος γὰρ Ἡρακλῆ ἐχαρίσατο, κατὰ τὸν Λυκόφρονα, διδάξας [2] αὐτῷ καὶ τὴν τοξικήν, ὁ δὲ Φιλοκτήτης καύσας καὶ θάψας τὸν Ἡρακλέα πλησίον τοῦ Δύρα, ποταμοῦ Τραχινίας, ἔλαβεν [3] αὐτὸ εἰς ἀμοιβὴν τοῦ κόπου. Τὴν δὲ περὶ τοῦ θανάτου Ἡρακλέους ἱστορίαν ἐν τοῖς ὄπισθεν πλατύτερον εἶπον.

916, 917. Δύρα παρ' ὄχθαις.] οὕτω συντακτέον· Ὅστις Φιλοκτήτης περὶ τὰς ὄχθας τοῦ Δύρα ποταμοῦ φλέξας καὶ καύσας τὸν θρασὺν [4] λέοντα καὶ Ἡρακλῆ, τὸν λυγροκτύπον καὶ τοξικὸν, τὸν δεινῶς λύρας τὴν νευρὰν τοῦ τόξου κτυποῦντα, ὥπλισε τὰς χεῖρας αὐτοῦ ἐν τῷ ῥαιβῷ Σκυθικῷ δράκοντι, ἤγουν τῷ τόξῳ, τῶν ἀφύκτων γομφίων καὶ βελῶν, ὁ γὰρ ὑπόχω στοί· ἢ δίχα τοῦ ν λυγροκτύπῳ [5] συντάσσει, λέγων, Ὥπλισε τὰς χεῖρας ἐν τῷ ῥαιβῷ Σκύθῃ δράκοντι [6] τῷ λυγροκτύπῳ τῶν ἀφύκτων γομφίων. Ῥαιβὸν λέγει, διὰ τὸ [7] ἀγκύλον τοῦ τόξου. Δράκοντα δὲ, * διὰ * τὸν συριγμὸν τῶν βελῶν, ἢ διὰ τὸ ἄκρον αὐτῶν, δρακοντοειδῶν ὄντων, καὶ ἰοῦ γεμόντων.

918. Γομφίοι.] κυρίως οἱ μυλαῖοι ὀδόντες, καὶ οἱ βλάπτουσι τὰ βέλη φησὶ, διὰ τὸ δάκνειν αὐτὰ τοὺς πεπληγμένους.

Q 2

925. Πλάνοτος

Πλανήτας αἴθων [a] Θρασκίας πέμψει κύων,
Ξένην ἐποικήσαντας ὀθνείαν χθόνα.
Ἐν δ' αὖ [b] Μακέλλοις σηκὸν ἔγχωροι μέγαν
Ὑπὲρ τάφων δείμαντες, αἰδίῳ θεὸν
Λοιβαῖσι κυδανοῦσι, καὶ θυηλαῖς βοῶν.
Ὁ δ' ἱπποτέκτων Λαγγαρίας [d] ἐν ἀγκάλαις,
Ἔγχος πεφρικώς, καὶ [e] φάλαγγα δηΐαν,
Πατρῷον ὅρκον [f] ἐκτίνων ψευδώμοτον,

Errones fervidus mittet Thrascias canis,
Peregrinam habitaturos alienam terram.
Macellis denique templum indigenæ magnum
Super sepulcrum extruentes, æternum Deum
Libationibus honorabunt, & boum sacrificiis.
Equi Fabricator in Langariæ sinu,
Hastam horrens, & catervam bellicam,
Paternum luendo jusjurandum perjurum,

VARIANTES LECTIONES.

a Al. Θρηκίας. Et hanc lectionem MSS uterque eam in Scholiis, quam Textu defendunt. b Μακάλλοις Seld. itaque Tzetzes legisse constat. c Al. Λαγγαρίας. d Hanc vocem non agnoscit Seld. e Φάλαγγα Bar. f Al. ἐκτίνων.

925. Πλάνητας ἐνταυθοῖ δεῖ γράφειν, καὶ οὐ πλανήτας· πλανήτας γὰρ τὸ ται μακρὸν ἔχει· λέγεται δὲ ἐνίοτε καὶ τὸ μακρὸν ὡς βραχὺ, κατὰ κοινὴν συλλαβήν. Αἴθων Θρασκίας κύων.] ὁ διάπυρος Θρακικὸς κύων· λέγει δὲ τὸν Βορρᾶν, ἐπεὶ, κατὰ Ὅμηρον, ἐκ τῶν ἀρκτικῶν τῆς Θρᾴκης πνεῖ· φησὶ γὰρ,

Βορέης, καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον·

ὁ δὲ περιηγητὴς Διονύσιος καὶ τὸν τόπον τῆς Θρᾴκης φησίν. ὅθεν ὁ Βορρᾶς πνεῖ, τὴν [1] Ισμαρικὴν, ἤτοι τὴν Μαρώνειαν, αὐτὴν λέγων· λέγει γὰρ,

Ισμαρικῆ πνοιῇσιν ἐλαυνόμενος Βορέαο,

Ορθὸν φυσῶντος, ἐπεὶ κατ' ἐναντία κεῖται.

927. Μάκαλλα.] πόλις Ιταλίας, ὅπου τάφος, καὶ ἱερὸν Φιλοκτήτου ἀγεδομένου παρὰ τῶν ἐγχωρίων, καὶ θυσίας βοῶν δεχομένου, ὥσπερ οἱ θεοὶ αἰώνιος ὑπάρχει. Η σύνταξις οὕτως· Οἱ δὲ ἐν Μακάλλοις οἰκοῦντες, κτίσαντες σηκὸν ὑπὲρ τοῦ τάφου αὐτοῦ, τιμήσουσιν αὐτὸν, ἤτοι τὸν Φιλοκτήτην, ὡς θεὸν ἐν θυσίαις.

930. Ὁ δ' ἱπποτέκτων.] ὁ νοῦς οὕτως ἔχει· Ο δὲ Επειὸς, ὁ τὸν Δούρειον ἵππον κατασκευάσας τοῖς Ελλησιν εἰς πόρθησιν τῆς Ιλίου, ὁ δειλὸς καὶ ἄνανδρος γεγονὼς, διὰ τὸ ψευδορκῆσαι τὸν πατέρα αὐτοῦ, Πανοπέα, τὴν Αθηνᾶν καὶ τὸν Αρεα, ὅτε συνεστρατεύετο [2] Αμφιτρύωνι ἐπὶ Τηλεβόας διὰ τὸν πρὸς Αλκμήνην πόθον τοῦ Αμφιτρύωνος, ὁ τόδε καὶ τόδε ποιήσας Πανοπεὺς, καὶ διὰ τοῦτο γεννήσας [3] δειλὸν τὸν δὲ τὸν Επειὸν, τέκτονα δὲ ἄριστον, καὶ μηχανικόν· οὗτος ὁ ἱπποτέκτων Επειὸς τὴν Λαγγαρίαν, Ιταλικὴν πόλιν, οἰκήσει, πλησίον τοῦ Κυλιστάρνου ποταμοῦ· τὰ δὲ ἐργαλεῖα καθιερώσει τῷ ἱερῷ τῆς Ιταλικῆς Αθηνᾶς, ἐκεῖνα τὰ ἐργαλεῖα, μεθ' ὧν κατασκευάσας τὸν Δούρειον ἵππον, ἡμῶν τοῖς ἐγχωρίοις Τρωσὶ πήμονα βλάβην· ἡ Κασσάνδρα γὰρ, ἢ [4] ὁ τέχνις ὡς ἀπὸ τῆς Κασσάνδρας ταῦτα φησίν. Η δὲ σύνταξις οὕτως· Ο δ' ἱπποτέκτων Επειὸς, * ὃς * καὶ οὗτος ἀμφὶ Κῖριν καὶ [5] Κυλιστάρνου ὕδωρ καὶ γαῖαν ἔπηλυς καὶ ξένος ναίσεται καὶ κατοικήσει οἰκεῖς πάλαι τῆς πατρίδος αὐτοῦ, Φωκίδος, ἐν ταῖς ἀγκάλαις τῆς πόλεως Λαγγαρίας, ἤτοι ἐν τῇ Λαγγαρίᾳ πόλει· τὰ δ' ἐργαλεῖα καθιερώσει τοῖς ναοῖς τῆς Μυνδίας, ἤτοι τῆς Αθηνᾶς· ποῖα ἐργαλεῖα; ἐν οἷς τεύξει ποτὲ τοῖς ἐγχωρίοις ἐμοῦ Τρωσὶ μάρμαρον βλάβην· τί ποιήσας; τετρήσας καὶ τρυπήσας καὶ κατασκευάσας τὸ βρέτας καὶ τὸ εἴδωλον, ἤτοι τὸν Δούρειον ἵππον, ὁ ἱπποτέκτων καὶ Επειὸς ὁ πολεμός; ὁ πεφρικὼς καὶ φοβηθεὶς τὸ ἔγχος καὶ τὴν φάλαγγα τὴν δηΐαν [6] διὰ τί δὲ πεφρικὼς ταῦτα, καὶ δειλὸς ὑπάρχει; ἐκτίνων καὶ ἀποδιδοὺς, τῆς πατρὸς αὐτοῦ, Πανοπέως, τὸν ψευδώμοτον ὅρκον, ὅντινα ὅρκον ὁ πάλαι ἔτλη ὁρκωμοτῆσαι εἰς τὴν Αλοῖτιν Κυδωνίαν Θρασὼ τὴν Αθηνᾶν, εἰς τὸν τῆς Κρησαίνης θεὸν Αρεα, [7] τὸν τόνδε καὶ τόνδε, ἢ ἀμφὶ τὰς πύλας τῶν δορυκτήτων μήλων· ποίων μήλων καὶ προβάτων; τῶν ὑπαρχόντων ἀπὸ τῶν πύργων τῆς Κομαιθοῦς, συμπεφυρμένων καὶ διακοινουμένων τοῦ στρατοῦ· γινομένων δὲ τῶν προβάτων [8] διακοίνων τοῦ στρατοῦ, ἤτοι λησθέντων, ἕνεκα τῶν νυμφευμάτων τοῦ Αμφιτρύωνος, τῶν στεργοξυνεύνων καὶ πόθον ἐχόντων πρὸς τὴν σύνευνον Αλκμήνην· ἔτλη δὲ ὁρκωμοτῆσαι τίς; αὐτὸς ὁ Πανοπεὺς, ὁ ἐν τῇ χειρὶ τῆς μητρὸς αὐτοῦ πρὸς τὸν ἀδελφὸν αὐτοῦ, Κρῖσον, [9] ἀντιπλακτίσας χερσὶ, πρὸ τοῦ γεννηθῆναι καὶ ἰδεῖν τὸν ἥλιον· τοίγαρ καὶ διὰ τοῦτο τὸ ὁρκωμοτῆσαι, οἱ θεοὶ ποιοῦσι καὶ τὸν υἱὸν αὐτοῦ, Επειὸν, ἰσχυρὸν καὶ ἄνδρα ποιήσαντες φύξηλιν καὶ δειλὸν, πύκτην μὲν καὶ πυγμάχον ἐσθλὸν, πλὴν δὲ καὶ δειλὸν ἐν κλόνῳ καὶ μάχῃ δορός, καὶ πλεῖστον ὠφελήσαντα τὸν στρατὸν ἐν τέχναις καὶ μηχαναῖς. Εχεις γοῦν τὴν σύνταξιν, λεκτέον καὶ τὴν ἱστορίαν· Ιπποτέκτων ὁ Πανοπέως υἱὸς, Επειὸς, ἐποίησε τὸν Δούρειον ἵππον, εἰς ὃν πεντήκοντα, ἢ τρισχίλιοι, ἢ, κατ' ἐμὲ, κγ' ἄνδρες εἰσελθόντες Ελληνες ἐνεβλήθησαν· εἰλκυσθέντος δὲ τοῦ ἵππου παρὰ τῶν Τρώων εἴσω τοῦ τείχους, νυκτὸς ἐξελθόντες, [10] καὶ φρυκτὸν δείξαντες τοῖς λοιποῖς Ελλησιν οὖσιν ἐν Τενέδῳ, κἀκείνοις ἐλθοῦσι τὰς πύλας ἀνοίξαντες, τὸ Ιλιον πορθοῦσι. * Λαγγαρία.] πόλις Ιταλική.

931. Ἔγχος πεφρικώς.] δειλὸς γὰρ ἦν ὁ Επειὸς, ἄριστος δὲ πυγμάχος. *

932. Πατρῷον ὅρκον [11] ἐκτίνων.] ἀποδιδοὺς ποινὴν διὰ τὰς ψευδορκίας τοῦ πατρὸς αὐτοῦ Πανοπέως. * Η δὲ ἱστορία τοιαύτη· * Μίσωρος καὶ Αναξιβίας, τῆς Πέλοπος, θυγάτηρ Ιπ-

EMENDATIONES.

1 Ισμαρον Seld. & Grav. 2 Αμφιτρύωνι, pro Αμφιτρύωνι, ex MSS. omnibus. 3 δειλὸν pro δειλὸν, ex Bar. & Grav. 4 Τέχνις, pro τέχνος ex Grav. Nam τέχνις appellatur à Lycophrone nuncius ille, qui Cassandræ verba Priami jussu observavit. * Hanc voculam adjici debuisse fatebitur quicunque Poetæ Textum conferre dignabitur. Ex Bar. itaque eam deprompsi. 5 Κυλιστάρνου, pro Κυλιστάρνας, ex Bar. Confer iterum Poetæ Textum. 6 Διὰ τί δὲ πεφρικὼς ταῦτα, καὶ δειλὸς ὑπάρχει: pro διὰ τί δὲ πεφρικὼς, καὶ δειλὸς ταῦτα ὑπάρχει; ex Bar. & Grav. Confer iterum ipsius Lycophronis verba, & videbis quantum nostra lectio prius receptæ præstet. 7 Τὸν τόνδε καὶ τόνδε, pro τὸν τόνδε καὶ τόνδε, ex Bar. 8 Διακοίνων, pro ἐπὶ κοινῶν, ex MSS. utroque. 9 Αντιπλακτίσας, pro ἀντιπλακτίσας, ex MSS. utroque. 10 Καὶ φρυκτὸν δείξαντες, καὶ τοῖς λοιποῖς Ελλησιν οὖσιν ἐν Τενέδῳ, κἀκείνοις ἐλθοῦσι τὰς ... mutilata nos ope MSS. Codd. emendavimus. & restituimus. * Hæc emendata adjeci ex Bar. & Grav. 11 Εκτίνων, pro ἐκτίνων, ex MSS. utroque. * Ex Bar. hoc adjeci, delevi autem φησὶ γάρ.

ποδία,

Ον ἀμφὶ μήλων τῶν δορυκτήτων τάλας,	Quod de ovibus captivis miser,
Πύργων [a]Κομαιθοῦς [b]συμπεφυρμένων στρατῷ	Turribus Comæthonis exercitu vastatis
Στεργοξενευνῶν ἕνεκα νυμφευμάτων,	Uxoria propter connubia,
Αλοῖτιν ἔτλη, τὴν [c]Κυδωνίαν, [d]Θρασὼ	Ausus est per Alœtin, Cydoniam, Audacem,
Ορκωμοτῆσαι, [e]τόν τε Κρηστώνης θεὸν,	Thraciæque Deum, Candaum, Mavortem,
[f]Κανδάον, ἢ Μάμερτον, ὁπλίτην λύκον·	Armatum lupum jurare
Ο μητρὸς ἐντὸς δελφύος στυγνὴν μάχην	Qui in matris utero pugnam tristem

VARIANTES LECTIONES.

a Κομαιθοῦς Bar. eandemque lectionem in Scholiis cernitur. b Συμπεφυρμένων Bar. Quæ lectio non est prorsus rejicienda. c Al. Κυδωνίαν. d Θρασοῦ Seld. e Τόν. τε Seld. f Versum hunc non agnoscit Seld.

παιδὸν, ὃς καὶ [1]Ποσειδῶνος Τάφιος, ὃς τῆλε βὰς τῆς πατρίδος, τὰς ὑπ' αὐτὸν ὄντας ἐν ταῖς Εχινάσι νήσους Τηλεβόας, καὶ Ταφίους ὠνόμασε· Ταφίου δὲ υἱὸς Πτερέλαος, ὃν ἀθάνατον καὶ ἀκαταγώνιστον ἐποίησε Ποσειδῶν, ἕως ἂν ἐν τῇ κορυφῇ αὐτοῦ ἡ χρυσῆ θρὶξ παραμένῃ, καὶ οὐ τμηθῇ, ἣν αὐτῷ ἐχαρίσατο· τούτου τοῦ Πτερελάου θυγάτηρ ὑπῆρχε Κομαιθὼ, καὶ ἄρρενες παῖδες, [2]Χρόμιος, Τύραννος, [3]Αντίοχος, [4]Χερσιδάμας, Μήστωρ, [5]Εὐήρης, Ηλεκτρυῶνος βασιλεύοντος σὺν τῇ γυναικὶ Αναξοῖ τῶν Μυκηνῶν· ὧν παῖδες, Αλκμήνη μὲν θυγάτηρ, υἱοὶ δὲ Στρατοβάτης, [6]Γοργοφόνος, Φιλόνομος, Κελαινεὺς, καὶ ἕτεροι, καὶ Λικύμνιος νόθος ἀπὸ Μηδείας Φρυγίας· ἦλθον πρὸς αὐτὸν τὸν Ηλεκτρυῶνα εἰς Μυκήνας Τάφιος, καὶ οἱ Πτερελάου παῖδες, ἀπαιτοῦντες [7]τὴν βασιλείαν Μυκηνῶν· Ηλεκτρυῶνος δὲ μὴ προσέχοντος αὐτοῖς, ἐλάσαντες βόας αὐτοῦ ἀπήρχοντο· συμβαλόντων δὲ τῶν Ηλεκτρυῶνος παίδων ἐκείνοις, πάντες ἀνῃρέθησαν, σωθέντος ἐκ μὲν τῶν Ηλεκτρυῶνος παίδων Λικυμνίου, ἐκ δὲ τῶν Πτερελάου, Εὐήρους· οἱ δὲ Τάφιοι τὰς βόας ἐλάσαντες, Πολυξένῳ τῷ Ηλείων παρέθεντο βασιλεῖ· Αμφιτρύων δὲ παρὰ Πολυξένου λαβὼν, ἦγεν εἰς Μυκήνας. Ηλεκτρυὼν δὲ θέλων ἐκδικῆσαι τοῖς παισὶν, παραδοὺς Αμφιτρύωνι τὴν θυγατέρα καὶ τὴν βασιλείαν, στρατεύειν ἔμελλε Τηλεβόαις· ἐν δὲ τῷ αὐτὸν παραλαμβάνειν τὰς βοῦς, μιᾶς πλανηθείσης, ἀφεὶς ἐπ' αὐτὴν ῥόπαλον Αμφιτρύων, ἀνεῖλεν [8]αὐτὴν, ἀποκρουσθέντος ἐκ τοῦ κέρατος τοῦ ῥοπάλου καὶ πλήξαντος αὐτὴν, ὅθεν ὁ Σθένελος Μυκηνῶν διώξας αὐτὸν τὸν Αμφιτρύωνα, βασιλεύει Μυκηνῶν καὶ Τίρυνθος· αὐτὸς δὲ ὁ Αμφιτρύων παρὰ Κρέοντι ἐν Θήβαις τοῦ φόνου καθαίρεται· καθαρθεὶς δὲ, σὺν Κρέοντι, καὶ Κεφάλῳ, καὶ Πανοπεῖ, κατὰ Λυκόφρονα, [9]καὶ σὺν ἑτέροις, τὰς Ταφίων νήσους πολεμῶν ἑλεῖν οὐκ ἐδύνατο, ἕως ἐρασθεῖσα [10]Αμφιτρύωνος, ἢ Κεφάλου Κομαιθὼ, ἡ Πτερελάου θυγάτηρ, ἀπέτεμε τὴν τοῦ πατρὸς αὐτῆς, Πτερελάου, χρυσῆν τρίχα, καὶ ἀνεῖλεν αὐτόν· λαβὼν δὲ Αμφιτρύων τὰς νήσους, Κεφάλῳ δίδωσι, ὃς οἰκήσας ἐν ταύταις, Κεφαλληνίαν αὐτὰς ἐκάλεσεν. Εν γοῦν τῇ πρὸς Ταφίους μάχῃ περὶ τῆς συμβολῆς τοῦ πολέμου, φησὶν * ὁ πᾶσιν ἐναντίομυθος ἰσοσελλαῖς * ὁ Λυκόφρων, ὅτι ὤρκωσεν ἅπαντας Αρεα καὶ Αθηνᾶν μηδὲν ὑποκρύψειν τῶν λαφύρων, μόνος δὲ παραβὰς τοὺς ὅρκους ὁ Πανοπεὺς, καὶ κρύψας τι τῶν λαφύρων, τούτου ἕνεκα δειλὸν παῖδα, τὸν Επειὸν, ἐγέννησεν.

933. Αμφὶ μήλων.] ὑπὸ μέρους τῶν κτημάτων ὅλων, ὡς καὶ Ησίοδος,

——— μήλων ἕνεκ' Οἰδιπόδαο,

ἀντὶ τοῦ πλούτου καὶ βασιλείας τοῦ Οἰδίποδος.

934. Κομαιθοῦς.] Κομαιθὼ, θυγάτηρ Πτερελάου, ὅτε ἐρασθεῖσα Κεφάλου, τινὸς τῶν μετ' Αμφιτρύωνος, προὔδωκε τὴν πόλιν, καὶ τὸν πατέρα τοῖς πολεμίοις, τοῦτο φησὶ Στεργοξενευνῶν ἕνεκα νυμφευμάτων· τὸ ἐκλιπέστερον οὕτως περὶ τὸν γάμων Αμφιτρύωνος καὶ Αλκμήνης, καὶ γὰρ διὰ τὴν αἰτίαν τοῦ γάμου τῆς Αλκμήνης ἐκινήθη ὁ πόλεμος.

936. Αλοῖτις, Κυδωνία, καὶ Θρασὼ.] ἐπίθετα Αθηνᾶς, ὡς καὶ Αρτέμιδος Δίκτυννα παρὰ Κρησὶν, Οὖπις παρὰ Θρᾳξὶν, Ορθωσία παρὰ Αρκάσιν, ἀπὸ ὄρους Ορθωσίου [11]Λακωνικοῦ.

937. [12]Κρηστώνης θεὸν.] Κρηστώνη, ἡ Θρᾴκη, ἀπὸ μιᾶς πόλεως οὕτω καλουμένης· θεὸς δὲ τοῖς Θρᾳκικοῖς ὁ Αρης, ὅτι πολεμικοὶ τὸ παλαιὸν οἱ Θρᾷκες.

938. Κανδάον.] ἐπίθετον Αρεος, [13]παρὰ τὸ καίνειν καὶ δαίειν. Μαμερτός.] ὁ Αρης ἐστὶν, ἡ δὲ λέξις Ρωμαϊκή· ὁ δὲ * βάρβαρος ὄντος * Λυκόφρων οὐκ ἀρκεσθεὶς τοῖς λοιποῖς, καὶ Ρωμαϊκῶς γράφει· Ρωμαῖοι γὰρ τοὺς πολεμικοὺς μαμερτοὺς καλοῦσιν, ὡς ἱστορεῖ που ὁ Διόδωρος, ὁ Δίων, οὐ γὰρ ἀκριβῶς [14]μέμνημαι· γράφει γὰρ οὑτωσί πως· « Μεσσηνίους « [15]καλακόψαντες τοὺς ὑποδεξαμένους αὐτοὺς, κατέσχον Μεσσήνην καὶ [16]Μαμερτοὺς ἑαυτοὺς ὠνόμασαν, τουτέστι πολεμικούς· Μαμερτὸς γὰρ ὁ Αρης παρὰ Ρωμαίοις καλεῖται. καὶ Κυρῖνος δὲ παρ' αὐτοῖς, ὥς φησι Πλούταρχος.

939. Ο μητρὸς.] ὁ Πανοπεὺς, ὁ ἐντὸς τῆς μητρικῆς δελφύος καὶ μήτρας συμβαλὼν μάχην τῷ ἀδελφῷ αὐτοῦ [17]Κρίσσῳ· οὗτοι γὰρ Φώκου καὶ Αστεροδίας ὄντες υἱοὶ, ἐν τῇ μητρικῇ γαστρὶ διεμαχέσαντο, ὡς καὶ [18]Φαρὲς καὶ ὁ Ζαρὰ, καὶ Προῖτος καὶ Ακρίσιος, οἱ Αβαντες.

EMENDATIONES.

1 Ποσειδῶνος, pro Ποσειδῶν, ex MSS. utroque. 2 Χρόμιος Τύραννος Bar. 3 Αντίοχος Bar. Αντίοχος Seld. 4 Χερσιδάμας Seld. 5 Εὐήρης lego cum MSS omnibus, pro Εὐήρης. Quinetiam Impress. Codd. paullo post habent Εὐήρους. 6 Γοργοφόνος, Φιλόνομος, Κελαινεὺς Bar. Γοργόφονος, Φιλόνομος, Κελαινεὺς Seld. Γοργοφόνος Grav. 7 Τὴν βασιλείαν lego cum MSS. omnibus. τὴν Βασιλεία Impress. absurde. 8 Αὐτὴν, ut etiam paullo post, pro αὐτόν. Siquidem fœminino genere prius usus est Scholiastes. 9 Malim καὶ σὺν ἑτέροις cum Grav. 10 Αμφιτρύωνος, ἢ Κεφάλου, pro ἢ Κεφ. ex MSS. utroque. Nam Scholiastes vult Comæthoaut Amphitryonis amore captam fuisse, aut Cephali; uter vero is fuerit, haud constat inter Mythologiæ Scriptores. * Ex Bar. & Grav. 11 Αρκαδικοῦ Bar. & Grav. Quam lectionem retineri vellem: cur enim apud Arcadas Diana nomen à Laconico monte impositum haberet? At ab Arcadiæ loco nomen sumsisse hanc Deam, ex Hesychio constat; tum etiam ex ipso Tzetze, cujus alibi hæc verba feruntur: Ορθωσία, ἡ Αρτεμις, ἀπὸ Ορθωσίου, ὄρους Αρκαδικοῦ. Vide commentarium nostrum. 12 Κρηστώνης Seld.] Κρηστώνη, ἡ Θρᾴκη emendo ex Bar. Κρηστώνη] ἡ Θρᾷκες Impress. absurde. In Seld. autem tota sententia deest. 13 Παρὰ τὸ καίνειν καὶ δαίειν, pro παρὰ τὸ δαίειν καὶ καίνειν, quæ etsi sensu eadem sint, ob vocum tamen positionem non tam apte respondent dictioni inde derivatæ, ex Bar. Grav. & Phavorino. * Ex Bar. & Grav. 14 Μέμνημαι, pro μέμνησαι ex Seld. 15 Κατακόψαντες, pro καλακόψαντες, ex MSS. utroque. 16 Μαμερτίνους, vel Μαμερτίνοι, pro Μαμερτοὺς, ubique habet Bar. 17 Κρίσσῳ, pro Κρίσσωνι, ex MSS utroque. Crissus enim dictus esse videtur Panopei frater. 18 Φαρὲς καὶ ὁ Ζαρὰ, pro Φαρὲς, καὶ ὁ Ζαρὰς, ex MSS utroque. Vide sacros Mosis libros.

941. Τιτοῦς.]

Στήσας ἀραγμοῖς πρὸς κασίγνητον χεροῖν,	Peregerat manuum pulſibus adverſus fratrem,
Οὔπω τὸ Τιτοῦς λαμπρὸν[a] αὐγάζων φάος,	Cùm nondum Solis claram vidiſſet lucem,
Οὐδ' ἐκφυγὼν ὠδῖνας [b] ἀλγεινὰς τόκων.	Nec effugiſſet laborioſi dolores partus:
[c] Τοιγὰρ πόποι φύξηλιν ἐνδρώσαν σπόρον,	Quapropter Dii timidum crearunt fœtum,
Πύκτην μὲν ἐσθλὸν, πτῶκα δ' ἐν κλόνῳ δορὸς,	Pugilem bonum, timidum autem in haſtæ ſtrepitu,
Καὶ πλεῖστα τέχναις ὠφελήσαντα στρατόν·	Et arte plurimum exercitui utilem:
Ὃς ἀμφὶ [d] Κῖριν, καὶ [e] Κυλιστάρνου γάνος	Qui juxta Cirin, & Cyliſtarni latices
Ἔπηλυς οἴκους τῆλε νάσσεται πάτρας.	Advena procul à patria degeẗ.
Τὰ δ' ἐργαλεῖα, τοῖσι τετρήνας βρέτας	Inſtrumenta verò, quibus fabricando ſtatuam
Τεύξει ποτ' ἐγχώροισι μέρμερον βλάβην,	Dabit olim indigenis vaſram noxam,
[f] Καθιερώσει [g] Μυνδίας [h] ἀνακτόροις.	Myndiæ templo dedicabit.
Ἄλλοι δ' ἐνοικήσουσι Σικανῶν χθόνα,	Alii Siculorum inhabitabunt terram,
[i] Πλαγκτοὶ [k] μολόντες, ἔνθα Λαομέδων τρεῖς	Errones eò delati, ubi tres Laomedon
Ναύταις ἔδωκε Φοινοδάμαντος κόρας,	Nautis dedit Phœnodamantis filias,
Ταῖς κηλοδόρποις συμφοραῖς δεδηγμένος,	Balænam paſcentibus ſtimulatus cladibus,
Τηλοῦ [l] προθεῖναι θηρσὶν ὠμησταῖς βοράν,	Procul exponendas feris crudelibus,

VARIANTES LECTIONES.

a Αὐγάζει Bar. Sed iſti finali ſyllabæ recentior manus ſuperpoſuit ων. b Ἀνδρώδεις al. γαμουμένας Bar. aliique; ubi Scholium in contextum eſt receptum, inquit Canterus. c Τοὶ γάρ Bar. d Κῖριν paroxyton. Bar. Κῖρον Sold. Κίρην al. Σῖριν legendam eſſe putavit Cluverius Ital. antiq. lib. iv. p. 1272. e Al. Κυλιστάρνου. f Καὶ ἱερώσει Sold. g Μυνδίας MSS. uterque. & alii. h Poſt ἀνακτόροις interrogationis notam habet Sold. i Πλαγκτοὶ Bar. aliique. k Μολόντες Bar. l Προθεῖναι Bar.

941. Τιτοῦς.] τῆς ἡμέρας, ὥς φησι καὶ Καλλίμαχος,
[1] Τίφθη δ' ἀνέσχουσι βοοσὶς λόφον ἔχετο Τιτοῦ.

943. Πόποι.] οἱ Θεοὶ, ὅθεν καὶ πολλάκις ὦ πόποι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ὦ Θεοὶ, ἤκουσαν· ἡ δὲ λέξις Δρυόπων. Τὸ δὲ Ηνδρωσαν, οὐ τὸ [2] ἀνδρεῖον ἐποίησαν, ἀλλὰ τὸ ἄνδρα ἁπλῶς ἐποίησαν. Κῖρις, καὶ Κυλίσταρνος, ποταμοὶ εἰσὶν Ἰταλίας.

948. Βρέτας.] τὸ ἀνθρώπινον εἴδωλον, καὶ ἡ εἰκὼν, παρὰ τὸ βροτῷ ὅμοιον εἶναι· οὗτος δὲ βρέτας κατεσκεύασε τὸν Δούρειον ἵππον φησί.

951. Σικανῶν.] τινὲς τοὺς [3] Σικελοὺς ἐδέξαντο πάντας, ἄλλοι δὲ μέρος Σικελῶν τὴν Σικανίαν φασὶ, πόλιν οὖσαν περὶ Ἀκραγαντίνους κειμένην· καὶ αὐτὸς δὲ ὁ Λυκόφρων οἶδε τοῦτο, λέγων,

[4] Κάμψας Γελῶνόν τ', ἠδὲ Σικανῶν πλάκας,
Καὶ θερμὰ Λαίνης σπέος. ——

[5] ἀπαριθμούμενος γὰρ τὰς πόλεις τῆς Σικελίας, καὶ τοὺς τόπους, φησὶ καὶ τὴν Σικανίαν.

953. Φοινοδάμαντος κόρας.] Φοινοδάμας τις Τρὼς, τοῦ οὐ κατ' ἀρχὰς ἤθελεν, συμβάλλειν τοὺς Τρῶας ἐκθεῖναι τὴν Ησιόνην [*] τὴν θυγατέρα Λαομέδοντος [*] τῷ κήτει, εὐλαβούμενος περὶ τῶν θυγατέρων αὐτοῦ τοῦ τελεῖν, μὴ αὐτὰς ἐκδῶσι, καὶ ἔπεισε τοῦτο πεποιηκέναι· ὁ δὲ Λαομέδων μισῶν τὸν Φοινοδάμαντι, ἔδωκε τὰς θυγατέρας ἐκείνου ναύταις [*] ἐκθεῖναι αὐτὰς [*] ἐν Σικελίᾳ θηρσὶν βοράν· οὐ γενομένου, κατὰ γνώμην Ἀφροδίτης ἐσώθησαν· ὧν τῇ μιᾷ κυνὶ ὁμοιωθεὶς ὁ Κριμισὸς ποταμὸς ἐμίγη, καὶ ἐγέννησε τὸν [6] Αἰγέστην, ὃς ἔκτισε τρεῖς πόλεις ἐν Σικελίᾳ, τὴν ἀφ' ἑαυτοῦ [7] Αἰγέστην, καὶ Ἔρυκα, καὶ [8] Εντελλαν, ἢ [9] Ατελλαν, ἀπὸ τῆς γυναικὸς, ἣν ἔγημε· [10] Σπύλλα γὰρ ὠνομάζετο ἡ τούτου γυνή.

954. Ταῖς κηλοδόρποις συμφοραῖς.] [*] ταῖς θλίψεσι, [*] ταῖς ἕνεκα τοῦ μέλλειν δίδοσθαι τὴν Ησιόνην δόρπον καὶ δεῖπνον τῷ κήτει· οἱ γὰρ καὶ ἡ κατεδρώθη, ἀλλ' οὐκ ἐξετέθη· Ηρακλῆς δὲ αὐτὴν ἔσωσεν, ἀπολὼν τὸ κῆτος.

EMENDATIONES.

1 Τίφθη δ' αὖ ἴσχουσι βοοσὶς λόφον Sold. 2 Ἀνδρεῖον, pro ἄνδρειον, ex Sold. 3 Σικανοὺς, pro Σικελοὺς, ex MSS. utroque. 4 Hæc ex Sold. ipſoque Lycophrone in verſus digeſſi, quæ prius confuſe, & corrupte proferebantur. κάμψας Γελῶνον. ἔτι δὲ Σικανῶν πλάκας, καὶ θερμὰ Λαίνης σπέος. Ubi Nic. Gerbelius, Hæc mutila & depravata (inquit) mihi videntur, & ex alio exemplari caſtiganda. 5 Ἀπαριθμούμενος pro ἀπαριθμούμενον & deinde φησὶ, pro φησιν, ex Sold. [*] Hoc adjeci ex Grav. [*] Hæc adjeci ex MSS omnibus ad complendum ſenſum, qui prius mutilus erat, & imperfectus; non enim Laomedon Phœnodamantis filias nautis tradidit in Sicilia, ſed eas nautis dedit in Siciliam portandas. 6 Ἐγέσταν Sold. & Grav. Ἐγέστην Bar. 7 Σιγέσταν MSS. uterque. 8 Ἐντέλλαν Bar. & Grav. Ἐντελλαν Sold. 9 Ἄζελλαν Bar. 10 Hanc ſententiolam nullus MSS. Codd. agnoſcit; nec immerito videtur omiſſa fuiſſe: quomodo enim Urbs Entella, vel Atalla, vel etiam Eaſtylla dici potuit ab Ægeſti uxore, ſi ipſi nomen fuiſſet Styllæ? quamobrem, aut legendum Ἐντέλλα vel Ἀζέλλα, aut delenda hæc verba. [*] Ex Sold. Et Bar. etiam habet θλίψεσι, ut & Grav.

956. [1] Λαομ-

Μολόντας εἰς γῆν ἕσπερον Λαιστρυγόνων,	Progreſſis in occidentalem Læſtrygonum terram,
Ὅπου συνοικεῖ δαψιλὴς ἐρημία·	Ubi larga viſitur ſolitudo:
Αἱ δ' αὖ παλαιστοῦ μητέρος Ζηρυνθίας	Illæ porrò Matri Luctatoris Zerynthiæ
Σηκὸν μέγαν δείμαντο, δωτίνην θεᾷ,	Templum extruxêre magnum, donum Deæ,
Μόρον φυγοῦσαι, καὶ [a] μανοικήτους ἕδρας·	Mortem cùm effugiſſent, & ſedes ſolitarias:
Ὧν δὴ μίαν [b] Κριμισσὸς ἰνδαλθεὶς κυνὶ	Harum unam Crimiſſus aſſimilatus cani
Ἔζευξε [c] λέκτροις ποταμός, [d] ἡ δὲ δαίμονι	Lecto junxit fluvius, cui illa
Τῷ θηρομίκτῳ σκύλακα γενναῖον τεκνοῖ,	Semifero generoſum parit Catulum,
Τριῶν συνοικιστῆρα, καὶ κτίστην τόπων·	Trium fundatorem, & conditorem locorum:
Ὃς δὴ ποδηγῶν πόρθον [e] Ἀγχίσου [f] νόθον,	Qui germen Anchiſæ manu ducens ſpurium,
Ἄξει τρίδειρον νῆσον εἰς λακτμείαν,	In Inſulam deducet tricollem margineam,
Τῶν Δαρδανείων ἐκ τόπων ναυσθλούμενον.	Dardaniis ex locis navi advectum.
[g] Αἴγεστα τλῆμον, σοὶ δὲ δαιμόνων φραδαῖς	O miſera Segeſta, cui Deorum decretis
Πένθος μέγιστον καὶ δι' αἰῶνος πάτρας	Luctus erit maximus, & perpetuus,
Ἔσται πυρὸς [h] ῥιπαῖσιν ἠθαλωμένης.	Ob patriam ignis jactibus combuſtam.
Μόνη δὲ πύργων δυστυχεῖς κατασκαφὰς	Sola ſanè turrium ſubverſiones infelices

VARIANTES LECTIONES.

a Μανοικήτους al. μονοικήτους al. μονοικήτους quidem habet *Seld.* ſed eadem manus α iſti ο, & ει iſti η ſuperpoſuit; idemque in *Scholiis* factum. b Κριμισσὸς *Seld.* c Λέκτροις *Bar.* ſed iſti οι eadem manus ſuperſcripſit, ας. d *Seld.* habet ἥδε. e Ἀγχίσου, al. Ἀγχίσου *Bar.* in eo tamen iſti ς nuperior manus ſuperpoſuit ν. f Νόθου *MSS.* uterque. g Ἔγεστα *MSS.* uterque, & eandem lectionem (quam etiam alii ſequuntur) in *Scholiis* retinent. *Salmaſius* in *Plinian.* Exercit. in *Solini* Polyhiſtora, contra omnium Codicum fidem repoſuit Αἴγεστε, idque de Trojano heroe dictum putat, inſulſe quidem & ridicule, cum in verſibus ſequentibus quatuor adjectiva fœminina huic voci copulet Poeta. Sed quid mirum, ſi *aliquando bonus dormitet Homerus!* h Ῥιπαῖσιν *Seld.*

956. [1] Λαιστρυγόνων.] Λαιστρύγονες, οἱ νῦν Λεοντῖνοι· εἰσὶ δὲ ἐν Σικελίᾳ, ὥς λέγουσιν, ὑπάρχοντες ἀνθρωποφάγοι, διὰ τὸ ἀνελεῖν τοὺς Ὀδυσσέως ἑταίρους· οὐ γὰρ ἦσαν εἰθισμένοι ξένους ὑποδέχεσθαι.

958. [2] Παλαιστοῦ.] ὁ Ἔρυξ, ὡς εἴπομεν, υἱὸς ἦν Ἀφροδίτης καὶ Ποσειδῶνος, παλαιστὴς καὶ πένταθλος. [*] καὶ φρέατος ὅπισθεν μάνθανε· [*] τὸ δὲ ἑξῆς οὕτως· αἱ δὲ τῆς μητρὸς τοῦ Ἔρυκος, Ἀφροδίτης, τοῦ καταπαλαίοντος τοὺς ξένους, ναὸν ἔκτισαν δωρεὰν τῇ θεῷ, φυγοῦσαι τὸν [3] θάνατον, καὶ μονοικήτους ἕδρας καὶ τὰς καθέδρας καὶ διαγωγὰς τὰς ἐν ἐρήμῳ, ἐν ᾗ μόναι τὴν οἴκησιν εἶχον, ἢ ἐν ᾗ μονόκοιτον καὶ δίχα συζυγίας ἀνδρῶν εἶχον τὴν κοίτην καὶ τὴν εὐνήν.

963. [*] Σκύλακα γενναῖον τεκνοῖ.] τὸν Αἴγεστον γεννᾷ. [*]

964. Τριῶν συνοικιστῆρα.] τρεῖς γὰρ πόλεις ἔκτισεν ἐν Σικελίᾳ, [4] Αἴγεσταν, Ἔρυκα, καὶ Ἀτέλλαν, ὡς προεῖπον ἤδη.

965. Ὃς δὴ ποδηγῶν.] ὅτε Αἴγεστος ἐλθὼν εἰς Δαρδανίαν, νόθον Ἀγχίσου παῖδα, Ἔλυμον καλούμενον, ἤγαγεν εἰς Σικελίαν.

966. Ἄξει τρίδειρον νῆσον.] νῆσον τρίδειρον τὴν Σικελίαν λέγει, ἣν καὶ [5] Τρινακρίαν καὶ Τρινακρίαν καλοῦσι· τρία γὰρ ἀκρωτήρια ἔχει, [6] Λιλύβαιον, Πάχυνον, καὶ Πελωρίδα. Εἰς λακτμείαν.] [7] λακτμείαν εἶπεν, ὅτι νῆσος ἡ Σικελία, αἱ νῆσοι δὲ ὑπὸ θαλάσσης περιέχονται, καὶ λάκτεσιν δοκοῦσιν ὑπ' αὐτῆς περιεχόμεναι.

968. 969. Τόδε Πένθος, δηλονότι τῆς ἡμῶν πατρίδος, τῆς Τροίας. Αἴγεστα τλῆμον.] ἡ Αἴγεστα, πόλις Σικελίας, ἡ, κατά τινας, Ἀκράγας καλουμένη, ὅτι δηνεκῶς ὀδύρεται τὰς συμφορὰς Τροίας μόνη ὑπὲρ τὰς ἄλλας κοινὰς πόλεις· πρὸς αὐτὴν οὖν τὴν Αἴγεσταν πόλιν ἀποστρέφει τὸν λόγον. [*] Πρῶτον μὲν γὰρ ὑπὸ Ἡρακλέους ἐκρατήθη ἡ Τροία, δεύτερον ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν Ἑλένην, τρίτον δὲ ὑπὸ τῶν Ἀμαζόνων· ὁ γὰρ Αἰνείας μόνος φυγὼν ἐκ τῆς ἁλώσεως, πάλιν ᾤκησε τὴν Τροίαν, ἐλθοῦσαι δὲ αἱ Ἀμαζόνες πάλιν ἔσκαψαν ταύτην.

EMENDATIONES.

1 Λαιστρυγόνων] Λαιστρυγόνες, οἱ νῦν, pro Λαιστρυγόνων.] οἱ νῦν, ex *MSS.* utroque. 2 Παλαιστοῦ, pro φαλαγγίς, ex *Bar.* ipſoque Poetæ textu. [*] Ex *Bar* & *Grav.* 3 Θάνατον καὶ μονοικήτους ἕδρας] καὶ τὰς &c. *Impreſſ.* Quem locum Ego caſtigavi ope *Bar.* [*] Hoc adjeci ex *Bar.* 4 Ἔγεσταν *MSS.* uterque; aliiſque in locis, pro Αἴγεστα, & Αἴγεστα, ſcribunt Ἔγεστα, & Ἔγεστα de qua variatione dictum ſupra. 5 Θρινακίαν καὶ Τρινακρίαν *Bar.* & *Grav.* 6 Λιλύβαιον, pro Λιλύβαιαν, ex *MSS.* omnibus. 7 Λακτμείαν δὲ *Impreſſ.* Ego δὲ delevi ex fide *Bar.* [*] Hæc uſque ad Λαιστρ. loci alterius eſſe videntur.

976. [1] Λαιστρ.]

Νήπαυστον αἰάζουσα, καὶ γοωμένη,
Δαρὸν ᵃ στενάξεις· πᾶς δὲ ᵇ λυγαίαν λεὼς
Ἐσθῆτα ᶜ προστρόπαιον ἐγκλαινούμενος,
Αὐχμῷ πινώδης λυπρὸν ᵈ ἀμπρεύσει βίον·
Κρατὸς δ' ἀκουρὰς νῶτα καλλυνεῖ φόβη,
Μνήμην παλαιῶν τημελοῦσ' ὀδυρμάτων.
Πολλοὶ δὲ Σῖριν ἀμφὶ, καὶ Λευταρνίαν
Ἄρουραν οἰκήσουσιν, ἔνθα δύσμορος
Κάλχας, ὀλύνθων Σισυφεὺς ἀνηρίθμων,

Incessanter deplorans, ac lugens,
Diu gemes: omnisque populus nigram
Vestem piacularem indutus,
Situ squalidus mœstam exantlabit vitam:
Capitisque intonsa coma tergum decorabit,
Memoriam veterum nutriens lamentorum.
Multi etiam circa Sirin, & Leutarniam
Agrum habitabunt, ubi infelix
Calchas, grossorum Sisyphius multarum,

VARIANTES LECTIONES.

a Στενάξεις Bar. b Al. λευγαίαν. c Πρὸς τρόπαιον Seld. cum Impress. omnibus. Ego vero προστρόπαιον una voce legendum puto, ex emendatione Guil. Canteri, quam confirmat Bar. Quinetiam Gregor. Nazianzenus in Tragœdia versum hunc à Lycophrone mutuatus προστρόπαιον habet. Posset etiam legi Περγεσταῖον gentile: est enim Περγέσταια Siciliæ urbs. Vide Canteri Annotationes. d Ἐμπρεύσει Bar.

976. ¹ Ἄκκεσι.] ἄκουροι γὰρ ἦσαν, καὶ ἐκόμων, ὡς ἐν λύπαις ὄντες.

977. Μνήμην παλαιῶν.] τρέφουσα καὶ αὔξουσα τὴν μνήμην παλαιωθησομένων τῷ χρόνῳ τῆς Τροίας ὀδυρμάτων.

978. Πολλοὶ δὲ Σῖριν.] Σῖρις καὶ Λευταρνία, πόλεις Ἰταλίας, ἔνθα οἱ καταλειφθέντες τῶν ἐξ Ἰλίου φυγόντων ᾤκησαν, καὶ πάντα κατὰ μίμησιν Τροίας ἐποίησαν, καὶ ἔκτισαν πόλιν ὁμοίαν Τροίᾳ· ἣ πρῶτα μὲν ἐκαλεῖτο Πολίειον, εἶτα Ἡράκλειον, εἶτα Σῖρις, ἔνθα τις Κάλχας, οὐχ ὁ Θέσορος, ἀλλ' ὁμώνυμος αὐτῷ μάντις ὑφ' Ἡρακλέος ἀνῃρέθη· ἐπὶ μέρους δὲ αὐτοῦ ἡ ἱστορία ὑποκάτω κεῖται.

980. Σισυφεύς.] ὁ σοφὸς ἀληθομάντις, ἐπεὶ καὶ ὁ Σίσυφος σοφὸς καὶ πανουργότατος. Διαφορὰν ὀλύνθων, φηλήκων, σύκων, καὶ ἰσχάδων ὄπισθεν εἶπον. Κάλχας ὀλύνθων.] πάλιν ἀνακόλουθα ληρῳδεῖ γέρων· οὗτος γὰρ ὁ Κάλχας, ὃν λέγει, ὁ Μόψος ἐστὶν, υἱὸς Ἀπόλλωνος καὶ Μαντοῦς τῆς Τειρεσίου, οὐχ ὁ Ἀργοναύτης Μόψος, * ὁ * τοῦ Ἀμπυκος καὶ Χλωρίδος, τῆς Ὀρχομενοῦ θυγατρὸς, ὃς καὶ δηχθεὶς ὑπὸ ὄφεως ἐν Λιβύῃ τελευτᾷ, καὶ θάπτεται ὑπὸ τῶν Ἀργοναυτῶν· ἀλλ' ἐστιν ὁ Μόψος, ὃν λέγει, * ὁ * Ἀπόλλωνος υἱὸς καὶ Μαντοῦς, ἐν Κολοφῶνι τῆς Ἀσίας ᾤκει, ἢ, κατά τινας, ἐν Κιλικίᾳ, οὐ μὴν ἐν Ἰταλίᾳ, ὡς οὗτος φησίν· ἀλλὰ περὶ μὲν τῆς τούτου πατρίδος οὐ διαμάχομαι, ὅτι δὲ ἀνακολούθως καὶ ἐναντίως φησὶν, οὐ μόνον τοῖς λοιποῖς, ἀλλὰ καὶ ἑαυτῷ, ὁ μικροῦ τὸν ἄνδρα αἰτιῶμαι, καὶ γέρων ² παραφρονίας· πρὶν μὲν γὰρ εἶπε τὸν ³ Θέσορος Κάλχαντα παρ' αὐτοῦ ἡττηθέντα μαντικῇ, καὶ ἀποθανεῖν, ὡς πάντες φασί· μετὰ γὰρ τὴν Ἰλίου πόρθησιν, Κάλχας, Λεοντεὺς, Πολυποίτης, καὶ Ποδαλείριος ἐν Ἰλίῳ τὰς αὐτῶν ναῦς ἀπολιπόντες, πεζῇ πορευόμενοι εἰς Κιλικίαν, καὶ Κολοφῶνα, καὶ καταντῶσι παρὰ τούτῳ τῷ Μόψῳ, ὅπου καὶ ἡττηθέντα μαντικῇ τὸν Κάλχαντα θάπτουσιν· ἐρινεοῦ γὰρ ἱσταμένης Κάλχας τῷ Μόψῳ εἶπε, Πόσους ὀλύνθους ἔχει; ὁ δὲ, ὥσπερ εἶχε τὸ ἀληθὲς, εἶπε, Μυρίους ὀλύνθους ἔχει, καὶ μέδιμνον ἕνα, καὶ ὄλυνθον ἕνα. Μόψος δὲ, ὑαίνης ἐπὶ τόκου ἑστώσης, ἤρετο, Πόσους χοίρους ἔχει κατὰ γαστρὸς, καὶ πότε τέξεται; Κάλχαντος δὲ μὴ ἀποκριναμένου, αὐτὸς πάλιν ὁ Μόψος εἶπε, Δέκα χοίρους ⁴ ἔχει, ὧν ὁ εἷς ⁵ ἄρρην, τέξεται δὲ κατὰ τὴν αὔριον· ὧν γενομένων, Κάλχας ἀθυμήσας τελευτᾷ, Πολυποίτης δὲ καὶ Λεοντεὺς μετὰ τὸ θάψαι αὐτὸν, μετ' ὀλίγον εἰς Ἑλλάδα ἀνεχώρησαν. ὕστερον δὲ καὶ Ἀμφίλοχος, ὁ ⁶ Ἀλκμαίωνος, ⁷ ὑπὸ χειμῶνος ἐξωσθεὶς, κατά τινας, καὶ κατὰ τὸν Λυκόφρονα, πρὸς τοὺς τόπους, οὗ ἦν οὗτος ὁ Μόψος, ἀπηνέχθη, καὶ ὑπὲρ τῆς βασιλείας καὶ τῆς ἀρχῆς τῆς μαντικῆς, ὥς φασι, μονομαχήσαντες, ἀλλήλους ἀπέκτειναν, καὶ ἐτάφησαν παρ' ἑκάτερα μέρη τῆς ⁸ Μεγάρσου πόλεως· ἔστι δὲ καὶ Μέγαρσος ποταμὸς ἐν Σκυθίᾳ. Ἄλλοι δὲ φασιν, ὅτι Ἀμφίλοχος τὸ κληθὲν Ἄργος Ἀμφιλοχικὸν ⁹ πλησίον Ἀκαρνάνων κατῴκισε. Ταῦτα μὲν εἰσι περὶ τοῦ Μόψου τούτου, ὅτι ἦν μετὰ τὴν ὑπ' Ἀγαμέμνονος Ἰλίου πόρθησιν, καὶ αἴτιος τελευτῆς γέγονε τῷ Κάλχαντι, αὐτὸς δὲ μονομαχήσας Ἀμφιλόχῳ ἀνῃρέθη· νῦν δὲ * φλυαρῶν * ὑφ' Ἡρακλέος φησὶν αὐτὸν ἀναιρεθῆναι· πῶς γοῦν ὑφ' Ἡρακλέος ἀναιρεθεὶς, πάλιν ζωωθεὶς, καὶ αἴτιος γίνεται Κάλχαντος τελευτῆς, καὶ αὐτὸς συναναιρεῖται Ἀμφιλόχῳ, τῷ Ἀλκμαίωνος παιδί; ταῦτα πάντως ἐναντία, πρὸ γὰρ τῆς στρατιᾶς Ἀγαμέμνονος, πολλῷ πρότερον ἐν Οἴτῃ ἐτελεύτησεν Ἡρακλῆς· ὅμως δὲ ὁ Λυκόφρων μακρὰν τῆς ἀληθείας, ἢ τῆς παλαιοῦ συμφορητικῶς, οὕτως φησὶ τὴν ἱστορίαν· Ἡρακλέος τὰς Γηρυόνου βόας ἐλαύνοντος ἐξ Ἐρυθείας, καὶ ἰδόντος τὸν Κάλχαντα τοῦτον, ἤτοι τὸν Μόψον, ὑπό τινα ἐρινεὸν καθήμενον, συνέβη ἐρωτῆσαι, Πόσους ὀλύνθους ἔχει ὁ ἐρινεός; τοῦ δὲ εἰπεῖν, Δέκα ¹⁰ μεδίμνους, καὶ ἕνα ὄλυνθον, ὥστε μὴ δύνασθαι χωρῆσαι ἐπιτιθέμενον τῷ μεδίμνῳ· τοῦ δ' Ἡρακλέους πολλὰ βιαζομένου τὸν περιττὸν ὄλυνθον ἐνθεῖναι τῷ μεδίμνῳ, καὶ μὴ δυναμένου, ὁ Κάλχας αὐτοῦ κατεγέλα· ὃν πατάξας κονδύλῳ ἀπέκτεινε, καὶ ἔθαψε περὶ τὸν ἐρινεόν· ἐρινεὸς δὲ καταχρηστικῶς ἐλέχθη ἡ ἀγρία συκῆ, ἀπὸ Ἐρινεοῦ πόλεως Δωρικῆς φαῦλα σῦκα ἐχούσης· ἡ γὰρ Δωρὶς ἐξ πόλεις ἔχει, ¹¹ Κυτίνιον, Βοῖον, Λίλαιον, Κάρφαιαν, Δρυό-

EMENDATIONES.

1 Ἀκουρ. pro ἄκκεσι, ex Seld & ipso Lycophronis textu. * Ex MSS. omnibus. * Ex MSS. utroque. 2 Παρανοίας Bar. Quod equidem malim, quia paullo ante crapulæ Poetam incusavit Tzetzes, 3 Θέστορος, pro Θέσορος, ex MSS. omnibus: Calchas enim Thestoris erat filius. Notissimus versiculus ille Homericus,

Κάλχας Θεστορίδης οἰωνοπόλων ὄχ' ἄριστος.

4 Ἔχει posui, pro ἔχειν, quam emendationem confirmat Grav. Nam recta oratione hæc, ut & ea, quæ supra dicta sunt, profert Mopsus; sin aliter, τέξεσθαι dixisset, non τέξεται. 5 Ἄρρεν, pro ἄρρην, ex MSS. utroque. 6 Ἀλκμαίωνος, pro Ἀλκμαίονος, habent MSS. uterque. 7 Τοῦ χειμῶνος ἐξωσθεὶς, pro ὑπὸ χειμῶνος ἐξωσθεὶς, ex MSS. omnibus. 8 Μεγάρσου. pro Μεγάρου. ex Bar. Grav. ipsoque Lycophrone, qui supra dixit hos duos juxta Megarsum sepultos esse, v. ccccxliii. 9 Πλησίον Ἀκαρνάνων, pro πλησίον Ἀκαρνανίας, ope MSS. utriusque. * Ex Grav. 10 Καὶ μέδιμνον ἕνα Grav. 11 Κύτινον Impress. Κύτειον MSS. Ego reposui Κυτίνιον, nixus auctoritate Stephani, Strabonis Geogr. lib. X & Thucydidis Histor. lib. III. qui consulendi sunt; numerus enim, & ordo harum urbium apud illos est diversus.

πιον,

Κεῖται, [a] κάραν μάστιγι γογγύλῃ τυπεὶς,	Jacet, caput flagello percussus rotundo,
Ῥείθροισιν ὠκὺς ἔνθα μύρεται [b] Σῖνις,	Ubi celer ſtrepit Sinis,
Ἄρδων βαθεῖαν [c] Χωνίας παγκληρίαν.	Profundam irrigans Choniæ regionem.
Πόλιν δ' ὁμοίαν Ἰλίῳ δυσδαίμονες	Urbem verò ſimilem Ilio miſeri
Δείμαντες, ἀλγυνοῦσι Λαφρίαν κόρην,	Condentes, dolore afficient Laphriam virginem,
Σάλπιγγα, δηώσαντες ἐν ναῷ [d] θεᾶς	Tubicinam, perdentes in Deæ templo
Τοὺς [e] πρόσθ' ἕδεθλον [f] Ξουθίδας ᾠκηκότας.	Xuthidas, qui ſedes prius tenuerant.
Γλήναις δ' ἄγαλμα ταῖς ἀναιμάκτοις [g] μύσει,	Tum ſtatua pupillis incruentis connivebit,
Στυγνὴν Ἀχαιῶν εἰς [h] Ἴωνας βλάβην	Diram Achivorum in Ionas cladem
[i] Λεῦσσον, φόνον τ' ἔμφυλον ἀγραύλων λύκων,	Videns, cædemque gentilem luporum agreſtium,
[k] Ὅταν θανὼν λήταρχος, [l] ἱερείας σκύλαξ,	Quando mortuus flamen, ſacerdotis catulus,
Πρῶτος κελαινῷ βωμὸν [m] αἱμάξῃ βρότῳ.	Primus nigro cruentabit aram ſanguine.
Ἄλλοι δὲ πρῶνας δυσβάτους [n] Τυλλησίους,	Alii montes invios Tulleſios,
Λίνου θ' [o] ἁλισμίκτοιο δειραίαν ἄκραν,	Linique maritimi jugoſum promontorium,
Ἀμαζόνος σύγκληρον [p] ἄρσονται πέδον,	Amazonis hæreditariam Terram conſcendent,
[q] Δούλης γυναικὸς ζεύγλην [r] ἐνδεδεγμένοι·	Servæ Mulieris excipientes jugum:

VARIANTES LECTIONES.

a Al. κάρα. b Σῖρις Bar. aliique. Quam lectionem genuinam eſſe, teſtatur *Cluverius* Ital. antiq. lib. IV. p. 1272. Idem paulo poſt hanc lectionem inde confirmari docet, quod advenas iſtos Trojanos urbem ad eum fluvium conditurus ait *Lycophron*, quam ejus commentator *Iſacius* Sirim intelligit una cum Strabone ibid. p. 1274. c Al. Χωνίαν. d Θεοῦ *Seld.* e Al. πρόσθ'. f Ξουθίδας repoſuit, ex emendatione *Johan. Aurati*, *Gul. Canterus*, cujus Annotationes conſulendæ. g Μύσῃ *Seld.* h Ἰάονας *Seld.* i Al. λεύσων. k Ὅτ' ἂν *Seld.* l Ἱερέως *Bar.* m Al. αἱμάξει. n Al. Τυλαισίους al. Τυλλησίους. o Ἀλιστμύκτοιο reponendum putavit *Scaliger*, emendatione, etſi non inerudita; me tamen judice, minus neceſſaria. p Ἀρδεύσονται *Bar.* ἀλώσονται *Seld.* q Κλίτης *Bar.* aliique. r Ἐνδεδυμένοι *Bar.* aliique.

τιν, καὶ τὸν Σειρινὸν, ἀφ' ἧς ἡ κλῆσις τῷ φύλακι συνεῖς. περὶ δὲ τοῦ ποσοῦ τοῦ μάζου, καὶ τοῦ ἀριθμοῦ τῶν ὀλυμπίων ὅπερ εἶπον, κἂν [a] χολιογράφοι τινὲς μὴ εἰδότες δῆθεν μανθάνουσιν εἶπον αὐτούς. Μάστιγι γογγύλῃ.] τῷ χειροπλάστῳ μάστιγι· λέγει δὲ τῷ κονδύλῳ, τῷ γρόνθῳ, ὃς συνεστραμμένων τῶν δακτύλων τῆς χειρὸς δίδοται.

987. Τοὺς πρόσθ' ἕδεθλον.] Ἴωνες, ἤγουν Ἀθηναῖοι, πρὸ τῶν Τρωϊκῶν ἐλθόντες εἰς Ἰταλίαν, ᾤκησαν περὶ Σῖριν· μετὰ δὲ τὴν Ἰλίου πόρθησιν φυγόντων καὶ Τρώων εἰς Ἰταλίαν, Κροτωνιάται, οὓς καὶ Ἀχαιοὺς λέγει, βοηθήσοντες τοῖς ἐν Ἰταλίᾳ τούτοις φυγοῦσι Τρωσὶ, στρατεύουσι μετ' αὐτῶν κατὰ τῆς Σίριδος, καὶ πάντας τοὺς Ἴωνας τῷ τῆς Ἀθηνᾶς ναῷ καταφυγόντας ἀνεῖλον, μεθ' ὧν συνανεῖλον καὶ τὸν ἱερείας τῆς Ἀθηνᾶς παῖδα, ὀνόματι Λήταρχον, γυναικεῖα ἐνδεδυμένον, διὸ ἡ Ἀθηνᾶ ὀργισθεῖσα ἔμυσε τοῦ μὴ βλέπειν.

989, 990. * Στυγνὴν Ἀχαιῶν εἰς Ἴωνας βλάβην * Λεῦσσον.] Ἀχαιοὺς λέγει τοὺς Κροτωνιάτας, οἵτινες συνεμάχησαν τοῖς Τρωσὶ, καὶ ἀνεῖλον τοὺς πρὶν κατοικοῦντας ἐν τῇ Σίριδι Ἴωνας, οὓς καὶ ἐμφυλίους εἶπεν, ἐπειδὴ οἵ τε Ἴωνες, καὶ Κροτωνιάται, ἄμφω Ἕλληνες ἦσαν· οἱ δὲ Τρῶες συλλαβόντες τοὺς Κροτωνιάτας, ἐχειρώσαντο τοὺς ἐν Σίριδι Ἴωνας, καὶ ἀνεῖλον αὐτούς.

991. Λήταρχος.] ὁ δημόσιος ἱερεύς· λῆτον γὰρ, τὸ δημόσιον λέγεται, ἢ ὄνομα κύριον.

993. [a] Τυλλησίους.] Τυλλήσιον, ὄρος, καὶ πόλις, καὶ δρυμὸς ἐν Ἰταλίᾳ.

994. * Λῖνος, καὶ Λῖνον διαφέρει· ὑψηλότερον ἀκρωτήριον τῆς Ἰταλίας. *

995. Ἀμαζόνος σύγκληρον πέδον.] * τὴν * κληρωθεῖσαν πόλιν καὶ γῆν τῇ Ἀμαζόνι Κλήτῃ, ἥτις πόλις, ὁμωνύμως τῇ κτισαμένῃ Ἀμαζόνι, Κλήτη ἐκλήθη· ἡ δὲ Κλήτη, ἡ Ἀμαζὼν, τροφὸς ἦν Πενθεσιλείας, ἥτις μαθοῦσα ὅτι τέθνηκεν ἐν τῇ Τροίᾳ ἡ Πενθεσίλεια, ἐκπλεύσασα κατὰ ζήτησιν αὐτῆς· ἐξωσθεῖσα δὲ ἀνέμοις, ἦλθεν εἰς Ἰταλίαν, κἀκεῖ κτίσασα πόλιν, κατέσχε τὸν τόπον· ἀπὸ δὲ ταύτης αἱ ἐκεῖσε βασιλεύουσαι, Κλῆται ἐλέγοντο, καὶ ἡ πόλις Κλήτη. μετὰ δὲ πολλὰς γενεὰς ἐπιστρατεύσαντες οἱ Κροτωνιᾶται, ἀνεῖλον τὴν τότε βασιλεύουσαν [a] Κλήτην ὑστέραν, οὐχὶ τὴν τὴν πόλιν κτίσασαν, καὶ τὴν πόλιν ἠρείπωσαν.

EMENDATIONES.

a Σχολιογράφοι, pro χολιογράφοι, ex *Seld.* σχολιογράφοι *Bar.* * Hæc occurrunt in *MSS.* utroque. a Τυλλησίους.] Τυλλήσιον, ὄρος &c. pro Τυλλήσιοι.] ὄρος, ope *Bar.* * Hoc adjeci ex *Bar.* & *Grav.* * Ex *MSS.* omnibus. a Κλήτην ὑστέραν, οὐχὶ τὴν τὴν πόλιν, pro Κλήτην ὑστέραν. οὐδὲ γὰρ τὴν πόλιν, ex *Seld.*

Ἣν, χαλκομίτρου θῆσσαν [a] ὀτρηροῦ κόρης, — Quam, baltheo cinctæ æneo famulam impigræ Puellæ,
Πλανῆτιν ἄξει κῦμα πρὸς ξένην χθόνα· — Erronem ducet unda in externam terram:
Ἧς ἐκπνεούσης λοῖσθον ὀφθαλμὸς τυπεὶς — Cujus ultimum exspirantis perfossus oculus
Πιθηκομόρφῳ πότμον Αἰτωλῷ φθόρον — Mortem simiformi perniciosam Ætolo
Τεύξει, τράφηκι φοινίῳ τετυμμένῳ. — Adferet, hasta cruenta secto.
[b] Κροτωνιᾶται δ' ἄστυ [c] πέρσουσίν ποτε — At Crotoniatæ urbem populabuntur quondam
Ἀμαζόνος, φθέρσαντες ἄτρομον κόρην — Amazonis, intrepida interfecta virgine
Κλήτην, ἄνασσαν τῆς ἐπωνύμου πάτρας. — Clete, patriæ cognominis Regina.
Πολλοὶ δὲ [d] πρόσθεν γαῖαν [e] ἐκ κείνης ὀδὰξ — Multi tamen prius terram ab illa mordicus
Δάψουσι πρηνιχθέντες, οὐδ' ἄτερ πόνων — Mordebunt præcipitati, neque impunè
Πύργους [f] διαρραίσουσι [g] Λαυρήτης γόνοι. — Turres vastabunt Laures filii.
Οἱ δ' αὖ Τέρειναν, ἔνθα [h] μυδαίνει ποτοῖς — Alii rursum Terinam, ubi humectat aqua

VARIANTES LECTIONES.

a Ὀτρηροῦς Bar. aliique. ὀτρηρὴν Seld. eandemque lectionem in Scholiis retinet. b Κροτωνιᾶται paroxyton. MSS. uterque, & alii. c Πέρσουσι sine ν finali MSS. uterque, & alii. Quidam sunt, qui post ποτὲ notam distinctionis ponunt, ut Ἀμαζόνος ad κόρην referatur, inter quos etiam est Tzetzes. d Πρόσθε sine ν finali Seld. πρὸς θεῶν al. e Ἐκείνης Bar. f Διαρραίσουσι Bar. g Λαυρίτης Seld. eandemque lectionem in Scholiis retinet. h Κυδαίνει al.

997. Ἣν, χαλκομίτρου θῆσσαν.] ἤγουν τὴν Κλήτην τὴν πρότερον πλανῆτιν ἄξει κῦμα πρὸς ξένην γῆν, θῆσσαν ὑπάρχουσαν τῆς κόρης καὶ θυγατρὸς τοῦ [1] ὀτρηροῦς, ἤτοι τῆς Πενθεσιλείας, τῆς χαλκομίτρου καὶ πολεμικῆς, ἧς τινος Πενθεσιλείας λοῖσθον καὶ ἔσχατον πνεούσης ὁ ὀφθαλμὸς πληγεὶς τεύξει καὶ κατασκευάσει τῷ ἐξ Αἰτωλίας Θερσίτῃ, τῷ μιμοῦς μορφὴν ἔχοντι, τί τεύξει; πότμον φθόρον, ἤτοι πλοῦσιν φθαρτικὴν ἢ θάνατον φθαρτικόν, τετυμμένῳ καὶ συγκοπέντι αὐτῷ τῷ Θερσίτῃ ἐν τράφηκι καὶ ἀκοντίῳ φονικῷ, ἢ ἐν τράφηκι τετυμμένῳ καὶ κοπέντι ἐπὶ φόνῳ· τράφηξ δὲ κυρίως ἡ πλατεῖα σανίς, ἔνθα τοὺς νεοζύμους ἄρτους τιθέασι, νῦν δὲ τὸ δόρυ. * Ὀτρηροῦς κόρης.] θυγατρός, ἤτοι Πενθεσιλείας· * ὀτρηρὴν δὲ λέγει ταύτην ὁ Λυκόφρων, διὰ τὸ δραστήριον τοῦ φρονήματος καὶ ἄδολον, ἢ διὰ τὸ ἄφοβον τῆς γνώμης· δικαία γὰρ ἦν, ὥστε καὶ τὸν δίκαιον ἄνδρα πολλάκις εἰς δίκην ἐλθόντα, ἐλοιδόρει αὐτὸν μέσον τῆς πόλεως, ἀδίκαστον εἶναι, καὶ οὐ φρόνιμον· ὁ δὲ ὀργισθεὶς, ἀνεῖλεν αὐτὴν μετὰ ξίφους.

999. Ἧς ἐκπνεούσης λοῖσθον.] οἱ μὲν εἰδότες φασὶν Ἀχιλλέα ἀνελόντα Πενθεσίλειαν, μετὰ θάνατον αὐτῆς ἐρασθῆναι, ἧς τοὺς ὀφθαλμοὺς ὁ Θερσίτης [2] λαβὼν ἐξώρυξεν· ὁ δὲ Ἀχιλλεὺς ὀργισθεὶς, ἀνεῖλεν αὐτόν, κατὰ τοῦτον μέν, πλήξας δόρατι, κατ' ἐμὲ δέ, καὶ τοὺς λοιπούς, κονδύλῳ, ἤτοι γρόνθῳ· μηδὲ διὰ τὸ ἐξορύξαι ὀφθαλμούς, ἀλλ' ὅτι αἰσχροὺς λόγους κατ' Ἀχιλλέως ἐπέρριπτεν, ὡς δῆθεν ἐρῶντος συνῆφθαι [3] νεκρῷ τῇ Πενθεσιλείᾳ· ἀντιμαχεσαμένη γὰρ Ἀχιλλεῖ ἐκείνη, καὶ πολλάκις ὑπ' αὐτοῦ ἡττηθεῖσα, μόλις δὲ τότε [4] περιγενόμενος καὶ ἀνελὼν αὐτήν, θαυμάζων ἐκείνης τὴν ῥώμην ἐμοῦ, καὶ τὸ κάλλος, καὶ τὸ νεαρὸν τῆς ἡλικίας, ἐδάκρυσε, καὶ τοὺς Ἕλληνας παρεκάλει [5] ταφῆς ἀξιοῦν τὴν νεανίδα· ἐφ' οἷς Θερσίτης συμπλέκων καὶ λέγων μίξεις ἀθέσμους καὶ ἔρωτας, γρόνθῳ ὑπ' αὐτοῦ πληγεὶς ἀναιρεῖται· Διομήδης δέ, ὁ ἀνεψιαδοῦς ὑπάρχων Θερσίτου, χαλεπανθεὶς ἕνεκα τούτου, ἐκ τοῦ ποδὸς ἑλκύσας τὴν Πενθεσίλειαν, εἰς τὸν Σκάμανδρον ἔρριψεν.

1000. Πιθηκομόρφῳ.] τῷ δυσμόρφῳ Θερσίτῃ· πίθηκος γὰρ, ὁ [6] μιμώ, καὶ ὁ λεγόμενος παρ' ἰδιώταις ἀρκούζιανός.

1002. Κροτωνιᾶται δ' ἄστυ.] εἴπομεν ὅτι ὑστέροις χρόνοις ποτὲ οἱ Κροτωνιᾶται ἐπιστρατεύσαντες τῇ Κλήτῃ πόλει, ταύτην πορθοῦσι, καὶ τὴν τότε βασιλεύουσαν Κλήτην ἀνεῖλον, τὴν ὑστέραν

1003. Ἀμαζόνος κόρην.] λέγει τὴν Κλήτην, οὐχὶ [7] τὴν τροφὸν Πενθεσιλείας, ἀλλὰ τὴν ἐσχάτην μετὰ πολλὰς γενεάς.

1005. Πολλοὶ δὲ πρόσθεν.] [8] πολλοὶ δὲ πρόσθεν καὶ πρότερον τὴν γαῖαν τοῖς ὀδοῦσι δάκνουσιν· τουτέστιν, ἐπὶ πρόσωπον πεσοῦνται, [9] ἐκ κείνης καὶ ἐξ ἐκείνης πρηνιχθέντες, ἤτοι συγκοπέντες καὶ ἀναιρεθέντες.

1006. Οὐδ' ἄτερ πόνων.] οὐδὲ χωρὶς κόπου διαρραίσουσι καὶ πορθήσουσι τοὺς πύργους, δηλονότι τῆς Κλήτης, οἱ γόνοι τῆς Λαυρήτης, ἤτοι οἱ Κροτωνιᾶται· Λαυρήτη γὰρ, πόλις Κρότωνος, ἀπὸ [10] Λαύρης, θυγατρὸς Λακινίου, ἀφ' οὗ Λακίνιον, τὸ ἐν Ἰταλίᾳ ἀκρωτήριον· αὕτη δὲ ἡ Λαύρη γυναῖκα ἦν Κρότωνος, ἀφ' οὗ καὶ πόλις Κρότων, καὶ Κροτώνη.

1008. Οἱ δ' αὖ Τέρειναν.] ἕτεροι τὴν Τέρειναν, πόλιν Ἰταλίας, [11] κατοικήσουσιν ἐν πλάνῃ πικρᾷ ταλαιπωρούμενοι, ἔνθα

EMENDATIONES.

1 Ὀτρηροῦς lego cum Bar. & Grav. ὀτρηρὴ edit. Steph. ὀτρηρῷ Basil. * Hæc adjeci ex Bar. & Grav. Deinde ὀτρηρὴν posui, pro ὀτρηρῶν. 2 Λαβὼν ἐξώρυξεν, pro λαθὼν ἐξώρυξεν, ex Bar. & Grav. Si enim latuisset Thersites, cum effodit Penthesileæ oculum, quomodo ei iratus esse potuit Achilles? 3 Νεκρῷ, pro νεκρῷ. 4 Περιγενόμενος, pro περιγενόμενος, ex Bar. & Grav. περιγενόμενος habet Seld. Sed isti primæ a eadem, ut videtur, manus ι, & secundæ, ε superposuit. 5 Ταφῆς, pro ταφαῖς, ex MSS. utroque. 6 Μιμώ, pro Μιμών, ex MSS. omnibus. 7 Τὴν τροφὸν Πενθεσιλείας, pro τὴν πρὸς Πενθεσίλειαν, ex Seld. 8 Πολλοί, pro πολλά, ex MSS. omnibus. 9 Ἐκ κείνης, pro ἐκείνης, sensu id exigente. Confer Poetæ textum. 10 Λαύρης, pro Λαύρους, ex Bar. & Grav. 11 Κατοικήσουσιν ἐν πλάνῃ πικρᾷ ταλαιπωρούμενοι, pro κατοικήσουσιν ἐν πλάνῃ πικρῷ ταλαιπωρούμενοι, ex MSS. omnibus, & emendatione Nic. Gerbelii.

ubi

Ὠκίναρος [a]γλῶ, φοῖβον [b]ἐκβράσσων ὕδωρ,	Terram Ocinarus, puram evomens undam,
[c]Ἀλῃ κατοικήσουσι κάμνοντες πικρᾷ.	Incolent, errore gravi fatigati.
Τὸν δ᾽ αὖ τὰ δευτερεῖα καλλιστευμάτων	Secundas verò pulcritudinis partes
Λαβόντα, καὶ τὸν ἐκ Λυκορμαίων ποτῶν	Ferentem, & ex Lycormæis ortum fluentis
Στρατηλάτην σὺν, [d]καρτερὸν Γόργης τόκον,	Ducem aprum, robustum Gorges filium,
[e]Πῆ μὲν Λίβυσσαν ψάμμον ἄξουσι πνοαὶ	Nunc in arenam Libycam ducent flatus
[f]Θρῆσσαι, ποδωτοῖς [g]ἐμφορούμεναι λίνοις·	Thracii, pedatis invecti velis;
[h]Πῆ δ᾽ ἐκ Λιβύσσης αὖθις ἐμπίπτων νότος	Nunc ex Libya contrà ingruens Auster
Εἰς [i]Ἀργυρίνους, καὶ Κεραυνίων νάπας	Ad Argyrinos, & Ceraunios saltus
Ἄξει, βαρεῖ πρηστῆρι κυμαίνων ἅλα·	Aget, gravi vento agitans mare:
Ἔνθα πλανήτην λυπρὸν [k]ὄψονται βίον,	Ubi erraticam degent miseram vitam
Λακμώνιοι πίνοντες Αἴαντος ῥοάς.	Lacmonii bibentes Æantis aquam.
Κρᾶθις δὲ, γείτων ἠδὲ Μυλάκων [l]ὅροις	Crathis verò, vicinus & Mylacum finibus
Χῶρος συνοίκους δέξεται Κόλχων [m]Πόλαις,	Ager accolas excipiet Colchorum Polis,

VARIANTES LECTIONES

a Γῆς Bar. b Ἐκβράσσων Sold. c Ἄλῃ Sold d Καρτερὰς Bar. e Τῇ Sold. f Θρῆσσαι Sold. g Al. ἐμφερομένοις h Τῇ Sold. i Ἀργυρίνους al. quam lectionem tam in Contextu, quam in Scholiis habet Bar. Ἀργυρίνους al. k Ὄψονται Bar. l Al. ὅρῳ m Πύλαις al. Πόλαις Sold. quam lectionem in Scholiis habet Bar.

ποιεῖ τὴν Τέρειναν μυδαίνει καὶ ἀρδεύει τὴν γῆν ὁ Ὠκίναρος ποταμὸς, ἐκβράσσων καὶ ῥέων ὕδωρ φοῖβον καὶ καθαρόν.

1011. Τὸν δ᾽ αὖ τὰ δευτερεῖα] τὸν δὲ Νιρέα, τὸν Χαρόπου καὶ Ἀγλαΐας, [1] τὸν δεύτερον ὄντα πρὸς τὸ κάλλος τοῦ Ἀχιλλέως, καὶ τὸν Θόαντα, τὸν Ἀνδραίμονος καὶ Γόργης τῆς Οἰνέως θυγατρὸς παῖδα, τὸν ἀπὸ τοῦ Λυκόρμου, τοῦ καὶ Εὐήνου, ποταμοῦ Αἰτωλίας, ὑπάρχοντα, πῇ μὲν ὁ βορρᾶς πνέων εἰς τὴν Λιβύην ἄξει, ἐκ δὲ Λιβύης πάλιν ἀντιπνέων ὁ νότος ἄξει εἰς Ἀργυρίνους, καὶ εἰς τὰ Κεραύνια ὄρη, ἔνθα οἰκήσουσι παρὰ τὸ Λακμώνιον ὄρος, καὶ τὸν Αἴαντα ποταμόν· ὁ Κρᾶθις δὲ ὁ γείτων τοῦ Αἴαντος ποταμοῦ, καὶ ὁ χῶρος ὁ γείτων τοῖς ὅροις καὶ ὁροθεσίοις τῶν Μυλάκων, δέξεται συνοίκους ἐν τῇ [2] πόλει ταῖς ὑπὸ Κόλχων κληθείσαις· καὶ ὑπὸ ποίων Κόλχων; οὓς ψηλαφητὰς ἔστειλε τῆς ἑαυτοῦ θυγατρὸς Μηδείας ὁ Αἰήτης, ὁ βαρὺς, ὁ ἡγεμὼν τῆς Αἴας πόλεως, τῆς Κορίνθου τε. Αἰήτης ὁ ἀνὴρ τῆς Εἰδυίας, Εἰδυῖα γὰρ ἦν μήτηρ Μηδείας, τὴν νυμφαγωγὸν ναῦν, ἤτοι τὴν Ἀργὼ θηρώμενος καὶ ἀναζητῶν· οἵτινες Κόλχοι κατῴκησαν πλησίον Διζηροῦ, ποταμοῦ παραῤῥέοντος τὰς Πόλας. Δευτερεῖα καλλιστευμάτων.] ὅτι δεύτερος ἦν ὁ Νιρεὺς, ὡς ἐν τῇ Βοιωτίᾳ Ὅμηρος λέγει,

Νιρεὺς δ᾽ [3] αὖ Σύμηθεν ἄγε τρεῖς νῆας ἐΐσας·
Νιρεὺς, Ἀγλαΐης θ᾽ υἱὸς Χαρόποιό τ᾽ ἄνακτος·
Νιρεὺς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε
Τῶν ἄλλων Δαναῶν μετ᾽ ἀμύμονα Πηλεΐωνα,
Ἀλλ᾽ ἀλαπαδνὸς ἔην, παῦρος δέ οἱ εἵπετο λαός.

1014. Λίβυσσαν ψάμμον.] εἰς τὴν Λιβύην περιφραστικῶς· ἀμμώδης γὰρ ἡ Λιβύη, καὶ ἐκκεκαυμένη θάλπει ἡλίου. [4] Τὸ δὲ ψάμμος, καὶ ἄμμος διὰ ἑνὸς μ̄ γράφεται, Αἰολικῶς δὲ διὰ δύο.

1015. Ποδωτοῖς.] τοῖς σὺν ἀριθμῷ ἐχάταις μέρεσι.

1017. Εἰς Ἀργυρίνους.] ὁ μὲν ποιητὴς οὕτω, καὶ οἱ γραμματικοὶ σφάλλονται· ὁ μὲν, τοὺς [5] Ἀργυρίνους Ἀργυρείνους λέγων, διὰ τὸ συντεθῆναι τὰ μέτρα· οἱ δὲ Ἠπειρωτικὸν ἔθνος αὐτοὺς λέγουσιν, οὐκ εἰδότες ὅτι τὸ [6] Ἀργύριππον πολίχνιον Σικελίας ἐστὶν, ὅθεν ἦν ὁ συγγραφεὺς Διόδωρος, εἰ μή τι οὐδ᾽ αὐτὸς τῆς ἑαυτοῦ πατρίδος ἐγίνωσκεν ὅπως καλεῖτο. Τὰ δὲ Κεραύνια, ὄρη τῆς Σικελίας· τινὲς δὲ τῆς Ἰταλίας, καὶ οὐ Σικελίας εἶναί φασιν.

1020. Λακμωνία καλεῖται ὁ τοῦ Πίνδου ὄρους ἄκρα, ἀφ᾽ ἧς πολλοὶ ποταμοὶ κατέρχονται, σὺν αὐτοῖς δὲ καὶ ὁ ποταμὸς Αἴας

1021. Κρᾶθις.] ποταμὸς Ἰταλίας τῶν λουομένων τὸ ὕδωρ αὐτοῦ πυρσαίνων τὰς χαίτας, καθά τι [7] Ἡσίγονος ὁ ἱστορικός φησι, Σωτίων τε, καὶ Ἀναβοδίνας οἱ φιλόσοφοι, καὶ Εὐριπίδης ὁ τραγικὸς οὑτωσὶ λέγων,

——— ——— [8] ἂν ὑγραίνει καλλιστεύων
Ὁ ξανθὰν χαίταν πυρσαίνων Κρᾶθις.

Μυλάκων [9] ὅροις.] Μύλακες, ἔθνος Ἰλλυρικὸν, ὥς φασί τινες. [10] Ἡ δὲ τοῦ Πίνδου ὄρους ἄκρα Λακμώνιον καλεῖται, ἀφ᾽ ἧς ποταμοὶ πολλοὶ κατέρχονται, ὅθεν καὶ Αἴας ποταμὸς κατέρχεται.

1022. Κόλχων Πόλαις.] [11] Πόλαι πόλις εἰσὶν Ἠπείρου ὑπὸ Κόλχων κληθεῖσαι, τῶν καταδιωξάντων τὴν Μήδειαν, καὶ μὴ καταλαβόντων αὐτὴν, καὶ διὰ φόβον Αἰήτου ἐνταῦθα κατοικησάντων, καὶ κτισάντων τὴν πόλιν, ὅπερ Κολχιστὶ φωνῇ Πόλαι κα-

EMENDATIONES.

1 Τὸν, pro ὧν, ex Sold. neutrum agnoscit Bar. 2 Πόλαις legi debere indicat v. 1022. 3 Ex Σύμηθεν ἄγε Bar. 4 Τὸ δὲ, pro ἐπὶ δὲ, ex Sold. 5 Ἀργυρίνους Sold. 6 Ἀργύριον Bar. 7 Ἡσίοδος Bar. & Grav. 8 Hos versus Euripidis ego in ordinem digessi. Cæterum ἂν posui, pro ὧν, ex Sold. & Bar. & Grav. 9 Pro ὄρους, lego ὅροις, ex Poetæ Textu, adjuvante etiam Bar. 10 Hæc ab aliqua recentiori manu interpolata videntur 11 Πόλαι πόλις — κληθεῖσαι reposui, pro Πόλαι πόλεις — κληθεῖσαι. Nam Polæ unius urbis nomen erant; quod prius observatum à Cluverio Ital. antiq. lib. I. p. 211 & Bentlejo Fragment. Callimachi p. 356.

Μαστῆρας ἐς θυγατρὸς ἔστειλεν βαρὺς	Quos Filiæ misit inquisitores durus
Αἴας Κορίνθου τ' ἀρχὸς, Εἰδυίας πόσις,	Ææ Corinthique Princeps, Eidyiæ maritus,
Τὴν νυμφαγωγὸν ἐκκυνηγετῶν τρόπιν,	Sponsiferam investigans navem,
Οἳ πρὸς βαθεῖ νάσσαντο Διζηροῦ πόρῳ.	Qui juxta profundum Dizeri fluentum habitarunt.
Ἄλλοι Μελίτην νῆσον [a] Ὀθρωνοῦ πέλας	Alii Melitem insulam juxta Othronum
[b] Πλαγκτοὶ κατοικήσουσιν, ἣν πέριξ κλύδων	Errones occupabunt, quam undique fluctus
Ἐμπλὴν Παχύνου Σικανὸς [c] προσμάσσεται,	Siculus prope Pachynum rigat,
[d] Τοῦ Σισυφείου παιδὸς ὀχθηρὰν ἄκραν	Sisyphii filii jugosum promontorium
Ἐπώνυμον [e] ποθ' ὕστερον χρόνῳ [f] γράφων,	Cognomento quondam futurum radens,
Κλεινόν θ' ἵδρυμα [g] παρθένου Λογγάτιδος,	Inclytumque templum virginis Longatidis,
Ἕλωρος ἔνθα ψυχρὸν ἐκβάλλει [h] ποτόν.	Ubi frigidam Helorus ejicit aquam.
Παπποκτόνος δ' [i] Ὀθρωνὸν οἰκήσει λύκος,	Avi occisor lupus Othronum tenebit,

VARIANTES LECTIONES.

a Al. Ὀθρωνοῦ. Et hanc lectionem tam in Textu, quam Commentariis habet Bar. b Πλαγκτοὶ Bar. c Περιμάσσεται Seld. d Τῆς Σισυφείας Bar. e Al. ποθ'. f Γράψει Bar. g Hunc locum sic distinguit Bar.

———— ———— παρθένου Λογγάτιδος

Ἕλωρος, ἔνθα ————

h Al. ψυχρὸν. Heic etiam Codex Barocianus diversa interpunctione sensum variavit, sic enim legit,

———— ———— ποτόν

Παπποκτόνος δ' Ὀθρωνὸν ————

i Ὀθρωνὸν Bar. aliique.

λέγεται τὸ δὲ Πύλας Κολχικὰς φυγάδας σημαίνει, ὥς φησι Καλλίμαχος. Τὸ ἑξῆς οὕτως· ὁ Κρέων δὲ, * καὶ * χῶρος δέξεται αὐτοὺς [1] συνοίκους, ὁ γείτων τῶν Πύλας τῶν Κόλχων, καὶ τοῖς τῶν Μυλάκων ὅροις.

1023. Μαστῆρας.] ζητητάς, ἀπὸ τοῦ μαστεύειν.

1024. Αἴας Κορίνθου τ' ἀρχός.] Αἶα πόλις Κολχίδος, Κόρινθος δὲ πόλις Πελοποννήσου· ὧν ἀμφοτέρων ἄρχοντα λέγει τὸν Αἰήτην, ὥσπερ καὶ Εὔμηλος ὁ ποιητὴς, οὗ τὰ ἔπη ἐν τοῖς ὄπισθεν εἰρήκειν, καὶ πᾶσαν τὴν ἱστορίαν, ὅτι Ἥλιος Αἰήτῃ καὶ Ἀλωεῖ τοῖς παισὶ τὴν ἀρχὴν διενείματο· καὶ τὴν μὲν Ἀρκαδίαν Ἀλωεῖ δέδωκε, τὴν δὲ Κόρινθον Αἰήτῃ· [2] ὃς οὐκ ἀρεσθεὶς τῇ τῆς Κορίνθου βασιλείᾳ, ἦλθεν εἰς Κολχίδα· τὴν δὲ Κορίνθου ἀρχὴν Βούνῳ, Ἑρμοῦ υἱῷ, παρέδωκε φυλάσσειν, ἕως οὗ ἢ αὐτὸς, ἢ ἐξ αὐτοῦ τις ἔλθοι ἐν Κορίνθῳ. Ἡ σύνταξις· Οὕστινας τοὺς Κόλχους ὁ βαρὺς βασιλεὺς τῆς Κορίνθου Αἰήτης, ὁ πόσις τῆς Εἰδυίας, ἀπέστειλε τὴν θυγατέρα αὐτοῦ Μήδειαν διζήσοντας. Εἰδυίας.] Εἰδυῖα, γυνὴ Αἰήτου, θυγάτηρ Ὠκεανοῦ· οὗ Αἰήτου καὶ Εἰδυίας Μήδεια, καὶ Ἄψυρτος.

1025. Νυμφαγωγὸν τρόπιν.] τρόπις λέγεται τὸ ὑποκάτω τοῦ πλοίου ξύλον, ὃ καὶ στεῖρα λέγεται, ὡς καὶ στερεώτερον τῶν λοιπῶν, καὶ συνέχον τὰ πάντα· νῦν δὲ τρόπιν τὸ ὅλον πλοῖον, τὴν Ἀργὼ, λέγει, ἀπὸ μέρους τὸ πᾶν. Νυμφαγωγὸν δ' αὐτὴν εἶπεν, ὅτι νύμφην οὖσαν τὴν Μήδειαν σὺν τῷ Ἰάσονι ἐκόμιζεν εἰς τὴν [3] Ἰωλκόν.

1026. Διζηροῦ πόρῳ.] Διζηρὸς, ποταμὸς πλησίον [4] Πολῶν, πόλεως τῆς ὑπὸ Κόλχων κτισθείσης.

1027. Μελίτην νῆσον Ὀθρωνοῦ πέλας.] Ὀθρωνὸς, νῆσος μεταξὺ Ἠπείρου καὶ Ἰταλίας· ταύτῃ δὲ νῆσος παράκειται Μελίτη, ἥτις προσβέβληται τῷ Παχύνῳ, ἀκρωτηρίῳ τῆς Σικελίας· ὁ δὲ Ὀθρωνὸς πρὸς τῷ στόματι τοῦ Ἀδρίου.

1030. [5] Τοῦ Σισυφείου παιδός.] τοῦ Ὀδυσσέως· εἶπον δὲ τὴν ἱστορίαν τοῦ Σισύφου· παῖδα γενεαλογοῦσι τὸν Ὀδυσσέα τινὲς τοῦ Σισύφου, περὶ δὲ τοῦ λεγομένου Ὀδυσσείου ἀκρωτηρίου τῆς Σικελίας λεκτέον· Ἀνθ' ὧν Ὀδυσσεὺς ἐν Χερρονήσῳ πρῶτος ἀπήρξατο βάλλειν λίθοις τὴν Ἑκάβην, ἐν Σικελίᾳ πλανώμενος καθ' ὕπνους ἐδειματοῦτο· ἀνθ' οὗ ἱερὸν Ἑκάτης ἱδρύσατο, καὶ κενοτάφιον Ἑκάβης, ὅτι ἡ Ἑκάτη φαντασμάτων αἰτία, φοβερὰ χαλκόπους οὖσα, καὶ ὀφιώδης, καὶ τερατώδης, καὶ ἀφ' ἑαυτοῦ τὸ ἀκρωτήριον Ὀδύσσειαν ἄκραν ἐκάλεσεν, Κάκραν καλουμένην πρὶν, ὅπερ ἐστὶν πλησίον Παχύνου. Τὸ δὲ ἑξῆς οὕτως· Τοῦ Ὀδυσσέως τὴν ἄκραν τῷ ὑστέρῳ τῷ χρόνῳ ποτὲ μέλλουσαν καλεῖσθαι Ὀδύσσειαν. Τὸ δὲ Γράφων, ἀντὶ τοῦ προσγράφων καὶ προσορίζων.

1034. Παπποκτόνος.] Ἐλεφήνωρ, ὁ Χαλκώδοντος παῖς καὶ Μελανίππης, Ἄβαντα, τὸν ἑαυτοῦ πάππον, οὗ γυνὴ Ἀγλαΐα, ἰδὼν ἀμελῶς χειραγωγούμενον παρ' οἰκετῶν, ἄρας ξύλον ἐπὶ τὸν οἰκέτην, ἀνεῖλε τὸν πάππον αὐτοῦ ἄκων, καὶ διὰ τοῦτο φυγῇ κατεδικάσθη· ἐνστάσης δὲ τῆς ἐπὶ Τροίαν στρατείας, ἦλθε, καὶ ἔξωθεν τῆς πατρίδος αὐτοῦ Εὐβοίας, ἤτοι τοῦ Εὐρίπου, στὰς ἐπὶ πέτρας, συνεκάλεσε τὸν λαόν· οὐ γὰρ ἦν θέμις αὐτῷ διὰ τὸν φόνον ἐπιβῆναι τῆς πατρίδος. οὕτω γοῦν συγκαλεσάμενος τὸν στρατὸν, καὶ αὐτὸς συστρατεύει, καὶ ἐλθὼν ἐν τῇ Τροίᾳ, ἀναιρεῖται ὑπὸ Ἀγήνορος· μετὰ δὲ τὴν Τρωϊκὴν ἅλωσιν, οἱ

EMENDATIONES.

1 Συνοίκους, pro συνοίκοις, ex Seld. Confer Lycophronis textum. 2 Ὃς οὐκ ἀρεσθεὶς τῇ τῆς Κορίνθου βασιλείᾳ, pro ὃς οὐκ ἀρεσθεὶς τῇ τῆς Κορίνθου βασιλείας, ex Seld. 3 Ἰωλκὸν, pro Ἰαλκὸν, ex Seld. 4 Πολῶν, pro πολλῶν, ex Bar. & emendatione Nic. Gerbelii. 5 Τοῦ Σισυφείου παιδός.] τοῦ Ὀδυσσέως· εἶπον δὲ τὴν ἱστορ. lego cum Bar. & Grav. Σισυφείου παιδός] εἶπον τὴν ἱστορ. Impress.

τῆς Ἐλε-

Τηλοῦ πατρῷα[a] ῥέεθρα Κοσκυνθοῦ ποθῶν·
Ὃς ἐν θαλάσσῃ χοιράδων βεβὼς ἔπι,
Ῥήτρας πολίταις τὰς στρατοπλώταις ἐρεῖ·
Χέρσου πατρῴας οὐ γὰρ ἂν φονῆ ποσὶ
Ψαῦσαι, μέγαν πλειῶνα μὴ πεφευγότα,
Δίκης [b]ἐάσει πάρεδρος [c]Τελφουσία,
Λάδωνος ἀμφὶ ῥεῖθρα ναίουσα Σκύλαξ·
[d]Ὅθεν, πεφευγὼς ἑρπετῶν δεινὴν μάχην
Δρακοντομόρφων, εἰς [e]Ἀβαντίαν πόλιν
Πλώσει· πέλας δὲ γῆς [f]Ἀτιντάνων μολὼν,
[g]Πράκτιν παρ' αὐτὴν αἰπὺ ναύσεται λέπας,
Τοῦ Χαονίτου νᾶμα [h]Πολυάνθους δρέπων.
Ὁ δ' [i]Αὐσονείων ἄγχι Κάλχαντος [k]τάφων

Procul Coscynthum patrium desiderans fluvium:
Qui scopulos in mari conscendens,
Comitia civibus indicet classem imperantia:
Nec enim homicidam pedibus terram patriam
Contingere, nisi integro anno exularit,
Vindex justitiæ sinet Telphusia,
Ladonis habitans circa flumen Canis:
Unde, fugiens gravem serpentum pugnam
Draconiformium, ad Abantiam urbem
Navigabit, & ad Atintanum terram accedens,
Apud litus altum habitabit promontorium,
Chaonici fluxionem Polyanthis decerpens.
Alius juxta Italica Calchantis sepulcra

VARIANTES LECTIONES.

a Hanc vocem non agnoscit Bar. b Ἐάσῃ Bar. c Τιλφουσία al. Τελφουσίας Seld. d Οὐ Seld. e Ἀμαντίαν Bar. aliique. f Al. Ἀτιντάνων. g Al. Πράκτιν al. Πλακτὴν. Gul. Canterus reposuit ἀκτὴν. Ejus Annotationes videndæ. h Πολυάνθους habent Impress. omnes, & Bar. Ego Πολυάνθου lego cum Seld. itaque scribendum esse prius monuit doctissimus Canterus, cujus Annotationes hac de re consulendæ. i Αὐσονίων MSS. uterque, & alii. k Τάφον Seld. τύμβον al.

τὸν Ἐλεφήνορος περὶ τὸν Ἰόνιον ἐκπεσόντας, ᾤκησαν περὶ Ἀπολλωνίαν τῆς Ἠπείρου·

Οὗτος δ' ἀνεστὰς τοὺς τεθνηκότας λόγοις,
Γράφων Ὀθρωνοὺς, καὶ Μεταπόντιον πόλιν,
Φέρει δρακόντων εἰς Ἀμαντίαν πόλιν.

φησὶ γὰρ, ὅτι μετὰ τὴν τῆς Τροίας ἅλωσιν ἦλθον εἰς Ὀθρωνὸν, καὶ κατοικήσαντες ἐκεῖσε, πάλιν μετῳκίσθησαν εἰς Ἀμαντίαν· ὄφις γὰρ δρακοντοειδὴς αὐτοὺς ἠνάγκασε μεταναστῆναι καὶ φυγεῖν ἀπὸ τῶν τόπων ἐκείνων, καὶ ταῦτα μὲν φησὶ Λυκόφρων. Ὅμηρος δέ φησιν ἐν τῷ δ' τῆς Ἰλιάδος, ἀναιρεθῆναι τὸν Ἐλεφήνορα ὑπὸ Ἀγήνορος ἐν Τροίᾳ. οἱ δὲ περὶ τὸν Ἐλεφήνορα περὶ τὸν Ἰόνιον κόλπον ἐκπεσόντες, ᾤκησαν περὶ Ἀπολλωνίαν Ἠπείρου.

1037. Ῥήτρας πολίταις.] λόγους ἐρεῖ τοῖς πολίταις τῆς χέρσου τῆς πατρικῆς, ἤτοι τοῖς Εὐβοεῦσι λόγους πολιτικούς; [1]στρατοπλώταις καὶ παρακελευομένοις πλέειν τὸν στρατὸν περὶ τὴν Τροίαν.

1038. Οὐ γὰρ ἂν φονῆ.] τὴν φονέα, κατὰ συναίρεσιν Ἀττικῶς· οὐ γὰρ ἂν ἐάσῃ τὴν φονέα ἡ πάρεδρος καὶ ἔκδικος τῆς δίκης Σκύλαξ, ἡ Τιλφουσία καὶ Ἀρκαδική, ἤτοι ἡ Ἐριννὺς, ἡ ναίουσα ἀμφὶ τὰ ῥεῖθρα τοῦ Λάδωνος ποταμοῦ· οὐκ ἐάσῃ τὸν φονέα τί ποιῆσαι; ψαῦσαι ποσὶ τῆς χέρσου τῆς πατρῴας, μὴ πεφευγότα τὸν μέγαν πλειῶνα καὶ [2]χρόνον. Ἢ τὸ χέρσου πατρῴας συντακτέον, ὡς εἶπον πρῴην, τοῖς πολίταις τῆς χέρσου τῆς πατρῴας, καὶ ἀπὸ κοινοῦ τοῦτο, καὶ εἰς τὸ ψαῦσαι ποσὶ τῆς χέρσου τῆς [3]πατρῴας.

1039. Μέγαν πλειῶνα.] [4]νόμος γὰρ ἦν τὸν ἐργασάμενον φόνον φεύγειν ὅλον ἐνιαυτὸν μὴ ψαύοντα τῆς πατρίδος.

1040. Τελφουσία.] πόλις ἐν Ἀρκαδίᾳ, ἔνθα ἡ Ἐριννὺς τιμᾶται.

1041. Σκύλαξ.] ἡ [5]ταραχλική.

1042. Ὅθεν πεφευγώς.] ὅθεν ἀπὸ Ὀθρωνοῦ φυγὼν τοὺς ὄφεις, [6]κατὰ τοῦτον, ὁ πρὶν θανὼν Ἐλεφήνωρ, κατ' ἐμὲ δὲ νεὼς ὡς ζῶν ἦλθεν εἰς τὴν [7]Ἀβαντίαν ἐξ αὐτοῦ κληθεῖσαν· ὅθεν καὶ οἱ ἐν αὐτῇ οἰκοῦντες ἀντὶ τῶν Ἀβάντων, Ἀμαντες μετωνομάσθησαν. Ἀβαντία δὲ, πόλις Ἠπείρου.

1044. Ἀτιντάνοι.] ἔθνος Ἠπειρωτικόν.

1047. Ὁ δ' Αὐσονίων ἄγχι.] περὶ Ποδαλειρίου, τοῦ υἱοῦ Ἀσκληπιοῦ, φησὶν, ὅτι τεθάψεται ἐν Ἰταλίᾳ, πλησίον τοῦ κενοταφίου τοῦ Κάλχαντος, τοῦ ὑφ' Ἡρακλέος ἀναιρεθέντος κονδύλῳ· τέθαπται γοῦν ὁ Κάλχας ἐν Ἄργει, κενοτάφιον δὲ αὐτοῦ ἐστὶν ἐν Ἰταλίᾳ. ἐνταῦθα οὖν τὸν Ποδαλείριον λέγει τεθάφθαι· ψεύδεται δὲ, ὥσπερ καὶ περὶ τοῦ πολυπλανήτου τούτου Κάλχαντος, ὃν πρὶν εἶπεν ἐν Ἰταλίᾳ ὑπὸ τὸν ἑαυτὸν τεθάφθαι· νῦν δέ φησι ψευδοτάφιον εἶναι τὸ ἑαυτοῦ, αὐτὸν δὲ κεῖσθαι ἐν Ἄργει, ἵνα τοὺς μυρίους θανάτους τούτου τοῦ Κάλχαντος, οὓς ἀπέθανεν ὑπὸ τούτου τοῦ Λυκόφρονος, ἐάσω· ὅτι γοῦν ὁ Λυκόφρων ψεύδεται καὶ περὶ Ποδαλειρίου, λέγων αὐτὸν ἐν Ἰταλίᾳ τελευτῆσαι· ὡς δὲ ὅπερ αὐτὸς ἔγραψα, ἀπὸ Τροίας εἰς Κολοφῶνα πεζοὶ ἦλθον Ἀμφίλοχος, Κάλχας, Λεοντεὺς, Πολυποίτης, καὶ οὗτος ὁ Ποδαλείριος· θάψαντες δ' ἐκεῖ τὸν

EMENDATIONES.

1 Στρατοπλώταις, pro στρατοπλώτοις, ex MSS. utroque, & ipso Lycophrone. 2 Χρόνον, pro χρόνῳ, ex Bar. nam χρόνος idem est quod πλειών, ad quod explicandum, tanquam vox notior, adhibetur. 3 Πατρῴας, pro πατρίδος, ex MSS. utroque. 4 Νόμος γὰρ ἦν, pro μόνος γὰρ ἦν, ex Bar. Grav. & Meursii emendatione. 5 Ταραχλική, pro τραχλική. χαραχλική habet Grav. 6 Κατὰ τοῦτον, pro καὶ τοῦτον, ex Seld. & Grav. κατὰ τοῦτο Bar. 7 Non multum interest in aliis locis utrum Ἀβαντίαν, an Ἀμαντίαν scribas; cum utraque lectio ab idoneis Codicibus Lycophronis sustentetur; heic tamen malui Ἀβαντίαν cum MSS quam Ἀμαντίαν cum Impress. sensu id exigente.

Δυοῖν ἀδελφοῖν ἅτερος ψευδηρίων	Honoraria, duorum fratrum alter,
[a] Ξένῳ ἐπ' [b] ὀστέοισιν [c] ὀγχήσει κόνιν·	Peregrinum fuper offa pulverem aggeret:
Δοραῖς δὲ μήλων [d] τύμβον ἐγκοιμωμένοις	Et in ovillis fuper heroum cubantibus
Χρήσει καθ' ὕπνον [e] πᾶσι [f] νημερτῆ φάτιν,	Reddet in fomnis vera cunctis oracula,
Νόσων τ' [g] ἀκέστης [h] Δαυνίοις κληθήσεται,	Morborumque curator à Dauniis vocabitur,
[i] Ὅταν [k] καταικμαίνοντες [l] Ἀλθαίνου ῥοαῖς,	Quando fe humectantes aquis Althæni,
Ἀρωγὸν [m] αὐδήσωσιν [n] Ἠπίου γόνον,	Adjutorem invocabunt Æfculapii filium,
Ἀστοῖσι καὶ ποίμναισι πρευμενῆ μολεῖν.	Ut civibus veniat & gregibus propitius.
[o] Ἔσται ποτὲ πρέσβεισιν Αἰτωλῶν φάος	Illic olim legatis Ætolorum
Ἐκεῖ γοηρὸν, καὶ πανέχθιστον φανεῖν,	Lux luctuofa, & invifa illucefcet,
[p] Ὅταν [q] Σαλάγγων γαῖαν, [r] Ἀγγαίσων θ' ἕδη	Cùm ad Salangorum, & Angæforum terram
Μολόντες, αἰτίζωσι [f] κοιρανοῦ [t] γύας	Delati, Domini petierint jugera

VARIANTES LECTIONES

a Al. ξένοις. b Ὀστέοισιν MSS. uterque & alii. c *Scaliger* mavult ὀγχώσει. Vide quæ in hanc vocem adnotavi initio hujus libelli. d Τύμβος fcribendum exiftimat *Scaliger*. e Πᾶσιν cum ν finali *Seld.* πᾶσαν *Bar.* f Al. νημερτής. g Ἀκεστὴς *Bar.* alii que. Differunt autem ἀκέστης, & ἀκεστὴς, ut nonnulli aiunt. h Δαυνοῖ *Bar.* i Ὅτ' ἂν *Seld.* k Al. κατικμαίνοντες. l Al. Ἀλθαίνου. m Al. αὐδήσουσιν. n Ἡπίου cum fpiritu afpero *Bar.* cæteri cum leni fcribunt. o Ἔσται ποτε *Bar.* p Ὅτ' ἂν *Seld.* q Al. Σαλάγγων. r Ἀγγαισῶν *Bar.* Ἀγγαίσων al. f Κοιράνου *Bar.* t Al. γύας.

Κάλχαντα, τὸν Θέστορος, ὑπὸ τούτου τοῦ Μόψου ἀνῃρημένον, ᾧ προείπομεν τρόπῳ, Πολυποίτης καὶ Λεοντεὺς μετ' ὀλίγον εἰς Ἑλλάδα ἀπεσώθησαν· Ἀμφίλοχος δὲ, κατά τινας, συναναιρεῖται τῷ Μόψῳ τούτῳ περὶ τῆς ἀρχῆς τῆς μαντικῆς μονομαχήσας· κατά τινας δὲ εἰς τὴν Ἑλλάδα ὑποστραφεὶς ἔκτισε τὸ Ἀμφιλοχικὸν Ἄργος. ὁ δὲ Ποδαλείριος ὁμοίως εἰς Ἄργος ὑποστραφεὶς, ἐμαντεύετο ἐν Δελφοῖς ποῦ [1] κατοικήσοι· χρήσαντος δὲ τοῦ θεοῦ οἰκῆσαι πόλιν, ἧς περιεχομένης οὐρανοῦ [2] οὐδὲν δεινὸν πείσεται, τῆς Καρικῆς Χερσονήσου, εἰς τὸν πέριξ οὐρανὸν ὄρεσι περικυκλούμενον ᾤκησε. * φλυαρεῖ δὲ καὶ κατὰ τοῦτο· ἐκεῖνος γὰρ ἐν Κιλικίᾳ, ἢ κατά τινας ἐν Κολοφῶνι κεῖται· ὁ δ' Ἀργοναύτης Μόψος ἐν Ἰταλίᾳ. *

1048. Δυοῖν ἀδελφοῖν ἅτερος.] τῶν δύο ἀδελφῶν, ἤτοι Μαχάονος καὶ Ποδαλειρίου, ὁ ἕτερος πλησίον τῶν Ἰταλικῶν ψευδηρίων τοῦ Κάλχαντος τελευτήσει· ὁ μὲν γὰρ Μαχάων, κατὰ Κόϊντον, ἀνῄρηται ἐν τῷ πολέμῳ ὑπὸ Εὐρυπύλου, τοῦ υἱοῦ Τηλέφου· ὁ δὲ παλαιὸς Ὀρφεὺς καὶ μετὰ θάνατον Εὐρυπύλου ζῶντα παρεισάγει τὸν Μαχάονα ἰώμενον τὸν Φιλοκτήτην. ὁ δὲ Ποδαλείριος, κατὰ μὲν τὸν Λυκόφρονα, ἐν Ἰταλίᾳ τελευτᾷ· κατ' ἐμὲ δὲ, τὴν Καρικὴν Χερσόνησον ᾤκησε.

1050. Δοραῖς δὲ μήλων.] εἰώθασιν οἱ Δαύνιοι, ἤτοι οἱ Καλαβροὶ, ἐν μηλωταῖς καθεύδειν ἐν τῷ τάφῳ τοῦ Ποδαλειρίου, καὶ καθ' ὕπνους λαμβάνειν χρησμοὺς ἐξ αὐτοῦ· εἰώθασι δὲ καὶ ἐν τῷ πλησίον ποταμῷ, Ἀλθαίνῳ, ἀπολούεσθαι καὶ αὐτοὶ, καὶ τὰ θρέμματα αὐτῶν, καὶ ἐπικαλεῖσθαι τὸν Ποδαλείριον, καὶ ἰᾶσθαι· ὅθεν καὶ ὁ ποταμὸς ἔχει τὴν ὀνομασίαν, ὡς Ἀλθαίνων, κατὰ Τίμαιον, καὶ θεραπεύων ἁπάντων τῶν λουομένων ζώων τὰ τραύματα· ὡς, κατὰ Μεθόδιον τὸν ἰατρὸν, Ἀλφειὸς, τὰ Ἀρκαδίας ποταμὸς, ἰᾶται τοὺς ἀλφούς· καὶ κατὰ [3] Βεγγίδιον δὲ, ποδαγριῶντας ὁ Κύδνος.

1054. Ἠπίου γόνον.] ὁ Ἀσκληπιὸς πρὶν ἤπιος διὰ τὸ πρᾶον καὶ ἥσυχον ἐκαλεῖτο· θεραπεύσας δὲ [4] Ἄσκλην, τὸν τῆς Δαύνου τύραννον ὀφθαλμιῶντα, Ἀσκληπιὸς ἐκλήθη· ἢ ἀπὸ ἀσκελοποιὸς τις ὢν, ὁ μὴ ἐῶν σκέλλεσθαι καὶ ξηραίνεσθαι καὶ νεκροῦσθαι τοὺς ἀνθρώπους ὑπὸ νόσων· σκέλλω, τὸ ξηραίνω, ἐξ οὗ τὸ κατεσκληκὸς σῶμα, τὸ νεκρωθὲν νόσῳ τινὶ, καὶ καταπονηθὲν, καὶ κατεργασθὲν νηστείᾳ, σκληραγωγίᾳ, καὶ ἄλλῃ κακουχίᾳ συντόνῳ ταλαιπωρούμενον.

1056. Ἔσται ποτὲ.] εἶπον πολλάκις τὴν ἱστορίαν, τήν τε τοῦ Διομήδους, καὶ Δαύνου, καὶ τῶν Αἰτωλῶν, καὶ [5] περὶ τῶν συγχωσθέντων δύο ἀνδρογύνων ἐν μέσῃ τῇ Ῥώμῃ ἐπὶ Φαβίου τοῦ ἀκροχορδονώδους· κἀν ὁ Λυκόφρων ἐν Δαυνίᾳ, ἤτοι Καλαβρίᾳ, λέγει ταῦτα γενέσθαι, καὶ Αἰτωλοὺς εἶναι τοὺς συγχωσθέντας, μισηθέντας ὑπὸ Δαυνίων, καὶ ἐλθόντας ἐπὶ τῷ λαβεῖν τὸν Διομήδους κλῆρον, καὶ οὕτως ἀπάτῃ βληθέντας εἰς ὄρυγμα γῆς· τοιαύτην γὰρ τὴν ἱστορίαν λέγει· Διομήδης καταρασάμενος τῆς τῶν Δαυνίων χώρας μὴ καρποφορῆσαί ποτε, εἰ μὴ ὑπὸ Αἰτωλῶν ἐργάζοιτο, οἱ Δαύνιοι παραγγειλάμενοι εἰς Αἰτωλίαν, ἐκήρυξαν τοὺς βουλομένους αὐτῶν ἐλθεῖν, καὶ ἀπολαβεῖν τὸ τοῦ Διομήδους μέρος γῆς· ἐλθόντων δὲ τῶν Αἰτωλῶν εἰς τὴν τῶν Δαυνίων χώραν, καὶ ἀπαιτούντων τὸν κλῆρον, οἱ Δαύνιοι λαβόντες αὐτοὺς, ζῶντας κατέχωσαν, λέγοντες, Ἀπειλήφατε τὸν κλῆρον τῆς γῆς ὑμῶν, ὃν παρ' ὑμῶν αἰτεῖτε· οὐ μόνον δὲ, [6] ἀλλὰ καὶ τὸν Διομήδην.

1058. * Ὅταν Σαλάγγων γαῖαν.] * Σάλαγγοι, καὶ Ἀγγαισοὶ, ἔθνη Ἰταλίας.

1059. Αἰτίζωσι.] * ζητῶσι· * παραγωγὴ, Ἀττικὸν τὸ ῥῆμα· αἰτῶ αἰτίζω, ὡς τὸ σπαράσσω σπαραγίζω.

EMENDATIONES

1 Κατοικήσοι. *MSS.* omnes. 2 Sic diftinguunt hunc locum *MSS.* uterque Οὐδὲν δεινὸν πείσεται. τῆς Καρικῆς Χερσονήσου τὸν πέριξ &c. * Hæc adjeci ex *Bar.* & *Grav.* 3 Βεγγεῖον *Bar.* & *Grav.* Βιδάγγειον *Seld.* 4 Ἀσκλὴν, pro Ἀσκλῆν, ex *Seld.* Ἀσκληπιὸς enim dicitur, ab ἀσκλῆς & ἤπιος, quia Afclu falutis caufa fuit; qua autem ratione ab Αἴγλης & ἤπιος formari poterit, non video. 5 Περὶ pro παρὰ, ex *MSS.* omnibus 6 Ἀλλὰ, pro ἄλλα, ex emendatione *Nic. Gerbelii*; qui aliquid heic deeffe fufpicabatur. * Hæc adjeci ex *Bar.* [a] Ex *Bar.* *Grav.*

1063. Τοὶ

Ἐσθλῆς ἀρούρης, πὰρ ἔγκληρον χθονός.	Bonæ telluris, uber soli hæreditarium.
Τοὺς δ' ἐς [a] ἐρεμνὸν ζῶντας ὠμησαὶ τάφον	At illos in nigrum vivos sepulcrum crudeles
Κρύψουσι [b] κοίλοις ἐν [c] μυχοῖς [d] διασφάγος·	Abscondent in cavis hiatus angulis:
[e] Τοῖς δ' ἀκτέριστον σῆμα Δαυνῖται νεκρῶν	Ipsisque carens exequiis Daunii monumentum
Στήσουσι, χωστῷ [f] ἑρχαλῷ κατηρεφὲς,	Statuent, aggesto lapidum cumulo contectum,
Χώραν διδόντες, ἣν περ ἔχρῃζον λαβεῖν,	Regionem dantes, quam volebant accipere,
Τοῦ κραταιβρῶτος παιδὸς ἀτρέστου χάπρου.	Filii Apri intrepidi, cerebrivori.
[g] Τῶν Ναυβολείων δ' εἰς [h] Τέμεσσαν [i] ἐκγόνων	Nauboli posterorum nautæ
Ναῦται [k] καταβλώξουσιν, ἔνθα Λαμπέτης	Temessam venient, ubi Lampetes,
Ἱππωνίου [l] πρηὼν εἰς Τηθὺν κέρας	Hipponii montis asperum cornu,
Σκληρὸν νένευκεν· ἀντὶ δὲ [m] Κρίσσης [n] ὅρων	In mare vergit: & pro Crisses terminis
[o] Κροτωνιᾶτιν [p] ἀντίπορθμον αὔλακα	Crotoniam oppositam terram
Βοῶν ἀροτρεύσουσιν ὁλκαίῳ πτερῷ,	Sulcatrice boum arabunt penna,
Πάτραν [q] Λίλαιαν, κ' Ἀνεμωρείας πέδον	Patriam Lilæam, & Anemoreæ arva
Ποθοῦντες, [r] Ἀμφισσάν τε, καὶ κλεινὰς Ἄβας.	Desiderantes, Amphissamque,& celebres Abas.

VARIANTES LECTIONES.

a Ἐρεμνὸν Sold. b Κοίλαις MSS uterque. c Μυχοῖς Sold. d Διὰ σφαγὸς Bar. e Τοῖς δὲ. f Τερχμάλῳ MSS. uterque, & alii. g Τῶν Sold. h Al. Τέμεσαν. i Al. ἐγγόνων. k Al. καταβλώξονται l Πρηῶνας Bar. m Κρίσσης Bar. Κρίσης Sold. n Al. ὅρων. al ὅρων. o Κροτωνιάτιν Bar Κροτωνιάτην Sold. p Ἀντίπορθον Bar. q Al. Λιλαίαν paroxyton. Et hanc lectionem tam in Scholiis, quam in Textu habet Bar. r Ἀμφισσάν τε Bar. aliique.

1063. Τοὺς δ' ἀκτέριστον.] οὐ γὰρ ἐκηδεύθησαν, ἤτοι ἐτάφησαν, ὡς νόμος θάπτεσθαι τοὺς τεθνεῶτας, ἀλλὰ [1] ζῶντες τῷ βόθρῳ ἐχώσθησαν.

1066. Τοῦ κραταιβρῶτος παιδός.] τοῦ Τυδέως υἱοῦ, Διομήδους. Κρατοβρώς δὲ ὁ Τυδεὺς οὕτως λέγεται. Ἐν τῷ Θηβαϊκῷ πολέμῳ τρωθεὶς ὁ Τυδεὺς ὑπὸ Μελανίππου, τοῦ [2] Ἀστακοῦ παιδὸς, ἐπειδὴ, ὑφ' ἧς πληγῆς ὕστερον ἀπέθανεν· ἔτι δὲ ζῶντος τοῦ Τυδέως, Ἀμφιάραος ὁ μάντις ἀνῃρηκὼς τὸν Μελάνιππον, ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ τῷ Τυδεῖ, καὶ ὃς κακείνου διακριθεὶς ὑπὸ τῆς πληγῆς, διασχίσας ἐκείνου τὴν κεφαλὴν, [3] ἀπερρόφησε τὸν ἐγκέφαλον· ὅθεν λέγουσι καὶ ἐμίσησεν αὐτὸν ἡ Ἀθηνᾶ. Ἀτρέστου κάπρου, τὸν αὐτὸν Τυδέα λέγει, διὰ τὸ [4] σθένος, καὶ διὰ τὸ χρῆσθαι αὐτὸν περιβολαίῳ τῷ τοῦ Καλυδωνίου συὸς δέρματι.

1067. Τῶν Ναυβολείων δ' εἰς Τέμεσσαν.] Ναυβόλου παῖς [5] Ἴφιτος, οὗ παῖδες Σχέδιος καὶ Ἐπίστροφος, Φωκέων ἡγεμόνες, οἵτινες ἀνῃρέθησαν ἐν Τροίᾳ· μετὰ δὲ τὴν ἅλωσιν, οἱ σὺν αὐτοῖς περὶ τὴν Ἰταλίαν ἐξώσθησαν, καὶ ᾤκησαν τὴν Τέμεσσαν. Τέμεσσα δὲ, πόλις Καλαβρείας, ἐνδημοῦ χαλκὸν ἔχουσα, ἥτις νῦν Τέμψα καλεῖται· ἣν ὁ Λυκόφρων οὐκ αἰδεῖται, ὁτὲ μὲν Τάμασσαν, ὁτὲ δὲ Τέμεσσαν καλῶν. * Περὶ τῆς Ἐγγονος ἔγραψα πολλάκις ὡς γέγραπται. *

1068. Λαμπέτης.] Ἰταλίας ἀκρωτήριον περὶ Τέμεσσαν.

1069. Ἱππωνίου.] ὄρος, καὶ πόλις Ἰταλίας. Ἡ δὲ σύνταξις οὕτως· Ἔνθα Λαμπέτης, Ἱππωνίου κέρας σκληρὸν, εἰς Τηθὺν, ἤτοι εἰς τὴν θάλασσαν, νένευκε. Κέρας δὲ, τὸ ἀκρωτήριον.

1070. Κρίσσης.] πόλις Φωκίδος, κληθεῖσα παρὰ Κρίσσου, τοῦ Πανοπέως ἀδελφοῦ. [6] ἔστι δὲ ἀντίπορθμος Κρότωνος, ἐπειδὴ ἡ μὲν Κρίσσα, ὥς φασιν, ἀνατολικὴ, οὐ γὰρ οἶδεν αὐτήν· ἡ δὲ Κρότων, δυτική.

1072. Ὁλκαίῳ πτερῷ.] τῷ ὕννῳ τοῦ ἀρότρου, τῇ ὕνῃ, παρὰ τὸ ἕλκειν.

1073. * Πάτραν Λιλαίαν.] * Λίλαια, καὶ Ἀνεμώρεια, καὶ Ἀμφισσα, καὶ [7] Ἄβαι, πόλεις εἰσὶ Φωκίδος. Ἀνεμώρεια δὲ ἐκλήθη, διὰ τὸ εἶναι αὐτὴν ψυχρὰν καὶ ἀνεμώδη. Φωκὶς δὲ, ἀπὸ Φώκου τινὸς βασιλέως, ἢ διὰ τὸ εἶναι φώκας ἐν τῇ πλησιοχώρῳ αὐτῆς θαλάσσῃ. Ἄμφισσα δὲ, ἡ ἀμφίβιός τις ἦσα, ἔχουσα τὴν τροφὴν, καὶ ἐπαρκουμένην ἐν τοῖς τῆς γῆς καρποῖς, ἀλλὰ καὶ ἐν τοῖς τῆς θαλάσσης. ἢ ὅτι πολύποδος περιώδευεν ἐξελθὼν ἐκ τῆς θαλάσσης· βασιλεὺς δὲ περιερχόμενος, καὶ ἰδὼν τὸν πολύποδα, ἔκτισε πόλιν, Ἀμφισσαν αὐτὴν προσαγορεύσας, διὰ τὸ τὸν πολύποδα ζῆν ἐν τῇ γῇ καὶ ἐν θαλάσσῃ. Ἄβαι δὲ, ἢ ἀπὸ Ἄβαντός τινος, ἢ διὰ τὸ μὴ βαίνειν ἐν αὐτῇ ξένον.

EMENDATIONES.

1 Ζῶντες, pro ζῶντας, ex Sold. 2 Ἀστακοῦ Bar. Ἀστακὸς Sold. 3 Ἀπερρόφησε, pro ἀπερρόφησεν, ex MSS. omnibus. 4 Σθένος lego cum MSS. omnibus. ἀσθενὲς Impress absurdè, nisi putemus Heroas apris, leonibus, & id genus animalibus comparari, propter eorum imbecillitatem. 5 Ἴφιτος, pro Ἔφιτος, ex MSS. omnibus. Quæ emendatio ex Homero robur accipit, hujus enim in Bœotia v. xxv. Schedius & Epistrophus Iphiti filii dicuntur,

Αὐτὰρ Φωκήων Σχέδιος καὶ Ἐπίστροφος ἦρχον,
Υἷες Ἰφίτου μεγαθύμου Ναυβολίδαο.

* Hoc addo ex Bar. & Grav. 6 Ἔστι δὲ ἀντίπορθμος Κρότωνος, pro ἔστι ἀντίπορθμος Κρότωνος, ex Bar. & Grav. * Hoc supplevi ex Bar. 7 Ἄβαι, pro Ἄβας. Nam Abæ, urbis nomen; Abas vero gentile est. Eandem etiam mutationem paullo infra faciam.

1075. Σήτων

[a]Σήταια τλῆμον, σοὶ δὲ πρὸς πέτραις μόρος	Tibi verò, misera Setæa, mors ad petras
Μίμνει δυσαίων, ἔνθα γυίγχοις πέδαις	Infelix impendet, ubi tenacibus compedibus
Οἴκτιστα χαλκέαισιν [b] ὀργυιωμένη	Æneis deligata miserrimè
Θανῇ, πυρὶ φλέξασα δεσποτῶν στόλον,	Morieris, combusta dominorum classe,
Ἐκβλητον αἰάζουσα Κράθιδος πέλας	Expositum lugens prope Crathidem
Τόργοισιν αἰώρημα φοινίοις δέμας·	Corpus, vulturibus cruentis suspensum:
Σπιλὰς δ' ἐκείνη σῆς φερώνυμος τύχης	Scopulus quoque ille mare spectans
Πόντον [c] προσαυγάζουσα φημισθήσεται.	Tuæ cognominis fortunæ nuncupabitur.
Οἱ δ' αὖ Πελασγῶν ἀμφὶ [d] Μέμβλητος ῥοὰς,	Alii denique Pelasgi circa Membletis vada,
Νῆσόν τε [e] Κερνεᾶτιν [f] ἐκπεπλωκότες,	Et insulam Corsicam enavigantes,
Ὑπὲρ πόρον Τυρσηνὸν ἐν Λαμητίαις	Ultra mare Tyrrhenum in Lametiis
Δίναισιν οἰκήσουσι Λευκανῶν [g] πλάκας.	Vorticibus Lucanorum tenebunt arva.
Καὶ τοὺς μὲν ἄλγη, ποικίλαι τε συμφοραὶ	Atque illos quidem labores, & calamitates variæ
Ἄνοστον αἰάζοντας [h] ἕξουσιν τύχην,	Habebunt, irreducem lugentes fortunam,
Ἐμῶν ἕκατι δυσγάμων ῥυσταγμάτων.	Infelicium nostrarum raptionum causa.
Οὐδ' οἱ χρόνῳ μολόντες ἀσπαστῶς δόμους,	Sed nec qui tandem domum venerint lubentes,
Εὐκταῖον ἐκλάμψουσι θυμάτων σέλας,	Votivum lucebunt sacrificiorum jubar,
Χάριν τίνοντες [i] Κερδύλᾳ [k] Λαρυνθίῳ·	Gratiam persolventes Cerdylæ Larynthio:
Τοιαῖς δ' ἐχῖνος μηχαναῖς οἰκοφθορῶν,	Talibus Echinus fraudibus domos perdens,

VARIANTES LECTIONES.

a Al. Σηταία paroxyton. b Ὠργυιωμένη Bar. aliique. c Πρὸς αὐγάζουσα Sold. aliique. d Μέμβλητος Sold. e Κερνεᾶτιν Bar. eandemque lectionem in Scholiis retinet. Κερνεάτιν al. f Ἐκπεπλευκότες MSS. uterque, & alii. g Πλάκας Sold. h Al. ἕξουσι sine ν finali. i Κερδύλλᾳ Bar. Κερδύλῳ al. k Al. Λαρυνθίῳ.

1075. Σήταια τλῆμον.] αὕτη ἡ Σήταια μία τῶν Τρῳάδων ἦν, ἥτις αἰχμάλωτος ἀγομένη, ὡς ἐγένετο περὶ Σύβαριν, συμβουλεύουσι ταῖς λοιπαῖς Τρῳάσι κατεφλέξαι τὰς ναῦς τῶν δεσποτῶν, ὑποτιθεμένη αὐταῖς τὰ ἐν Ἑλλάδι μέλλοντα συμβήσεσθαι αὐταῖς κακά· καὶ τούτου γενομένου, οἱ Ἕλληνες λαβόντες αὐτὴν ἀνεσταύρωσαν, καὶ προσήλωσαν πρὸς πέτραν, ἀφ' ἧς καὶ ἡ πέτρα Σήταια ἐκλήθη. καὶ ὁ μὲν Λυκόφρων Σήταιαν λέγει τὴν τοῦτο συμβουλεύσασαν· Ἀπολλόδωρος δὲ τὰς Λαομέδοντος θυγατέρας, [1] Αἴθυλλαν, Ἀστυόχην, καὶ Μηδεσικάστην· ὁ δὲ Πλούταρχος Ῥώμην τινά, μίαν τῶν αἰχμαλώτων, ἀφ' ἧς [2] φησὶ, κατά τινας, καὶ τὴν πόλιν Ῥώμην κληθῆναι· αὐτὸς γὰρ ἀπὸ Ῥωμύλου τὴν πόλιν φησὶ κληθῆναι.

1076. Γυίγχοις [3] πέδαις.] τοῖς τὰ γυῖα συνεχούσαις, ἤτοι τὰς χεῖρας, καὶ τοὺς πόδας· γυῖα γὰρ κυρίως τὰ ἄκρα τοῦ σώματος, ὡς καὶ Ὅμηρος,

Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας, καὶ χεῖρας ὕπερθεν.

1083. Μέμβλητος.] ποταμὸς Ἰταλίας πλησίον τῶν Λευκανῶν, οἵτινές εἰσιν ἔθνος Ἰταλίας.

1084. Κερνεᾶτιν.] τὴν [4] Κέρνην νῆσον, παρήγαγον ἀντὶ τοῦ προσωποποιῆσαι Κερνεᾶτιν εἶπεν. ὁ δὲ Λάμητος, ὡς φησι Φιλοστέφανος, Ἰταλίας [5] ποταμός.

1090. Οὐδ' οἱ χρόνῳ μολόντες.] εἰπὼν τοὺς ἐπὶ ξένης τεθνηκότας, καὶ ἐπιλογισάμενος καὶ ἀποθεὶς τὸν περὶ τούτων ὑπόθεσιν, μεταβαίνει νῦν ἐπὶ τοὺς νοστήσαντας, καὶ ἐν τῇ πατρίδι αὐτῶν ἀναιρεθέντας, καὶ πρῶτον περὶ Ἀγαμέμνονος λέγει. [6] Κερδύλας δὲ, καὶ Λαρυνθίας, ἐπώνυμα τοῦ Διός.

1093. Τοιαῖς δ' ἐχῖνος.] ὁ ἐχῖνος ζῶον ἐστὶ πανοῦργον, ὁ

EMENDATIONES.

1 Αἴθυλλαν, pro Αἴθυλλαν, ex Bar. & Grav. 2 Φησὶ, pro φασὶ, ex MSS. omnibus. 3 Πέδαις, pro παῖδας, ex MSS. utroque, & Lycophronis textu. 4 Κέρνην Bar. & Grav. Κέρνη Ed. Bas. Κέρνου Ed. Steph. 5 Ποταμός, pro πόλις. ex Bar. & Grav. Confer Lycophronis textum. 6 Κερδύλας δὲ καὶ Λαρυνθίας, pro Κερδύλα δὲ Λαρυνθίῳ, ex Bar. nisi quod Ego δὲ adjeci.

καλούμενος

[a] Παρμολίξει τὰς ἀλεκτόρων πικρὰς	Transversas aget acerbas Gallorum
Στεγανόμους ὄρνιθας· [b] οὐδὲ ναυφάγοι	Tectivoras Gallinas: neque navivoræ
Λήξουσι πένθους δυσμενεῖς φρυκτωρίαι,	A luctu cessabunt inimicæ faces,
Πτόρθου [c] διαῤῥαισθέντος, ὃν νεοσκαφὲς	Interfecto Ramo, quem recens effossum
Κρύψει ποτ' ἐν κλήροισι Μηθύμνης στέγος.	Teget quondam in agris Methymnæ tectum.
Ὁ μὲν γὰρ ἀμφὶ χύτλα τὰς [d] δυσεξόδους	Unus quidem in lavacris inobservabiles
Ζητῶν [e] κελεύθους αὐχενιστῆρος βρόχου,	Laquei collaris quærens vias,
Ἐν ἀμφιβλήστρῳ σπειροτευγδυνωμένος	Implicitus in everriculo
Τυφλαῖς ματεύσει χερσὶ κροσσωτοὺς ῥαφάς·	Cæcis investigabit manibus fimbriatas suturas.
Θερμὴν δ' ὑπαὶ λετρῶνος ἀρνεύων στέγην,	Calidum porrò balnei subiens operimentum,
Τρίβωνα [f] κύπελλον ἐγκάρῳ ῥανεῖ,	Cortinam & operculum irrigabit cerebro
Τυπεὶς σκεπάρνῳ κόγχον [g] εὐθήκτῳ μέσον·	Percussus acuta securi summum caput medium:
Οἰκτρὰ δὲ πέμφιξ Ταίναρον πτερύξεται,	Tum anima misera Tænarum volitabit,
Λυπρὰν λεαίνης εἰσιδοῦσ' οἰκουρίαν.	Acerbum Leænæ experta ministerium.

VARIANTES LECTIONES.

a Al. παρθυχοιλίξει. b Οὐδὲν Seld. c Διαῤῥαισθέντος Bar. d Δυσεξόδους MSS. uterque. e Al. κελεύθους. f Κρατῆρα Bar. κρατῆρα al. g Εὐθήκτῳ Julius Pollux Onomastic. Videsis Commentarium meum.

παλαιόμενος ἀπαντιδέχεται, ὃς προγινώσκων τοὺς μέλλοντας πνεῖν ἀνέμους, ἀποφράττει τὸ πρὸς τὴν μέλλοντα πνεῖν μέρος τῆς καλιᾶς αὐτοῦ, [1] ὑπανοίγει δὲ τὸ ἕτερον· ἀνερχόμενος δὲ καὶ πρὸς τὰς ἀμπέλους κατασείει τὰς ῥᾶγας, καὶ κατελθὼν κυλίεται περὶ τὰς ῥᾶγας, καὶ ἐμπείρων ταύτας τῇ ἀκάνθαις [2] αὐτοῦ φέρει τῇ οἰκείᾳ ἀπάγει καλιᾷ· καὶ τῷ ὄφει δὲ ἀντιμάχεται, καὶ ἀναιρεῖ τοῦτον· εἰ δὲ λίαν μέγας ὁ ὄφις ἐστὶ, συναναιροῦνται ἀμφότεροι· βλέπων γὰρ ὄφιν τοῦτον βαδίζοντα, συστρέφεται ὡς καταφάγῃ τοῦτον λαβών· ὁ δὲ γνοὺς, ἑλίσσεται δίκην σπαίρας, καὶ τῇ ἀκάνθαις ἐμπλακέντα τὸν ὄφιν ἀπολλὼν, σώζεται· εἰ δὲ μέγας ἐστὶν ὁ ὄφις, κἂν νεκρωθῇ παρεὶς τῇ ἀκάνθαις, συναναιρεῖ καὶ τὸν ἐχῖνον αὐτὸν, μὴ δυνάμενον διατεμεῖν τὰς πλεκτάνας· καὶ τ' ἄλλα δὲ πανοῦργος ὁ ἐχῖνος ἐστὶν, ὡς καὶ ἡ παροιμία φησὶ,

Πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα.

Ὅθεν τὸν Παλαμήδους πατέρα Ναύπλιον, διὰ τὸ πανοῦργον, ἐχῖνον καλεῖ· Παλαμήδης γὰρ συστρατεύσας τοῖς Ἕλλησι, σοφίᾳ καὶ συνέσει διαφέρων, φθόνῳ Ὀδυσσέως ἐδολώθη, ὡς βουλόμενος προδοῦναι τοῖς Τρωσὶ τοὺς Ἕλληνας, καὶ ἀνῃρέθη· ὅθεν Ναύπλιος διὰ τὸν φόνον τοῦ υἱοῦ αὐτοῦ [3] τοὺς Ἕλληνας ἀμυνόμενος, ἐν Ἑλλάδι διατρίβων, παρεσκεύασε μοιχευθῆναι τὰς γυναῖκας τῶν ἐν Τροίᾳ, Κλυταιμνήστραν Αἰγίσθῳ, Αἰγιάλειαν Κομήτῃ, τὴν Σθενέλου· ἐν Ἰθάκῃ τοὺς μνηστῆρας παρεσκεύασεν, ἐν Κρήτῃ Λεύκον, τὸν τῆς Τάλω, ἔπεισεν ἀντᾶραι καὶ ἀνελεῖν τὴν Ἰδομενέως γυναῖκα Μήδαν, καὶ τὰ τέκνα αὐτοῦ· καὶ περὶ τὸν Καφηρέα ποιήσας φανὸν, ἐπισφέροντας δὲ αὐτοὺς ἀνεῖλε, * ὡς ὕπαθεν ἔγραψα πλατύτερον.*

1094. Ἀλεκτόρων.] ἀμελικτικῶν, σκληρῶν· ἢ διὰ τὸ μάχιμον ἀλέκτορας λέγει τοὺς Ἕλληνας, μεταφορικῶς.

1095, 1096. Ὄρνιθας.] ὄρνιθας νῦν λέγει τὰς τῶν Ἑλλήνων γαμετάς. Στεγανόμους δὲ, τὰς ἐν οἴκῳ νεμομένας, ἢ τὰς τοὺς οἴκους τῶν ἀνδρῶν νεμηθείσας καὶ φθειρούσας. * Ναυφάγοι φρυκτωρίαι.] τὸν περὶ τὸν Καφηρέα, ἤτοι τὸν Ξυλοφάγον, λέγει φανὸν, ὅπου πολλαὶ νῆες ἀπώλλοντο. *

1097. Πτόρθου διαῤῥαισθέντος.] τὸν Παλαμήδην πτόρθον, διὰ τὸ ἀκμαῖον καλεῖ· ἐν Λεπετύμνῳ δὲ, ὄρει τῆς Μηθύμνης, ὁ Παλαμήδης τέθαπται· ἡ δὲ Μήθυμνα, μία πόλις ἐστὶ τῶν πεντάπολεων Λέσβου· ἔχει γὰρ ἡ Λέσβος πόλεις, Πύῤῥαν, Μήθυμναν, Ἔρεσον, Μιτυλήνην, καὶ Ἄντισσαν.

1099. Ὁ μὲν γὰρ ἀμφὶ χύτλα.] ἐπειδὴ δέδωκεν αὐτῷ ἡ Κλυταιμνήστρα χιτῶνα [4] ἔξοδον μὴ ἔχοντα μήτε χειρῶν, μήτε τραχήλου.

1103, 1104, 1105. Θερμὴν στέγην.] φησὶ τὸν τόπον, ἔνθα ἐστὶν ὁ λουτρών. Τρίβωνα δὲ, τὸν τρίποδα. Κύπελλον δὲ, τὸ ἀγγεῖον τοῦ τρίποδος. Λετρῶνος δὲ, τὴν πύελον. Σκέπαρνον δὲ, τὸν πέλεκυν. Κόγχον δὲ, [5] ὀστοῦν τοῦ ἐγκεφάλου κογχοειδές. Ἐγκάρῳ.] τῷ ἐγκεφάλῳ.

1106. Πέμφιξ.] ψυχή. Ταίναρον.] ἀκρωτήριον Λακωνικῆς, ἔνθα φασὶ κάθοδον εἶναι ᾅδου.

EMENDATIONES.

1 Ὑπανοίγει δὲ τὸ ἕτερον ἀνερχόμενος, καὶ πρὸς τὰς Impress. &c. ubi perversa interpunctione confusa sunt omnia. Nostra lectio est ex MSS. utroque petita. 2 Αὐτοῦ, pro αὐτᾷ, ex MSS. omnibus 3 Τοὺς Ἕλληνας ἀμυνόμενος, pro τῶν Ἑλλήνων ἀμύνων, ex Seld. Nam ἀμύνω dativo junctum, est defendo, accusativo autem, ulciscor. Ἀμύνω, τὸ βοηθῶ· οἷον ἀμύνω σοι, βοηθῶ σοι. Ἀμύνομαί σε, ἀντὶ τοῦ τιμωροῦμαι καὶ κολάζω σε. Thavorinus. * Ex Bar. & Grav. * Hæc ex iisdem deprompsi. Quinetiam eadem paullo post occurrunt in Seld. In Bar. autem pro λέγει φανὸν, scribitur λέγοντα, & isti φ aliquis γ superposuit. 4 Ἔξοδον μὴ ἔχοντα μήτε χειρῶν, μήτε τραχήλου lego cum MSS. omnibus Nam Agamemnon dicitur à Clytæmnestra in balneo interfectus, dum tunicam indueret, quæ nec colli, nec manuum exitus haberet. Ἔξοδον μὴ ἔχοντα, μήτε χεῖρας, μήτε τράχηλον, Impress. 5 Ὀστοῦν, τὸ ἐγκέφαλον, ὀστοῦδες Impress.

[a] Ἐγὼ δὲ [b] δροίτης ἄγχι κείσομαι πέδῳ,
[c] Χαλυβδικῷ κνώδοντι συντεθραυσμένη·
Ἐπεί με, πεύκης πρέμνον, ἢ στύπος δρυὸς
Ὅπως τις [d] ὑλοκουρὸς, ἐργάτης ὀρεὺς,
Ῥήξει πλατὺν τένοντα, καὶ μετάφρενον,
Καὶ [e] πᾶν λακίζουσ' ἐν φοναῖς ψυχρὸν δέμας
Δράκαινα διψὰς, κἀμβᾶσ' [f] ἐπ' αὐχένα,
Πλήσει γέμοντα θυμὸν ἀγρίας χολῆς,
Ὡς κλεψίνυμφον, κοὐ δορίκτητον γέρας
[g] Δύσζηλος [h] ἀστένακτα τιμωρουμένη·
Βοῶσα δ' οὐ κλύοντα [i] δεσπότην πόσιν,
[k] Θεύσω [l] κατ' ἴχνος [m] ἠνεμωμένη πτεροῖς.
Σκύμνος δὲ πατρὸς χεῖρα μαστεύων φόνου,
Εἰς σπλάγχν' ἐχίδνης [n] αὐτόχειρ βάψει ξίφος,

Ego autem juxta labrum in solo jacebo,
Chalybico vulnerata ense:
Siquidem mihi, ceu pinus truncum, quercusve stipitem
Frondator aliquis, montanus opifex,
Latas rumpet cervices, atque dorsum,
Totumque lacerans cædibus corpus frigidum
Vipera dipsas, pedemque collo imponens,
Explebit animum crudeli plenum ira,
Tanquam adulteram, nec belli præmium
Æmula sine gemitu ulciscens:
Vocans autem non audientem Dominum maritum,
Curram post tergum alis sublata.
Post Catulus paternam noxam cædis persequens,
In Viperæ intestinis manu sua tinget ensem,

VARIANTES LECTIONES.

a Ἐγὼ δὲ Bar. b Al. δρύτης. c Χαλυβδικῷ Bar. d Ὑλουργὸς Bar. Et his Codex versus hoc interpunctione sic variavit,
———————— ἐργάτης ὀρεὺς
Ῥήξει πλατὺν ————————
e Al. σπαράσσουσ'. f Ἐπαυχένια una voce Seld. ἐπ' αὐχένα al. g Al. δύσζηλος. h Ἀσίμβακτα Etymologici Auctor, quam lectionem Scholiastas quosdam Græcos amplexos fuisse tradit Canterus. i Δεσπότην Bar. k Miror audaciam prioris Interpretis, qui hæc ad Clytæmnestram refert, ideoque θεύσει, pro θεύσω ausus est reponere; quum & sensus huic repugnet, & Scriptorum testimonia longe alio vergant. Canterus. l Al. κατ' ἴχνος. m Ηνεμωμένη Bar. aliique. n Αὐτόχειρ Seld.

1108, 1109. Ἐγὼ δὲ δροίτης.] δροίτη, κυρίως, ἡ ξύλινος πύελος, ἤτοι σκάφη· νῦν δὲ ἡ πύελος, ἢ δεξαμενή. Ἐγὼ δὲ, φησὶν ἡ Κασάνδρα, πλησίον τῆς τοῦ Ἀγαμέμνονος πυέλου ἀναιρεθήσομαι. ἀλλ' [1] οὗτος μὲν σὺν τοῖς λοιποῖς πᾶσι τοῖς ἐν λουτρῶνι φησὶν ἀναιρεθῆναι τὸν Ἀγαμέμνονα, Ὅμηρος δὲ ἐν τραπέζῃ ὑπ' Αἰγίσθου πρὸς εὐωχίαν κληθέντα. Χαλυβδικῷ.] Χάλυβες, Σκυθικὸν ἔθνος, παρ' οἷς ὁ σίδηρος ἄριστος. Χαλυβδικῷ εἶπεν Αἰολικῶς· οἱ γὰρ Αἰολεῖς τὸ ὄχον, [2] ὄγχον φασὶ, καὶ τὸ Χαλυβικὸν, Χαλυβδικὸν, καὶ ἕτερα μυρία τοιαῦτα. Κνώδοντι.] τῷ πελέκει· κυρίως δὲ, πᾶν τὸ εἰς ὀξὺ λῆγον, παρὰ τὸ προσκναίειν ὀδόντι. Ἐγὼ δὲ δροίτης.] ἡ σύνταξις οὕτως· Ἐγὼ δὲ ἄγχι τῆς δροίτης κείσομαι ἐν τῷ πέδῳ, συγκοπεῖσα τῷ ξίφει τῷ πελέκει, ἐπεὶ καὶ ἀφ' οὗ ἡ δράκαινα ἡ διψὰς Κλυταιμνήστρα ῥήξει καὶ κόψει τὸν πλατὺν τένοντα, καὶ τὸ μετάφρενον ἐμὲ καὶ ἐμοῦ, ὥσπερ καὶ ὥσπερ τις ὑλοτόμος ἐργάτης, ἀπὸ κοινοῦ τὸ ῥήσσει καὶ κόπτει πεύκης πρέμνον, ἢ στύπος δρυὸς, καὶ ἐπεὶ πλήσει καὶ πληρώσει τὸν θυμὸν αὐτῆς γέμοντα ἀγρίας χολῆς. πῶς δὲ πληρώσει; [1] ἐπιβᾶσα ἐπὶ τὸν τράχηλον ἐμοῦ ἡ δύσζηλος τιμωρουμένη καὶ τιμωροῦσα πολυστένακτα, ἢ δίχα στεναγμοῦ καὶ ἐλέους, ὡς κλεψίνυμφον καὶ [3] μοίχαιναν, καὶ οὐχ αἰχμάλωτον.

1113.[4] Καὶ πᾶν λακίζουσα.] σχίζουσα. Τινὲς δὲ Παλλακίζουσα φασὶν, ἵν' ᾖ, ὡς παλλακίδα τιμωρουμένη.

1114. Δράκαινα διψάς.] ἀντὶ τοῦ ἡ ἔχιδνα· λέγει δὲ τὴν Κλυταιμνήστραν· εἶδος δὲ ἀντὶ εἴδους ἔθηκε, [5] δράκαιναν καὶ διψάδα ἀντὶ ἐχίδνης· ὡς γὰρ ἡ ἔχιδνα μετὰ τὸ μιγῆναι ἀναιρεῖ τὸν ὁμόζυγον, καὶ οἱ παῖδες τὴν μητέρα τιβώμενοι, οὕτως καὶ ἡ Κλυταιμνήστρα τὸν Ἀγαμέμνονα, καὶ Ὀρέστης τὴν Κλυταιμνήστραν. περὶ δὲ ἐχιδνῶν Νίκανδρος φησὶν οὕτωσί,

[6] Θορῷ ἀμυξ ἐμφῦσα κάρην ἀπέκοψεν ὁμεύνου·
[7] Οἱ δὲ πατρὸς λώβην μετεκίαθον αὐτίκα τυτθοὶ
[8] Γεινόμενοι ἔχιες, ἐπεὶ διὰ μητρὸς [9] ἀραιὴν
Γαστέρ' [10] ἀναβρώσαντες, ἀμήτορες ἐξεγένοντο.

καὶ ἡ διψὰς ὄφις ἐστί· τοῦ δηχθέντος δὲ ὑπ' αὐτῆς δίψος ἄσβεστον ἐγγίνεται, ὡς [11] πίνοντα διαρρήγνυσθαι· ὅθεν καὶ ὁ ὄφις οὕτως ἐκλήθη διψάς.

1120. Σκύμνος δὲ πατρός.] ἡ ἱστορία [12] δήλη, καὶ προείρηται. Χεῖρα φόνου.] περιφραστικῶς τὸν θάνατον λέγει.

EMENDATIONES.

1 Οὗτος, pro οὕτως, ex MSS. omnibus. 2 Ὄχον MSS. uterque. 3 Μοίχαιναν, pro μοιχὶν, ex MSS. utroque. 4 Hæc Ego sic emendavi, & supplevi ope MSS. Codd. quæ prius mutila & imperfecta hoc modo exstabant, καὶ πᾶν λακίζουσα φασὶν, ἵν', ᾖ, παλλακίδα τιμωρουμένη. Cætera deerant in Impressis Codicibus. 5 Δράκαιναν posui, pro δράκοντα. 6 Θορῷ, pro θορῷ', ex Bar. & Grav. θορῷ ἄμυξ Seld. 7 Οἱ δὲ πατρὸς λώβην μετεκίαθον Seld. Et Impressi etiam habent μετεκίαθον. Ego μετεκίαθον pono ex Bar. & Grav. 8 Γινόμενοι Ed. Bas. γεινόμενοι al. Lectio nostra est ex Grav. 9 Ἀραιὴν, pro ἀραιὴν, ex Bar. & Grav. Impressi Codd. comma ponunt post ἀραιήν. 10 Ἀναβρώξαντες Seld. ἀναβρώσαντες Bar. corrupte uterque. 11 Πίνοντα, pro πινόντ, ex MSS. omnibus. 12 Δήλη, pro δηλοῦσι, ex Bar. & Grav.

1122. Κακὸν

Κακὸν μίασμ᾽ ἔμφυλον ἀλθαίνων κακῷ.	Malum piaculum gentile malo expians.
Ἐμὸς δ᾽ ἀκοίτης, δμωΐδος νύμφης ἄναξ,	Meus deinde Maritus, captivæ dominus ſponſæ,
Ζεὺς Σπαρτιάταις [a] αἱμύλοις κληθήσεται,	Jupiter à Spartanis argutis vocabitur,
Τιμὰς μεγίστας Οἰβάλου τέκνοις λαχών.	Summos honores ab Oebali poſteris conſequens.
Οὐ μὴν ἐμὸν νώνυμον ἀνθρώποις σέβας	Jam nec mea inter homines obſcura gloria
Ἔσται, μαρανθὲν αὖθι [b] ληθαίῳ σκότῳ.	Erit, obliterata oblivionis tenebris:
Ναὸν δέ [c] μοι τεύξουσι Δαυνίων [d] ἄκροι	Sed mihi templum ædificabunt apud Salpes ripas
Σάλπης παρ᾽ ὄχθαις, οἵ τε Δάρδανον πόλιν	Dauniorum principes, Dardanique oppidi
Ναίουσι, λίμνης ἀγχιτέρμονες ποτῷ.	Incolæ, paluſtribus aquis affines.
Κοῦραι δὲ παρθένειον ἐκφυγεῖν ζυγὸν	Virgines autem cum nuptiale declinare jugum
[e] Ὅταν θέλωσι, νυμφίοις ἀρνούμεναι,	Voluerint, ſponſos recuſantes
[f] Τοὺς Ἑκτορείαις ἠγλαϊσμένους κόμαις,	Hectorea ſuperbos coma,
Μορφῆς ἔχοντας [g] σίφλον, ἢ μῶμαρ γένους,	Formæ præditos turpitudine, vel generis macula,
Ἐμὸν περιπλέξουσιν ὠλέναις βρέτας,	Meam ulnis amplectentur ſtatuam,
Ἄλκαρ μέγιστον κτώμεναι νυμφευμάτων,	Remedium nuptiarum habituræ maximum,
[h] Ἐρινύων ἐσθῆτα καὶ ῥέθους βαφὰς	Furiarum veſtem & faciei tincturam
[i] Πεπαμμέναι θρόνοισι φαρμακτηρίοις.	Coloribus adeptæ medicatis.

VARIANTES LECTIONES.

a Αἱμύλοις cum tenui MSS. uterque. b Al. λιθαίῳ. c Al. μὲν. d Al. ἄκρως. e Ὅτ᾽ ἂν θέλωσι Sold. f Τοὺς, Ἑκτορείοις Sold. τοὺς Ἑκτορίοις al. g Σίφλον Sold. σίμφλον al. h Al. Ἐρινύων. i Πεπαμμένη Bar. quod habuit etiam Sold. Sed in hoc aliquis μ illud priusſdeletorio ſigno notavit.

1122. Κακὸν μίασμ᾽ ἔμφυλον.] κατὰ τῆς παρῳχημένης, Κακῷ τὸ κακὸν ἰώμενος, Ὀρέστης τὸν φόνον τῆς πατρὸς τῇ μητροκτονίᾳ, ὅθεν καὶ ἐμάνη.

1123. Ἐμὸς δ᾽ ἀκοίτης.] τὸ σχῆμα ἀπόδοσις οἰκεῖας γὰρ, τὸ μὲν ἀκοίτης πρὸς τὸ νύμφης ἀποδίδοται· τὸ δὲ ἄναξ, πρὸς τὸ δμωΐδος.

1124. Ζεὺς Σπαρτιάταις.] οἱ Λακεδαιμόνιοι [1] ἱδρύσαντο Ἀγαμέμνονος Διὸς ἱερὸν εἰς τιμὴν τοῦ ἥρωος. Οἰβάλου δὲ τέκνα, τοὺς Λακεδαιμονίους λέγει· ὡς καὶ Ἡσίοδος,

Χαίρετε Λυγκεὺς φησί. ———

ὥσπερ εἴ τις τυχὸν εἴποι Ἀλεξάνδρου παῖδας τοὺς Ἀλεξανδρεῖς· Οἴβαλος γὰρ κατά τινας Τυνδάρεως καὶ λοιποί, οἵτινες προεστήκεσαν τῶν [2] Λακώνων· κατὰ δὲ ἑτέρους Κυνόρτου καὶ Γοργοφόνης ὑπῆρχε Τυνδάρεως, καὶ οἱ αὐτοῦ ἀδελφοί. Αἱμύλους τοὺς Λάκωνας φησίν, ὡς ψεύστας καὶ δολίους, ὥς φησι καὶ Εὐριπίδης,

Σπάρτης ἔνοικοι δόλια βουλευτήρια.

1128. Ναὸν [3] δέ μοι.] Κασσάνδρας ἱερόν ἐστιν ἐν Ἰταλίᾳ, ὅπερ ἱδρύσαντο οἱ προεστῶτες τῶν Δαυνίων εἰς τιμὴν αὐτῆς· ἔστι δὲ πλησίον Σάλπης λίμνης. καὶ Δάρδανος, κατά τινας, πόλις Ἰταλίας ἐγὼ δὲ τοὺς Δαρδανίους ἔθνος [4] εὗρον, οἰκοῦν ὑπὲρ τε Ἰλλυριῶν καὶ Μακεδόνων, καὶ ἡ Δάρδανος πόλις ἐκεῖ ἐστίν.

1131. Κοῦραι δὲ παρθένειον.] αἱ κόραι, φησί, τῶν Δαυνίων, ἐὰν μὴ θέλωσι γαμηθῆναι τοῖς μνηστῆρσιν αὐτῶν, ἢ διὰ δυσμορφίαν, ἢ διὰ δυσγένειαν, καταφεύγουσιν εἰς τὸ ἐμὸν τέμενος, [5] χρίσουσαι τὰ ἑαυτῶν πρόσωπα [6] φαρμάκοις, καὶ μέλαιναν ἐσθῆτα ἐνδυσάμεναι, καὶ περιπλέξασαι ταῖς χερσὶ τὸ ἐμὸν βρέτας, ἤτοι τὸ ξόανον, οὕτω παρθένοι διαμένουσι. Βρέτας δέ, κυρίως τὸ τοῦ ἀνθρώπου εἴδωλον· καταχρηστικῶς δέ, καὶ τὸ οἱονδήποτε εἴδωλον.

1133. Ἑκτορείοις κόμαις.] Ἕκτορος κόμη, ἡ τὰ ὄπισθεν καθειμένα ἔχουσα, τὰ δὲ ἔμπροσθεν κεκαρμένα, ὥς φησιν ὁ Λυκόφρων οὗτος. Πλούταρχος δὲ λέγει, ὅτι Θησεὺς ἐλθὼν εἰς Δελφοὺς ἦλθε, καὶ τῆς πρώτης ἡλικίας κόμην τῷ Ἀπόλλωνι καθιέρωσε, τὴν ἐμπροσθίαν μόνην κείρας, τὴν δὲ ὄπισθεν μακρὰν καὶ ἄκαρτον ἐάσας· καὶ τῆς κουρᾶς τὸ εἶδος ταύτης πρῶτοι Ἄβαντες ἐμιμήσαντο, ὡς καὶ Ὅμηρος περὶ τούτων φησί,

Τῷ δ᾽ ἅμ᾽ Ἄβαντες ἕποντο [7] θοοὶ ὄπιθεν κομόωντες.

οὗτος δὲ ὁ Λυκόφρων ἴσως τὴν Κασσάνδραν εἰσάγει πόθῳ τοῦ Ἕκτορος τὴν τοιαύτην κόμην Ἑκτορείαν καλοῦσαν, ὡς καὶ τοῦ Ἕκτορος οὕτω κομῶντος.

1134. Μῶμαρ.] ὁ μῶμος, ὡς εἶδαρ, ἄλκαρ, εἶλαρ.

1137, 1138. Ἐρινύων ἐσθῆτα.] τρεῖς εἰσιν Ἐρινύες, Τισιφόνη, Μέγαιρα, Ἀληκτώ, τιμωρητικαὶ τῇ δυνάμει, μέ-

EMENDATIONES.

1 Ἱδρύσαντο, pro Ἱδρύσαντες, ex Sold. & Grav. 2 Λακώνων, pro Λυκίων, ex MSS. omnibus. 3 Δέ μοι pro Δῆμον, ex MSS. utroque, & Lycophronis textu. 4 Εὗρον, pro εὑρών, ex MSS. omnibus. 5 Χρίσουσαι, pro τῷ χρίσασθαι, ex Bar. & Grav. 6 Φαρμάκοις, pro φαρμάκῳ, ex Bar. & Grav. 7 Θοοὶ ὄπιθεν, pro θεοὶ ὄπισθεν, ex Homeri Bœotia θοοὶ ὄπιθεν Sold.

[a] Κείναις ἐγὼ δηναιὸν [b] ἄφθιτος θεὰ	Ab illis ego virgiferis mulieribus
Ῥαβδηφόροις γυναιξὶν αὐδηθήσομαι.	Immortalis Dea diu vocabor.
Πένθος δὲ πολλαῖς παρθένων τητωμένας	Luctum contrà multis mulieribus egenis
Τάξω γυναιξὶν αὖθις, αἳ στρατηλάτην	Virginum rursus præbebo, quæ ducem
[c] Ἀθεσμόλεκτρον, Κύπριδος λῃστὴν θεᾶς,	Incestum, Cypriæ prædonem Deæ,
[d] Δαρὸν στένουσαι, κλῆρον εἰς δυσάρσιον	Diu gementes, in crudelem sortem
Πέμψουσι παῖδας ἐστερημένας γάμων.	Mittent puellas nuptiarum expertes.
Λάρυμνα, καὶ [e] Σπέρχειε, καὶ Βοάγριε,	O Larymna, Sperchee, Boagrie,
Καὶ [f] Κῦνε, καὶ Σκάρφεια, καὶ [g] Φαλωριάς,	Cyne, Scarphea, Phalorias,
Καὶ [h] Ναρύκειον ἄστυ, καὶ Θρονίτιδες	Urbs Narycea, Thronitides
Λοκρῶν [i] ἀγυιαί, καὶ Πυράνθιοι νάπαι,	Locrenses vici, Pyranthii saltus,
Καὶ πᾶς Ὀδοιδόκειος [k] Ἰλέως δόμος·	Totaque Hodœdocea Oilei domus;
Ὑμεῖς ἐμῶν ἕκατι [l] δυσσεβῶν γάμων	Vos mearum causa nuptiarum impiarum
Ποινὰς Γυγαίᾳ [m] τίσετ' Ἀγρείσκᾳ θεᾷ,	Pœnas Gygææ dabitis Agresti Deæ,
Τὸν χιλίωρον τὰς ἀνυμφεύτους χρόνον	Millenario innuptas tempore
Πάλου βραβείαις γηροβοσκοῦσαι κόρας,	Sortis constitutionibus educantes virgines,
Αἷς ἀκτέριστος [n] ἐν ξένοις τάφος	Quarum exsequiis carens peregrinum sepulcrum
Ψάμμῳ κλύδωνος [o] λυπρὸς [p] ἐκλυθήσεται,	Triste maris æstu dissipabitur,

VARIANTES LECTIONES.

a Κείναις δ' ἐγὼ Sold. b Ἄφθιτος Sold. c Ἀθεσμόλεκτρον MSS. uterque. d Versus hos sic distinguit Sold.
Δαρὸν στένουσαι κλῆρον εἰς δυσάρσιον.
Πέμψουσι —
e Σπερχειέ oxyton. MSS. uterque, & alii. f Κῦνε Bar. aliique. g Φαλαρίας Bar. h Ναρύκιον Bar. i Ἀγυιαὶ Sold. k Ἰλέως al. Οἰλέως maluit Canterus, cujus Adnotationes consulendæ. l Δυσσεβῶν Sold. m Τίσετ' MSS. uterque. τίσετ' al. n Ἐν ξένοις ξένος Bar. o Λυπρὸς Bar. p Ἐκκλυσθήσεται Bar. ἐκκλυσθήσεται Sold. quas lectiones uterque in Scholiis retinent. ἐκκλυσθήσεται al.

λευκαὶ δὲ τὴν θέαν, ὅθεν καὶ τὰς μελαίνας ἐσθῆτας Ἐριννύων φασίν· αἱ δὲ τῶν Δαυνίων γυναῖκες μέλαιναν ἐσθῆτα φοροῦσι, καὶ τὰς [1] ὄψεις βάπτονται πυρρῷ χρώματι, ὥς φησι Τίμαιος, ταινίας τε πλατείας εἰσὶν ὑπεζωσμέναι, ὑποδεδεμέναι τὰ κοῖλα ὑποδήματα, καὶ ῥάβδον κατέχουσι. Θρόνοις δέ, τοῖς κόμμεσιν· τὰ γὰρ βάμματα φαρμακικά.

1141. Πένθος δὲ πολλαῖς.] Αἴαντος τοῦ Λοκροῦ περὶ τὰς [2] Γυραίας ναυαγήσαντος, καὶ [3] ταφέντος ἐν Τρέμωνι, χώρᾳ τῆς Δήλου, οἱ Λοκροὶ μόλις σωθέντες ἦλθον εἰς τὰ οἰκεῖα· φθορὰ δὲ καὶ λοιμὸς μετὰ τρίτον ἔτος ἔσχε τὴν Λοκρίδα, διὰ τὴν εἰς Κασσάνδραν ἀθέμιτον μῖξιν Αἴαντος· ἔχρησε δὲ ὁ θεὸς ἱλάσκεσθαι Ἀθηνᾶν τὴν ἐν Ἰλίῳ ἐπὶ ἔτη χίλια, δύο παρθένους πέμποντας ἐπὶ κλήρῳ καὶ [4] λαχούσας· πεμπομένας δὲ αὐτὰς προϋπαντῶντες οἱ Τρῶες εἰ κατέσχον, ἀνῄρουν, καὶ καίοντες ἀκάρποις καὶ ἀγρίοις ξύλοις τὰ ὀστᾶ αὐτῶν, ἀπὸ Τράρωνος ὄρους τῆς Τροίας, τὴν σποδὸν εἰς θάλασσαν ἔρριπτον, καὶ πάλιν οἱ Λοκροὶ ἑτέρας ἔστελλον· εἰ δέ τινες ἐκφύγοιεν, ἀνελθοῦσαι λάθρα εἰς τὸ τῆς Ἀθηνᾶς ἱερὸν, ἱέρειαι ἐγίνοντο· ἔσαιρον γὰρ αὐτὸ, καὶ ἔρραινον· τῇ δὲ θεῷ οὐ προσήρχοντο, οὔτε τοῦ ἱεροῦ ἐξήρχοντο, εἰ μὴ νύκτωρ· ἦσαν δὲ κεκαρμέναι, μονοχίτωνες, καὶ ἀνυπόδετοι. πρῶται δὲ τῶν Λοκρίδων παρθένων Περίβοια καὶ Κλεοπάτρα ἀφίκοντο. καὶ πρῶτα μὲν τὰς παρθένους, εἶτα βρέφη ἐνιαύσια μετὰ τῶν τροφῶν αὐτῶν ἔπεμπον οἱ Λοκροί· χιλίων δὲ ἐτῶν παρελθόντων μετὰ τὸν [5] Φωκικὸν πόλεμον [6] ἐπαύσαντο τῆς τοιαύτης θυσίας, ὥς φησι Τίμαιος ὁ Σικελός, μέμνηται δὲ τῆς ἱστορίας καὶ ὁ Κυρηναῖος Καλλίμαχος.

1146. Λάρυμνα.] πόλις Θεσσαλίας· τὴν Λάρισαν κακῶς λέγει Λάρυμναν. Σπερχειὸς, ποταμὸς Θεσσαλίας, ὃς νῦν [7] Σαλαμβρεία καλεῖται. Βοάγριος, ποταμὸς Λοκρίδος· πρόσκειται * γὰρ * τῇ Θεσσαλίᾳ ἡ Λοκρίς.

1155. Αἷς ἀκτέριστος.] ἐξέθετο ὅτι φονευόμεναι παρὰ τῶν Τρώων αἱ Λοκρίδες, ἀκάρποις ξύλοις ἐκαίοντο, καὶ ἡ σποδὸς

EMENDATIONES.

1 Ὄψεις, pro ὄψιν, ex MSS. omnibus. 2 Γυραίας, pro γυρίας, ex emendatione Nic. Gerbelii. 3 Ταφέντος, pro σαρέντος, ex Grav. Nam supra dicit Cassandra Ajacem eo loci sepultum esse. 4 Λαχούσας, pro λαχοῦσι, ex MSS omnibus. 5 Φωκικὸν Bar. & Grav. 6 Ἐπαύσαντο τῆς τοιαύτης θυσίας, pro ἐπαύσαντο τῆς τοιαύτης θυσίας, ex MSS. omnibus. 7 Σαλάμβρη Bar & Grav. * Ko Sold

αὐτῶν

[a]Ὅταν [b]ἀκάρποις [c]γυῖα συμφλέξας φυτοῖς	Quando sterilibus membra sarmentis comburens
Ἥφαιστος, εἰς θάλασσαν [d]ἐκβράσῃ σποδὸν	Vulcanus, excutiet in mare cinerem
Τῆς ἐκ λόφων [e]Τράρωνος ἐφθιτωμένης.	Perditæ ex collibus Traronis.
Ἄλλαι δὲ νύκτωρ ταῖς θανουμέναις ἴσαι	At aliæ nocte morituris pares
[f]Σίθωνος εἰς θυγατρὸς ἵξονται [g]γύας,	In Sithoniæ filiæ regiones pervenient,
Λαθραῖα [h]κακκέλευθα [i]παπταλώμεναι,	Per occultas speculantes semitas,
Ἕως ἂν εἰσδρέξωσιν Ἀμφείρας δόμοις,	Donec ad Amphiræ confugiant ædem,
Λιταῖς Σθένειαν ἱκέτιδες [k]γουνούμεναι·	Precibus Robustam supplices adorantes :
Θεᾶς δ' [l]ὀφελτρεύσωσι [m]κοσμοῦσαι πέδον,	Deæque verrent ornando templum,
Δρόσῳ τε [n]φοιβάσωσιν, ἀστεργῆ χόλον	Aquisque purgabunt, implacidæ iræ
Ἀστῶν φυγοῦσαι· πᾶς γὰρ Ἰλιεὺς ἀνὴρ	Civium elapsæ : quivis enim Trojanorum
Κόρας δοκεύσει, πέτρον ἐν χεροῖν ἔχων,	Puellas observabit, saxum in manu tenens,
Ἢ φάσγανον κελαινόν, ἢ ταυροκτόνον	Vel ensem nigrum, vel tauricidam
Στερρὰν κύβηλιν, ἢ [o]Φαλακραῖον κλάδον,	Validam securim, vel Phalacræum baculum,

VARIANTES LECTIONES.

a Ὅτ' ἂν Seld. b Al. ἀκάρπεις, & deinde φυλοῖς. c Γύια Impressa quædam edit. d Ἐκβράσει al. e Τράρωνος reposuit Josephus Scaliger, quem sequi malle se profitetur Canterus. f Al. Σίθωνος. g Al. γύας. h Κάκκελευθα Bar. eandemque lectionem in Scholiis tuetur, ubi etiam cum eo consentit Seld. i Παπταλωμένη Seld. παπταλωμένη Bar. eandemque lectionem in Scholiis habet. k Γουνούμεναι Seld. l Ὀφελτρεύσωσι al. ὀφελτρεύουσι Etymologici Auctor. ὀφελτρεύουσι Bar. m Κοσμοῦσαι πέδον, Δρόσῳ τε φοιβάσωσιν abest à quodam Impress. n Φοιβάσουσι Bar. o Φαλακραῖον Seld.

αὐτῆς εἰς θάλασσαν ἐξέπεμπε. Ἡ δὲ σύνταξις οὕτω· ἄλλαι ξέναι Λοκρίων ἐν ξένῃ ψάμμῳ ἀκτέριστοι καὶ ἄταφοι λυπρῆς τάφου ἐλκυσθήσονται, ἤτοι ἐκριφήσονται, ὑπὸ τοῦ κλύδωνος.

1157. Ὅταν ἀκάρποις.] ἐξῆλθε.

1159. Τῆς ἐκ λόφων Τράρωνος.] συνέβη μετὰ τὸ Λοκρῶν στελλομένη διαφθαρεῖσαν ἐπὶ τινος λόφου τῆς Τροίας, καλουμένου Τράρωνος· εἶτα τοὺς Λοκροὺς τὸ μὴ θάψαι, στείλαντες δὲ, καὶ μηκέτι πέμπειν τὰς παῖδας, δοκοῦντες πεπληρῶσθαι τὸ τῶν ἐτῶν χρόνον· ὁ δὲ χρησμὸς οὐκ εἶχε χρόνον ὡρισμένον, ἀλλὰ ἀντὶ τῆς ἀδικίας τῆς Κασάνδρας ἐδήλου στέλλειν δύο κόρας· ἀκαρπίας δὲ μετὰ τὴν παῦσιν τῆς θυσίας καταλαβούσης πάλιν τοὺς Λοκρίδας, ἔπεμψαν οὐκέτι δύο, ἀλλὰ μίαν ἐκπέμψαντες δεδοικότες τὴν τιμωρίαν.

1160. Ἴσαι.] καὶ μακρὸν, καὶ βραχὺ λεχθὲν, οὐ λυμαίνεται τὸν στίχον, *ὡς πολλάκις εἰρήκειν.*

1161. Σίθωνος εἰς θυγατρὸς γύας.] [1]εἰς τὸ Ῥοίτειον· ἀπὸ δὲ τοῦ Ῥοιτείου τὴν ὅλην Τροίαν ἐδήλωσεν· Σίθων γὰρ, τῶν Θρᾳκῶν βασιλεὺς, καὶ [2]Ἀγχιρόης τῆς Νείλου, θυγατέρες Παλλήνη, καὶ Ῥοιτεία· ἀφ' ὧν ἡ τε Παλλήνη, πόλις Θρᾴκης, καὶ τὸ Ῥοίτειον, τόπος ἐν Τροίᾳ· ὁ δὲ Σίθων υἱὸς ἦν Ἄρεος.

1162. Λαθραῖα κακκέλευθα.] κεκρυμμένας ὁδοὺς [3]περιβλέπουσαι ἐδεδοίκεσαν γὰρ, ὡς ἔφην, μὴ ἀναιρεθῶσιν ὑπὸ Τρώων· ἐπετέτραπτο γὰρ τοῖς Τρωσὶ, καὶ ἐάν ἴδοιεν ταύτας παραγινομένας αὐτὰς ἐκ Λοκρίδος, λίθους ἔχοντες καὶ [4]ξίφη ἀποκτείνειν αὐτάς, ὅθεν ἐν νυκτὶ εἰσήρχοντο εἰς τὸν ναόν. Τὸ δὲ [5]Παπταλώμεναι αἰδοίᾳ Λυκοφρονείᾳ ἐλέχθη· Ἱππώνακτος γάρ ἐστιν ἡ λέξις, καὶ δηλοῖ τὸ περιβλέπουσαι· ἀλλ' ἐκεῖνος παμφαλῶσι, τὸ ἰδεῖν λέγει, οὐ παπταλῶσι, ὥσπερ νῦν φησὶν οὕτως· φησὶ δὲ τὸ τέλος *μελά* μικρὸν ἔρῶ,

Κύψω κνιφαίνων ἄγχι παμφαλώμενος.

τοιαύτῃ γοῦν αἰδοίᾳ χρώμενος, πῶς οὐκ ἂν φησὶ ὃ βούλοιτο μεταποιῶν γράψαι.

1165. Ὀφελτρεύσωσι.] σαρώσωσι· σαρὸν γὰρ, καὶ ὄφελτρον, καὶ ὄφελλα, καὶ ὄφελμα, ἡ σκοῦπα λέγεται· καὶ οὕτω Ἱππῶναξ φησὶν,

[6]Ὁ δ' αὐτίκ' ἐλθὼν σὺν γεροῦσι μάρτυσι,
Ὅπου τὸ ἔρπον ὁ [7]σκύτος κατηλοίει,
Ἀνθρωπον εὗρεν τὴν στέγην ὀφέλλοντα·
Οὐ γὰρ παρῆν ὄφελμα πηδήσας σφόδρα.

1166. *Φοιβάσωσι.] πλυνῶσι· φοίβη γὰρ ἀλληγορικῶς τὸ ὕδωρ ἐστίν.*

1168. Πέτρον ἔχων.] ἢ τόδε, ἢ τόδε· [8]τοιούτοις γὰρ οἱ Τρῶες ὡπλισμένοι τὰς Λοκρίδας ἐξεδέχοντο, ὅπως αὐτὰς ἀνέλωσι· νόμος γὰρ ἦν τοῖς Τρωσὶν, ἐπαινεῖν τὸν τῶν Λοκρίδων φονέα· εἰ δέ τις ἔθαψεν αὐτὰς, ἐτιμωρεῖτο μεγάλως.

1170. Στεῤῥὰν κύβηλιν.] ὁ Ἱππῶναξ Κύβηλιν τὴν Ῥέαν λέγει, διὰ τὸ ἐν Κυβέλλῃ, πόλει Φρυγίας, τιμᾶσθαι· ὅπως δὲ

EMENDATIONES.

* Ex Bar. & Grav. 1 Εἰς τὸ Ῥοίτειον, ἀπὸ δὲ τοῦ Ῥοιτείου, pro εἰς τὸ Ῥύτειον, ἀπὸ δὲ τοῦ Ῥυτείου, ex MSS. utroque. Rhœteum enim dictum esse illud Troiani agri promontorium, vel pueris notum. Paullo post etiam Ῥοιτεία posui, pro Ῥυτεία, ope MSS. utriusque. 2 Ἀγχιρόης Bar. & Grav. 3 Περιβλέπουσαι, pro περιβλέπουσαι, ex Grav. Ea enim voce paullo post utitur. 4 Ξίφη, pro ξίφος, ex Seld. & Lycophronis textu. 5 Παπταλώμεναι, pro παπταλωμένας. * Ex Grav. 6 Hos versus, ultimo excepto, supra castigavi, & digessi in ordinem. 7 Σκύτος Grav. * Hæc ex penu Barocciano & Graviano deprompsi. 8 Τοιούτοις, pro τοιούτως, ex MSS. omnibus.

Μαιμῶν ᵃκορέσαι χεῖρα διψῶσαν φόνου.
Δῆμος δ' ἀνατεὶ τὸν κτανόντ' ἐπαινέσει,
Τεθμὸν χαράξας τοὐπιλώβητον γένος.
Ὦ μῆτερ, ὦ δύσμητερ, οὐδὲ σὸν κλέος
Ἄπυστον ἔσται· Περσέως δὲ παρθένος,
Βριμὼ, Τρίμορφος, θήσεταί σ' [b] ἐπωπίδα,
[c] Κλαγγαῖσι [d] ταρβήσουσαν ἐννύχοις βροτοὺς,
Ὅσοι μεδούσης Στρυμόνος Ζηρυνθίας
[e] Δείκηλα μὴ [f] σέβουσι λαμπαδουχίαις,
Θύσθλοις Φεραίαν ἐξακεύμενοι θεάν.
Ψευδήριον [g] δὲ νησιωτικὸς στόνυξ
Πάχυνος ἕξει [h] σεμνὸν, ἐξ ὀνειράτων
Ταῖς δεσποτείαις ὠλέναις ὠγκωμένον,
Ῥείθρων Ἑλώρου πρόσθεν ἐκτερισμένης

Gestiens manum sitibundam cæde satiare.
Populus autem impunè homicidam laudabit,
Lege proscribens perniciosam gentem.
O Mater, infelix mater! ne tuum quidem nomen
Erit ignobile: nam Persei Filia,
Brimo, Triformis, te faciet canem,
Clangoribus territuram nocturnis homines,
Quicunque Strymonis Reginæ Zerynthiæ
Statuam non colunt lampadum gestationibus,
Sacrificiis Pheræam placantes Deam.
Cenotaphium verò scopulus insularis
Pachyni venerandum habebit, è somniis
Aggestum herilibus manibus,
Qui juxta ripas miseræ fundet libamina,

VARIANTES LECTIONES.

a Al. κορέσαι. Vide *Scholia*. b Ἐπωπίδα alii cum tenui, alii cum aspero spiritu pingunt, quem quidem Ego malim. c Κλαγγαῖσι *Bar.* γλαγγαῖσι *Seld.* d Ταρβήσουσαν *Bar.* aliique. ταρβήσουσαν al. ταρμύσουσαν al. e Al. δίκηλα. f Σέβουσι *Bar.* aliique. g Al. δαί. h Σεμνὸν *Bar.* aliique.

τὸν πέλεκυν Φαλακραῖον κλάδον.] ξύλον ἐκ τῆς Φαλάκρας· τέσσαρα γὰρ ἀκρωτήρια Ἴδης, Πέργαμος, Λεκτὸν, Γάργαρον, καὶ Φαλάκρα, ἀφ' ἧς τὰ δόρατα εἶχον οἱ Τρῶες.

1171. Μαιμῶν.] κυρίως αἵματος ἐπιθυμῶν, αἱμῶν, καὶ προσθήκῃ τοῦ μ, μαιμῶν. Κορέσαι.] δύο βραχέα εἰς διψῶσαν χεῖραν ποίας ἀδείας ἐστὶν, οὐκ οἶδα· ἐγὼ δὲ ἀπορήσας διὰ τὸ μὴ εὑρίσκειν αὐτόθι τινὰ ποιητικὸν τρόπον τὸν ἐκλείποντα αὐτὸ, δύο σσ ἔγραψα, ὡς ἐπὶ τῶν ἡρωϊκῶν, ἵν' ᾖ Αἰολικόν.

1172. Δῆμος δ' ἀνατεί.] ἡ σύνταξις * οὕτως. * Ὁ δὲ δῆμος, τῶν Τρώων δηλονότι, τὸν κτανόντα τὸ ἐπιλώβητον γένος, τὰς Λοκρίδας, ἐπαινέσει ἀνατεὶ, ἐν τεθμῷ καὶ νόμῳ τοῦτο γράψας, δηλονότι τὸ ἐπαινεῖσθαι τὸν φονεύσοντα Λοκρίδα τινὰ, καὶ μὴ ὑφορᾶσθαι βλάβην τινὰ αἰτίου.

1175. Περσέως δὲ παρθένος.] ἡ Ἑκάτη· καὶ τοῦτο τῆς ἀδείας ἐστὶ τοῦ Λυκόφρονος, τὴν Πέρσου Περσέως καλεῖν, ὅπως ἀπαρτίζοιτο τὰ μέτρα· ὁ γὰρ Ἡσίοδος τὴν Ἑκάτην Πέρσου καὶ Ἀστερίας φησὶ θυγατέρα, οὐ Περσέως· οὐδὲ μὴν Πέρσου τοῦ νεωτέρου, ἀλλὰ Πέρσου παλαιοῦ, ὃς ἦν παῖς [1] Εὐρυβίας καὶ [2] Κρειοῦ, τῶν Οὐρανοῦ παίδων· ἡ δὲ Πέρσου γυνὴ Ἀστερία, παῖς ἦν Κοίου καὶ Φοίβης· ὁ Κοῖος δὲ, καὶ ἡ Φοίβη, Οὐρανοῦ παῖδες.

1176. Βριμώ.] ἡ αὐτὴ ἡ Ἑκάτη, ὅτι [3] Ἑρμῆν ἐν κυνηγεσίῳ βιάζοντα αὐτὴν ἐνεβριμήσατο, καὶ οὕτως ἐπαύθη· καὶ ἡ Περσεφόνη Βριμὼ λέγεται· δοκεῖ δὲ ἡ αὐτὴ εἶναι Ἑκάτη καὶ Περσεφόνη. Τρίμορφος.] τρικέφαλος, ἡ παρ' ὅσον μετέχει οὐρανοῦ, καὶ γῆς, καὶ ᾅδου. Ἐπωπίς.] δασέως μὲν ἡ ἀκόλουθος καὶ δμωίς· ψιλῶς δὲ, ἡ ἐπισκοποῦσα καὶ [4] βλέπουσα, παρὰ τὰς ὦπας· ἐπωπίδα δὲ ἀκόλουθον τῆς Ἑκάτης φησὶ τὴν Ἑκάβην, ὅτι, καθάπερ λέγουσιν, ἡ Ἑκάβη [5] κύων γέγονε, διὰ τὸ λίθοις ἀναιρεθῆναι, καὶ τῇ Ἑκάτῃ δέ φασι κύνας μελαίνας [6] φοβερὰς ἕπεσθαι.

1178. Μεδούσης Στρυμόνος Φεραίας.] Ἑκάτη ἡ τῆς Φεραίας, τῆς Αἰόλου θυγατρὸς, κἀκ τοῦ Διὸς τεχθεῖσα, ἐν τριόδοις ἐρρίφη. βουκόλοι δὲ [7] Φέρητος εὑρόντες αὐτὴν, ἀνέθρεψαν· ὅθεν ἐν ταῖς τριόδοις αὐτῇ τὰς θυσίας ἐποίουν. Φεραίαν δὲ, τὴν ἐν Φεραῖς τιμωμένην· Φέρης γάρ τις ἔκτισε πόλιν Φερὰς, ἥτις νῦν [8] Σαῖρα καλεῖται· καὶ Καλλίμαχος περὶ τῆς Ἀρτέμιδός φησιν,

[9] Πότνια, Μουνυχίη, λιμενοσκόπε, χαῖρε Φεραίη.

ἡ αὐτὴ δὲ ἐστὶν Ἄρτεμις καὶ ἡ Ἑκάτη.

1179. Δείκηλα.] εἰκόνας, ἀγάλματα· κυρίως δὲ τὰ παρὰ τὸ ἴκελα, δείκελά τινα ὄντα, καὶ δείκηλα.

1181. Νησιωτικὸς στόνυξ.] ἀκρωτήριον τῆς Σικελίας ἐστὶ, καλεῖται δὲ Πάχυνος, ἔνθα κενοτάφιον Ὀδυσσεὺς ἱδρύσατο τῇ Ἑκάβῃ, δειματούμενος ὑπ' αὐτῆς ἐν τῇ νυκτί. διὰ τὸ πρῶτον κατάρξαι αὐτὸν τοῦ καταλεύσματος, τοῦ ὑφ' Ἑλλήνων εἰς αὐτὴν γεγονότος· τρία δὲ ἀκρωτήρια Σικελίας, Πάχυνος, Πελωρὶς, καὶ Λιλύβαιον.

1182, 1183, 1184. Ῥέεθρον Ἑλώρου πρόσθεν.]

EMENDATIONES.

* Ex *Bar.* & *Grav.* 1 Εὐρυβίας edit. *Bas.* & *Seld.* Ἀγαβίας *Grav.* item *Bar.* qui ita legit hunc locum, Ἀγαβίας ἀμφὶ τοῦ &c. Ceterum Ego ex eo τοῦ posui, eam ὦ habebant *Impressi*, repugnante constructione. 2 Κρειοῦ *Seld.* 3 Ἑρμοῦ & βιάζοντος, pro Ἑρμῆν & βιάζοντα, ex *Bar.* & *Grav.* 4 Βλέπουσα, παρὰ τὰς ὦπας lego. ope *MSS.* omnium. βλέπουσα τὰς εἰς ὦπας *Impress.* absurde. 5 Κύων γεγονυῖα λέγεται ἀληθῶς *Seld.* 6 Φοβερὰς, pro φοβηρὰς, ex *Bar.* & *Grav.* 7 Φέρητος φεραίας εὑρόντες *Impress.* Ego φεραίας delevi, auctoritate *MSS.* omnium. 8 Σέραι *MSS.* omnes. 9 Sic emendavi hunc versum ex *Callimachi* Hymno in Venerem v. CCLIX. Ἄρτεμι μουνυχία λιμένος σκοπὲ χαῖρε φεραία *Impress.* Ἄρτεμι ποτνυχία λιμενοσκοπὲ *Seld.* Ἄρτεμι ποτνιχίη, & deinde φεραία *Bar.* ποτνιχίη habet etiam *Grav.*

ˡ πλησίον

Ὃς δὴ παρ' ἀκταῖς [a] τλήμονος ῥόθει χοὰς,	Ante fluenta Helori sepultæ,
Τριαύχενος μήνιμα δειμαίνων θεᾶς,	Tricervicis iram formidans Deæ,
Λευστῆρα πρῶτον οὕνεκα ῥίψας πέτρον,	Quoniam primum lapidatorem projiciens lapidem,
Ἅδῃ κελαινῶν θυμάτων ἀπάρξεται.	Nigra Plutoni auspicabitur sacra.
Σὺ δ', ὦ ξύναιμε, πλεῖστον ἐξ ἐμῆς φρενὸς	Jam tu, Frater, plurimum ex animo mihi
Στερχθεὶς, μελάθρων ἕρμα, καὶ πάτρας ὅλης,	Dilecte, fulcrum ædium, totiusque patriæ,
Οὐκ εἰς [b] κενὸν κρηπῖδα φοινίξεις φόνῳ	Non frustrà solum cæde cruentabis
Ταύρων, ἄνακτι τῷ Ὀφίωνος θρόνων	Taurorum, regi thronorum Ophionis
Πλείστας ἀπαρχὰς θυμάτων δωρούμενος·	Plurimas offerens victimarum primitias:
Ἀλλ' [c] ἄξεταί σε πρὸς [d] γενεθλίαν πλάκα,	Sed in natalem te ducet terram,
Τὴν ἐξόχως Γραικοῖσιν [e] ἐξυμνημένην·	Eximiè Græcis celebratam:

VARIANTES LECTIONES.

a Al. τλήμων. b Κενὴν κρηπῖδα Bar. eandemque lectionem in *Scholiis* retinet. c Ἥξεταί σε Bar. d Al. γεννητήν. e Ἐξυμνημένην MSS. uterque, & alii.

[1] πλησίον τῶν ῥείθρων τοῦ Ἑλώρου, ποταμοῦ Σικελίας, τῇ τλήμονι Ἑκάβῃ ῥανεῖ χοὰς Ὀδυσσεύς· ὁ δὲ ποταμὸς ὁ Ἔλωρος ἔσχετο ὄνομα ἀπό τινος βασιλέως Ἑλώρου, κτίσαντος γέφυραν ἐν αὐτῷ μεγάλην. οἱ Ἔλωροι πρὶν ἐπορεύοντο πρὸς τὸ Ἄργος, καὶ ἐδίδη χρησμὸς αὐτοῖς, μὴ ἀφεῖναι τὸν ἀνώνυμον ποταμόν· οἱ δὲ ἀλογήσαντες τοῦ χρησμοῦ ἀπήρχοντο προσοτρύνοντες δὲ αὐτῷ, ἔπεσον μετὰ τῶν ἵππων, καὶ ἄφνω ὑπὸ ὕδατος ἀπεπνίγησαν, καὶ ἔσχε ταύτην τὴν ἐπωνυμίαν. Ἐξ ὀνειράτων.] ἤτοι ὑπὸ τοῦ ὄναρ εὐθείας εἶπεν, ἤτοι ὑπὸ τοῦ ὀνείρατ' ὀνείρατος γὰρ ἦν ἡ γενικὴ, ἢ ὀνείρου· ἀλλ' ὑπὸ εὐθείας τῆς λεγούσης τὸ ὀνείρατον, ὡς τὸ προσώπατον· ὡς καὶ [2] παρ' Ὁμήρου ἔχει,

Μειδιόων βλοσυροῖσι [3] προσώπασι. ———

ὑπὸ γοῦν τῆς τοιαύτης εὐθείας ἡ γενικὴ λέγεται προσωπάτων, καὶ ὀνειράτων. Δυσσεβείας αὐλάκας.] τῆς τῆς Ὀδυσσέως χειρὸς, Ἑκάβης γὰρ δεσπότης Ὀδυσσεὺς γέγονεν, ὡς Εὐριπίδης φησὶν ἐν Τρῳάσιν,

[4] Ἰθάκης Ὀδυσσεὺς ἔλαχ' ἄναξ δούλην σ' ἔχειν.

1186. Τριαύχενος.] τῆς Ἑκάτης, ἣν ἄνω τρίμορφον λέγει.

1191. Οὐκ εἰς κενὸν κρηπῖδα.] οὐ μάτην αἱμάξεις τὴν κρηπῖδα καὶ τὴν βάσιν τοῦ βωμοῦ ἐν τῷ αἵματι τῶν θυσιῶν δηλονότι ταύρων καὶ ταυρικῶν θυμάτων, πλείστας ἀπαρχὰς δωρούμενος τῷ Διῒ, τῷ ἄνακτι καὶ βασιλεῖ τῶν Ὀφίωνος θρόνων· πρὸ γὰρ Κρόνου καὶ Ῥέας, Ὀφίων καὶ Εὐρυνόμη, ἡ τοῦ Ὠκεανοῦ, τῶν θεῶν ἐβασίλευον, οὓς Τιτᾶνας καλοῦσι· Κρόνος δὲ τὸν Ὀφίωνα καταβαλὼν, Ῥέα δὲ τὴν Εὐρυνόμην καταπαλαίσασα, καὶ ἐμβαλοῦσα τῷ Ταρτάρῳ, τῶν θεῶν ἐβασίλευσαν· οὓς πάλιν ὁ Ζεὺς ταρταρώσας, ἔσχε τὸ κράτος, ὃ πρὸ μὲν Κρόνος αὐτὸς εἶχε καὶ Ῥέα, πρὸ αὐτῶν δὲ Ὀφίων καὶ Εὐρυνόμη· ὅθεν ἄνακτα τὸν Δία φησὶ τῆς βασιλείας Ὀφίωνος καὶ Εὐρυνόμης.

1194. Ἀλλ' ἄξεταί σε πρὸς γενεθλίαν πλάκα.] φασὶν ὅτι λιμοῦ κατασχόντος τὴν Ἑλλάδα, ἔχρησεν ὁ θεὸς, τὰ τοῦ Ἕκτορος ὀστᾶ κείμενα ἐν Ὀφρυνῷ, τόπῳ τῆς Τροίας, μετενεγκεῖν ἐπί τινα πόλιν Ἑλληνίδα ἐν τιμῇ μὴ μετασχοῦσαν τῆς ἐπὶ Ἴλιον στρατείας. οἱ δὲ Ἕλληνες εὑρόντες τὰς ἐν Βοιωτίᾳ Θήβας μὴ στρατευσαμένας ἐπὶ Ἴλιον, ἐνεγκόντες τὰ τοῦ ἥρωος λείψανα, ἔθεντο περὶ τὴν Οἰδιποδίαν κρήνην ἐν Θήβαις. Γενεθλίαν δὲ πλάκα, τὰς Θήβας λέγει, ὅτι κατά τινας ὁ Ζεὺς ἐν Θήβαις ἐτέχθη, καὶ τὰς Μακάρων νήσους ἐν Θήβαις φασὶν εἶναι· καὶ τὴν μὲν Διὸς γέννησιν, οἱ μὴ εἰδότες τίς ἐστιν ὁ Ζεὺς, οἱ μὲν ἐν Κρήτῃ, οἱ δὲ ἐν Ἀρκαδίᾳ, ὁ δὲ Λυκόφρων ἐν Θήβαις τῆς Βοιωτίας φησὶν, ἔνθα καὶ ἐπιγέγραπται τάδε,

Αἳ δ' εἰσὶ Μακάρων νῆσοι, [5] τόθι περ τὸν ἄριστον
Ζῆνα, θεῶν βασιλῆα, Ῥέη τίκε τῷδ' ἐνὶ χώρῳ.

τοῖς δὲ εἰδόσιν ὅτι Δίες πάντες οἱ βασιλεῖς καὶ θεοὶ λέγονται, ὁ κοινὸν δόξει, καὶ ἐν Κρήτῃ, καὶ ἐν Ἀρκαδίᾳ, καὶ ἐν Θήβαις, καὶ ἐν ἑτέροις μυρίοις τόποις εἶναι γεννήσεις βασιλέων, καὶ ἐπιγέγραπται· τῆς δὲ οὐρανοῦ Διὸς ἡ γέννησις ἐν τῷ οὐρανῷ, ὥσπερ καὶ τοῦ νοὸς Διὸς ἐν τῷ ἐγκεφάλῳ· οὕτως ὁ εἰδὼς τοὺς βασιλεῖς πάντας Δίας καὶ θεοὺς καλουμένους, οὐ ξενισθήσεται πολλὰς πατρίδας εὑρίσκων καὶ ἐπιγεγραμμένας· ὡς καὶ ὁ γινώσκων, ὅτι Τυφῶν ἐστι πᾶσα πυρὸς ἀνάδοσις, οὐ ξενισθήσεται [6] παρά τισι μὲν εὑρίσκων τοῦτον ἐν Κιλικίᾳ τυφόμενον, παρά τισι δὲ ἐν Σικελίᾳ, καὶ τοῖς Ἀρίμοις ὄρεσι, [7] παρ' ἐνίοις δὲ ἀλλαχοῦ· εἰ δὲ [8] θυμικόν τινα δαίμονα τοῦτον δοκήσει, ξενισθήσεται πάντως ἐν διαφόροις τόποις τοῦτον ἀκούων τυφόμενον, ὥσπερ καὶ τὰ τούτοις ὅμοια εὑρίσκων οὕτως. Μακάρων δὲ νήσους τὰς Θήβας ὁ ἐπιγραμματογράφος ἐκάλεσε, κολακικῶς εἰκάζων τὰς Θήβας [9] νήσοις Μακάρων· αἱ γὰρ Θῆβαι νῆσος οὐκ εἰσί. Θεῶν δὲ βασιλέα ἐκεῖνον εἶπε, τουτέστι βασιλέων βασιλέα· θεοὶ γὰρ καὶ οἱ βασιλεῖς, ὡς ἔφημεν, λέγονται. αἱ δὲ τῶν Μακάρων νῆσοι ἐν τῷ Ὠκεανῷ κεῖνται, περὶ ὧν [10] μετὰ μικρὸν ἐρῶ.

EMENDATIONES.

1 Πλησίον τῶν ῥείθρων τοῦ Ἑλώρου, pro πλησίον τοῦ Ἑλώρου τῶν ῥείθρων, ex *Bar.* 2 Ὁμήρῳ *Grav.* 3 Προσώπασι, pro προσωπάσιν, ex *Grav.* & *Hom. Iliad.* ή. v. CCXII. 4 Sic emendavi hunc versum *Euripidis*, ope *MSS.* Codd. Ἰθάκης Ὀδυσσεὺς ἔλαχεν ἄναξ δούλην σε ἔχειν *Impress.* 5 Τ' ὅθι *Bar.* & *Grav.* 6 Παρά τισι μὲν εὑρίσκων τοῦτον ἐν Κιλικίᾳ τυφόμενον, παρά τισι δὲ ἐν Σικελίᾳ, καὶ τοῖς Ἀρίμοις lego, ope *MSS.* Nam Typhonem gigantem θεομάχον, alii in Sicilia, alii in Cilicia, alii denique in Arimis pœnas dare fabulantur. παρά τισι μὲν εὑρίσκων τοῦτον ἐν Σικελίᾳ τυφόμενον, παρά τισι δὲ ἐν Σικελίᾳ, καὶ τῶν Ἀρίμων ὄρεσι *Impress.* 7 Παρ' ἐνίοις lego, pro παρ' ἑνίοις, ex *Grav.* 8 Μυθικόν τινα *MSS.* omnes. 9 Νήσοις, pro νήσοις, ex *Suid.* 10 Μετὰ μικρὸν, pro κατὰ μικρὸν, ex *MSS.* utroque.

Ὅπου[a] σφε μήτηρ ἡ πάλης ἐμπείραμος,
Τὴν πρόσθ᾽ ἄνασσαν ἐμβαλοῦσα Ταρτάρῳ,
Ὠδῖνας ἐξέλυσε λαθραίας γονῆς,
Τὰς παιδοβρώτεις ἐκφυγοῦσ᾽ ὁμευνέτου
Θοίνας ἀσέπτους· οὐδ᾽[b] ἐπίανεν βορᾷ
Νηδὺν, τὸν ἀντίποινον ἐκλάψας πέτρον,
Ἐν[c] γυιοκόλλοις σπαργάνοις[d] εἱλιγμένον,
Τύμβος γεγὼς κένταυρος ὠμόφρων σπορᾶς.
Νήσοις Μακάρων[e] δ᾽ ἐγκατοικήσεις μέγας
Ἥρως, ἀρωγὸς λοιμικῶν τοξευμάτων·
Ὅπου σε πεισθεὶς Ὠγύγου σπαρτὸς λεὼς,

Ubi Mater ipsum luctæ perita,
Priorem Reginam injiciens Tartaro,
Dolores exsolvit occulti partus,
Puerivoras effugiens Conjugis
Epulas impias: nec satiavit cibo
Ventrem, vicarium deglutiens lapidem,
Fasciis membra vincientibus involutum,
Sepulcrum factus prolis Centaurus crudelis.
In Beatorum igitur insulis habitabis magnus
Heros, pestiferarum vindex sagittarum:
Quò te satus Ogygi populus obtemperans

VARIANTES LECTIONES.

a Al. σφι. b Ἐπίανε Seld. c Al. γυιοκόλλοις. d Εἰλημένον al. εἰλυμένον MSS. uterque, & eandem lectionem in Scholiis retinent. e Δ᾽ omittunt nonnulli Impress.

1196. Ὅπου σφε μήτηρ.] αἱ μὲν ἱστορίαι εἰλέχθησαν, ἡ δὲ σύνταξις οὕτως· Ὅπου σφὲ καὶ αὐτὸν τὸν Δία ἡ μήτηρ Ῥέα * ἔμπειρος τῆς * πάλης ἐξέλυσε τὰς ὠδῖνας τῆς λαθραίας γονῆς, τὴν [1] πρόσθ᾽ ἄνασσαν Εὐρυνόμην ταρταρώσασα. Τὸ δὲ Σφὲ ἀντὶ τοῦ αὐτὸν, ἀντίπτωσις ἐστίν. Πάλης [2] ἐμπείραμος.] ἡ Ῥέα, διὰ τὸ καταπαλαῖσαι Εὐρυνόμην, καὶ ταρταρῶσαι. Τὰ δὲ τῆς τεκνοφαγίας τοῦ Κρόνου, καὶ ἡ κρυφία γονὴ τοῦ Διὸς, καὶ ὁ καταποθεὶς ὑπὸ Κρόνου ἀντ᾽ αὐτοῦ λίθος, πάντα δῆλα καὶ ἰδιώταις.

1200. Οὐδ᾽ ἐπίανε βορᾷ.] * ἡ σύνταξις· * οὐδ᾽ ἐπίανε καὶ ἐκόρεσε τὴν νηδὺν ἐν τῇ βορᾷ ὁ ὠμόφρων Κένταυρος, ἤγουν ὁ Κρόνος, ὁ γεγὼς καὶ γενόμενος τύμβος τῆς σπορᾶς τῶν τέκνων αὐτοῦ. [3] πῶς δὲ οὐκ ἐπίανε τὴν νηδὺν; ἐκλάψας καὶ καταπιὼν, κυρίως δὲ ἡ λέξις ἐπὶ τῶν κυνῶν· τίνα καταπιὼν; τὸν [4] ἀντίποινον τοῦ Διὸς πέτρον, εἱλημένον καὶ ἐντετυλιγμένον ἐν σπαργάνοις γυιοκόλλοις, ἤτοι τοῖς κολλῶσι καὶ σφίγγουσι τὰ γυῖα, καὶ τὰ μέλη· [5] τὰ γὰρ σπάργανα καὶ συγκολλᾷ, καὶ σφίγγει τὰ τῶν βρεφῶν μέλη. Τύμβον καὶ τάφον σπορᾶς καὶ τῶν τέκνων τὸν Κρόνον λέγει, ὅτι τοὺς ἰδίους παῖδας ἤσθιε, μαθὼν ἐκ τῆς μητρὸς αὐτοῦ Γῆς, καὶ τοῦ Οὐρανοῦ τοῦ ἰδίου πατρὸς, ὅτι ὑπό τινος τῶν αὐτοῦ παίδων τῆς βασιλείας ἐκπεσεῖται. Κένταυρον δὲ τὸν αὐτὸν καλεῖ, ὅτι ἵππῳ ὁμοιωθεὶς, ἐμίγη Φιλύρᾳ, τῇ Ὠκεανοῦ θυγατρὶ, καὶ ἐγέννησε Χείρωνα τὸν Κένταυρον· μόνος γὰρ τῶν Κενταύρων ὁ Χείρων ἐκ Κρόνου ἐγεννήθη, οἱ δὲ λοιποὶ πάντες Κένταυροι παῖδες εἰσὶν Ἰξίονος καὶ Νεφέλης. Νήσους δὲ Μακάρων, οὗτος τὰς Θήβας λέγει, πλανηθεὶς ἐξ οὗ εἴπομεν ἐπιγράμματος. εἶπον δὲ ἀνωτέρω, ὅτι καὶ ὁ τὸ ἐπίγραμμα γράψας οἶδε μὴ εἶναι τὰς Θήβας νήσους Μακάρων, κωμικῶς δὲ τοῦτο φησίν· αἱ γὰρ Μακάρων νῆσοι παρ᾽ Ὠκεανὸν βαθυδίνην, κατά τε Ἡσίοδον, Ὅμηρον, Εὐριπίδην, Πλούταρχον, Δίωνα, Περιήγητον, Φιλόστρατον, καὶ λοιπούς· περὶ γὰρ τὸν Ὠκεανὸν ἐστὶν ἡ Βρεττανία νῆσος, μεταξὺ τῆς τε ἐν δύσει κειμένης Βρεττανίας, καὶ Θούλης τῆς πρὸς ἀνατολήν. λέγουσι δὲ τὰς τῶν ἀποθνησκόντων ψυχὰς ἐκεῖσε διακομίζεσθαι· παρὰ γὰρ τὴν ἀκτὴν τοῦ Ὠκεανοῦ, τοῦ πρὸς τὴν Βρεττανίαν ταύτην νῆσον, ἰχθυοθῆραι ἄνθρωποι κατῴκησαν, ὑπήκοοι μὲν Φράγγοις, φόρον δὲ μὴ τελοῦντες αὐτοῖς, διὰ τὸ διαπέμπειν τὰς τῶν τελευτώντων ψυχὰς, ὥς φασιν. οὗτοι γὰρ ἀπελθόντες [6] ἐν ταῖς τῶν ἑαυτῶν οἰκίαις περὶ ἑσπέραν καθεύδουσιν· ἀρασσομένων δὲ μετὰ μικρὸν αἰσθάνονται τῶν θυρῶν, καὶ φωνῆς ἀκούουσιν ἐπὶ τὸ ἔργον καλούσης αὐτούς· ἀναστάντες δὲ, πρὸς τὸν αἰγιαλὸν βαδίζουσιν, οὐκ εἰδότες ποία ἀνάγκη αὐτοὺς ἀνάγει. ὁρῶσι δὲ ἀκάτους παρεσκευασμένας, ἀλλ᾽ οὐ τὰς αὐτῶν, κενὰς μέντοι ἀνθρώπων, ἐν αἷς εἰσελθόντες κωπηλατοῦσι, καὶ αἰσθάνονται βάρους τῶν πλοίων, ὡς ἐξ ἐπιβατῶν, οὐδένα δὲ ὁρῶσι. ῥοπῇ δὲ μιᾷ κατάγουσιν εἰς τὴν Βρεττανίαν νῆσον, μόλις ὅτε χρῶνται ταῖς ἰδίαις ναυσὶ νυχθημέρῳ καταίρειν δυνάμενοι· καταίραντες δὲ πρὸς τὴν νῆσον, πάλιν οὐδένα ὁρῶσι, φωνῆς δὲ ἀκούουσι τῆς δῆθεν ὑποδεχομένης τοὺς αὐτῶν ἐπιβάτας, ἀπαριθμούντων αὐτοὺς καὶ πατρόθεν καὶ μητρόθεν, ὅτι δὲ καὶ ἐξ ἀξίας, καὶ τέχνης, καὶ ὀνόματος τὸν καθ᾽ ἕνα καλούντων. οἱ δὲ τοῦτον δῆθεν ἀποφορτισάμενοι, πάλιν ἐλαφροτέροις τοῖς σκάφεσι μιᾷ ῥοπῇ πρὸς τὰς [7] οἰκίας αὐτῶν ὑποστρέφουσιν. ἐκ τούτου πολλοῖς ἔδοξεν εἶναι τὰς Μακάρων νήσους ἐκεῖσε, καὶ τοὺς ἀποβιώσαντας ἐκεῖσε διαπεραιοῦσθαι.

1206. Ὠγύγου σπαρτὸς λεὼς.] Ὤγυγος, ἀρχαῖος βασιλεὺς Θηβῶν, ἀφ᾽ οὗ καὶ Ὠγύγιαι πύλαι ἐν Θήβαις· ἐκ τούτου δὲ καὶ πᾶν τὸ ἀρχαῖον Ὠγύγιον φασὶ, διὰ τὸ πολὺ [8] αὐτὸν γενέσθαι ἀρχαιότατον. ὁ δὲ Ὤγυγος υἱὸς ἦν Ποσειδῶνος καὶ [9] Ἀλίστρας. Λῦκος δὲ ἐν τῷ περὶ Θηβῶν ἱστορεῖ. „Μετὰ τὸν
„ κατὰ Δευκαλίωνα, Ζεὺς μιγεὶς [10] Ἰοδάμᾳ τῇ Τιθωνοῦ τοῦ
„ Ἀμφικτύονος, γεννᾷ Θήβην, ἣν δίδωσιν Ὠγύγῳ, ἀφ᾽ οὗ
„ Ὠγυγία ἡ Θήβα.” Ἄλλος δὲ πάλιν ἱστορικός λέγει, ὡς Ζεὺς Θήβῃ μιγεὶς Αἴγυπτον γεννᾷ, οὗ θυγάτηρ Κάρχη, ἀφ᾽ ὧν ἥ τε τῆς Αἰγύπτου πόλις Θήβη ἐκλήθη, καὶ ἡ Καρχηδὼν

EMENDATIONES.

* Hoc adjeci ex Bar. & Grav. 1 Πρόσθ᾽ pono, pro πρὸς θ᾽. 2 Ἐμπείραμος, pro ἔμπειρος, ex Bar. Grav. & Lycophronis textu. * Ex MSS. omnibus. 3 Πῶς δὲ οὐκ ἐπίανε τὴν νηδὺν, ἐκλάψας καὶ καταπιών; Impress. sensu repugnante. 4 Ἀντίποινον, pro ἀντίποινα, ex MSS. omnibus. 5 Τὰ γὰρ σπάργανα καὶ συγκολλᾷ, καὶ &c. lego, ope Bar. & Grav. συγκολλᾷ Seld. Τὰ γὰρ σπάργανα, καὶ γυιοκολλᾷ, καὶ &c. Impress. 6 Ἐν ταῖς τῶν ἑαυτῶν οἰκίαις. pro ἐν τῇ αὐτῶν οἰκίᾳ, ex MSS. omnibus. 7 Οἰκίας, pro οἴκους, ex MSS. utroque. 8 Αὐτὸν, pro αὐτὸ, ex Bar. Vult enim Scholiastes vetusta dici Ogygia, eo quod Ogyges sit omnium, quos memorant historiæ, antiquissimus. 9 Ὀγύγης Bar. & Grav. 10 Ἰοδάμᾳ τῇ τοῦ Ἀμφικτύονος γεννᾷ Bar & Grav.

νῆσος.

Χρησμοῖς Ἰατρῦ, Λεψίε, [a] Τερμινθέως,	Oraculis Medici, Lepsii, Terminthei,
Ἐξ [b] Ὀφρυνείων ἠρίων ἀνειρύσας,	Ex Ophryneis ablatum sepulcris
Ἄξει [c] Καλύδνου τύρσιν, Ἀόνων τε γλῶ	Feret Calydni ad mœnia, terramque Aonum
Σωτῆρ', [d] ὅταν κάμνωσιν ὁπλίτῃ στρατῷ	Servatorem, cùm infestabuntur armato exercitu
Πέρθοντι χώραν, Τηνέρε τ' ἀνάκτορα.	Populante regionem, Tenerique oracula.
Κλέος δ' σὸν μέγιστον Ἐκτόρων ἀθανάτοις	Tuum denique nomen maximum, Diis æquale,
Λοιβαῖσι κυδανοῦσιν ἀφθίτοις ἴσον.	Sacrificiis venerabuntur Thebanorum duces.
Ἥξει δὲ Κνωσσὸν, [e] κἀπὶ [f] Γορτύνης δόμους	Veniet etiam Gnosum, & Gortynæ ad ædes
Τοὐμὸν ταλαίνης πῆμα, πᾶς δ' ἀνάστατος	Mea miseræ clades, totaque vastabitur
Ἔσται στρατηγῶν οἶκος· οὐ γὰρ ἥσυχος	Principum domus: inquietus enim

VARIANTES LECTIONES.

a Ταρμυθέως al. Τερμυθέως Bar. b Ὀφρυνείων Seld. c Καλύδνου Bar. eandemque lectionem in Scholiis retinet. d Ὅτ' ἂν Seld. e Κρῆτα Bar. f Al. Γόρτυνος.

τόπος. καὶ ὁ Ὤγυγος Θηβῶν Αἰγυπτίων ἦν βασιλεύς, ὅθεν ὁ Κάδμος ὑπάρχων, ἐλθὼν ἐν Ἑλλάδι, τὰς ἑπταπύλους ἔκλισε, καὶ Ὠγυγίους πύλας ἐκάλεσε, πάντα ποιήσας εἰς ὄνομα τῶν Αἰγυπτίων Θηβῶν. ἄλλοι δὲ ἀπὸ τῆς σφαγιασθείσης ὑπὸ τοῦ Κάδμου βοὸς φασὶ Θήβην τὴν ἑπτάπυλον κληθῆναι· Θήβη γὰρ ἡ βοῦς κατὰ Σύρους. μαρτυρεῖ δὲ σὺν ἄλλοις καὶ ὁ Περιηγητὴς, τὰς Αἰγυπτίας Θήβας λέγων Ὠγυγίας καλεῖσθαι· φησὶ γὰρ οὕτως,

Θήβην Ὠγυγίην, ἑκατόμπυλον, ἔνθα [1] γεγωνὸς
Μέμνων ἀντέλλουσαν ἑὴν ἀσπάζεται [2] Ἠῶ.

ἔτος δὲ ὁ Λυκόφρων τὰς ἑπταπύλους ἀγνοῶν, Ὠγυγίας καλεῖ. Σπαρτοὶ λαοὶ εἰσὶν οἱ Θηβαῖοι· Κάδμος γὰρ ἀνελὼν τὸν Ἄρεος δράκοντα, φύλακα τῆς τῆς Δίρκης ὑδάτων ὑπάρχοντα, ὅτι Σέεσφον ἀνεῖλε καὶ [3] Δηϊλέοντα, φίλους τοῦ Κάδμου, [4] ὕδωρ πρὸς τὰς θυσίας ἀποκομίζοντας, ἀνασπάσας τοὺς ὀδόντας αὐτοῦ, ἔσπειρε, καὶ ἀνεδόθησαν ἔνοπλοι ἄνδρες, ἐξ ὧν, ὥς φασιν, οἱ Θηβαῖοι κατάγονται. ἀλλὰ ταῦτα μυθικά. Παλαίφατος δὲ [5] ὁ Στωϊκὸς, ψυχρῶς μὲν, ὅμως δὲ ἀλληγορικῶς, ὀδόντας ἔχειν ἐλεφάντων τὸν Κάδμον λέγει, ἐλθόντα ἐκ Φοινίκης, καὶ τούτους διασπείραντα συμμαχίαν ἔχειν κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ. Ἀνδροτίων δὲ ὁ ἱστορικὸς μετὰ στρατιᾶς τινων φησὶ τὸν Κάδμον εἰς Θήβας ἐλθεῖν. Ἐγὼ δέ φημι τὸν δράκοντα τοῦτον λῃστὴν εἶναι, ὃ τόπαρχον· ἀντιθέσθαι δὲ ἐλθόντι τῷ Κάδμῳ, καὶ ἀνελεῖν τινας τῶν φίλων αὐτοῦ· ὕστερον δὲ ὁ Κάδμος συμπλακεὶς διαφθαρεὶς, αὐτόν τε κτείνει τὸν δράκοντα, καὶ ἑτέρους τῶν σὺν αὐτῷ, οὓς καὶ ὀδόντας καλεῖ, διὰ τὸ ἀνήλεον εἶναι· πολλοὺς δὲ αὐτῶν καὶ διεσπάρθησαν, ὧν τινας καὶ ἄρχοντας καὶ γαμβροὺς ἐποιήσατο. Ὠγύγου σπαρτὸς λεώς.] ἡ σύνταξις· Ὅτι σε, Ἕκτορα, ἄξει ὁ σπαρτὸς λεὼς τοῦ Ὠγύγου εἰς τὰς Θήβας, τὸν πύργον καὶ τὸ τεῖχος τοῦ Καλύδνου, τὴν γῆν τε τῶν Ἀόνων· ἄξει δὲ πότε; σωτῆρα πότε; ὅταν κάμνωσι πολεμικῷ στρατῷ [6] πορθοῦντι πόλιν καὶ πόλιν. ἄξει δὲ πόθεν; ἀνορύξας καὶ ἑλκύσας σε ἐξ [7] Ὀφρυνοῦ, τόπου Τροίας. ἄξει δὲ πεισθεὶς χρησμοῖς Ἰατροῦ, Λεψίε, Τερμινθέως, ἤτοι τοῦ Ἀπόλλωνος.

1208. Ἐξ Ὀφρυνείων ἠρίων.] Ὀφρυνὸς, τόπος Τροίας, ὅπου ἔκειτο τὰ τοῦ Ἕκτορος ὀστᾶ, ὅθεν οἱ Ἕλληνες χρησμῷ μετενεγκόντες αὐτὰ, ἔθαψαν ἐν Θήβαις ἐπὶ τῆς [8] Οἰδιποδίας κρήνης καλουμένης.

1209. Καλύδνου τύρσιν.] τύρσις, τὸ τεῖχος, ὅτι πρῶτοι Τυρσηνοὶ τειχοποιεῖν ἤρξαντο. Καλύδνου δὲ νῦν τύρσιν τὰς Θήβας λέγει· Κάλυδνος γάρ τις ἐβασίλευσε πρῶτος τῶν Θηβῶν, μεθ' ὃν Ὤγυγος ὅντινα Κάλυδνον καὶ πυργῶσαι τινές φασι τὰς Θήβας τὰς [9] ἑπταπύλους, ὡς μηδὲ τὸν Ὅμηρον ἀγνοηκότες, ὅτι Ζῆθος καὶ Ἀμφίων αὐτὴν ἐτείχισαν. * Ἀόνων.] Ἄονες, ἔθνος Βοιωτῶν. *

1210. Ὁπλίτῃ στρατῷ.] πολέμῳ γὰρ, καὶ λοιμῷ Θηβαῖοι τρυχόμενοι, χρησμῷ τὰ τοῦ Ἕκτορος ὀστᾶ ἐν Θήβαις ἀποκομίσαντες, ἔθαψαν.

1211. Τηνέρε τ' ἀνάκτορα.] τὰ τοῦ Τηνέρου μαντεῖα, καὶ βασίλεια· ὁ δὲ Τήνερος υἱὸς ἦν Ἀπόλλωνος καὶ Μελίας, τῆς Ὠκεανοῦ μὲν θυγατρὸς, Ἰσμηνοῦ δὲ ἀδελφῆς· αὕτη γὰρ ἡ Μελία ὑπ' Ἀπόλλωνος φθαρεῖσα, τὸν Τήνερον τοῦτον γεννᾷ, ᾧ τὴν μαντικὴν Ἀπόλλων χαρίζεται. ἦν δὲ τὸ μαντεῖον αὐτοῦ περὶ τὸν Ἰσμηνὸν, Θηβῶν ποταμόν.

1214. Ἥξει δὲ Κνωσσόν.] [10] δυστυχοῦσι, φησὶ, καὶ οἱ Κρῆτες δι' ἐμέ· Κνωσσὸς γὰρ, πόλις Κρήτης, ὅθεν ἦν καὶ Ταῦρος ὁ στρατηγὸς, ὁ τὴν Εὐρώπην ἁρπάξας, ὁ Κνώσσιος. Γόρτυνος δόμους.] καὶ ἡ Γόρτυνα, πόλις Κρήτης, ὡς καὶ Ὅμηρος φησὶ,

Οἳ Κνωσσόν τ' εἶχον, Γόρτυνά τε τειχιόεσσαν.

καὶ Ξενίων δὲ ἐν τῷ περὶ Κρήτης τὰς ἑκατὸν πόλεις τῆς Κρήτης κατ' ὄνομα λέγει.

1215. Πᾶς δ' ἀνάστατος.] διὰ τὸ συμβὰν ὑπὸ Λεύκου ἐν τοῖς οἴκοις Ἰδομενέως συλληπτικῶς εἶπε, Πᾶς δ' ἀνάστατος ἔσται στρατηγῶν οἶκος.

EMENDATIONES.

1 Γεγωνὸς, pro γεγωνὼς, ex Dionysio v. CCXLIX. sensu & metro id exigentibus. 2 Ἠῶ, pro Ἠώ, ex eodem. 3 Δηϊλέοντα MSS. uterque. 4 Ὕδωρ πρὸς τὰς θυσίας ἀποκομίζοντας, pro ὕδωρ πρὸς τὰς θυγατέρας ἀποκομίζοντας, ope MSS. omnium. Et fertur quidem Cadmi socios aquam libatoriam petentes, à serpente occisos esse. Ovidius initio III. Metamorph consulendus est. 5 Ὁ ἱστορικὸς Bar. & Grav. 6 Πορθοῦντι, pro πορθοῦσι, ex Seld. πορθοῦντες Bar. 7 Ὀφρυνοῦ, pro Ὀφρυοῦ, ex MSS. utroque. 8 Οἰδιποδίας, pro Εἰδιποδίας, ex Seld. ut fons iste sit ab Oedipi nomine dictus. 9 Ἑπταπύλους, pro ἑπταπύλας, ex MSS. omnibus Atque eadem emendatio haud multo ante facta est. * Hæc emendavi ex penu Barocc deprompta. Quin & similia habet Grav. 10 Mallem δυστυχήσουσι cum Bar. & Grav.

Πορκεὺς δίκωπον σέλμα ναυστολῶν [a] ἐλᾷ,	Piscator biremem aget navigans ratem,
[b] Λεῦκον στρεβλώσων, φύλακα [c] τῆς μοναρχίας,	Leucum agitaturus, regni custodem,
Ψυδραῖσί τ' ἔχθραν μηχαναῖς διαπλέκων·	Fallacibusque odium dolis conciliaturus:
Ὃς οὔτε τέκνων [d] φείσετ', οὔτε συγγάμου	Qui neque liberis parcet, neque conjugi
Μήδας δάμαρτος, ἠγριωμένος [e] φρένας,	Medæ uxori, exacerbatus animum,
Οὐ Κλεισιθήρας θυγατρός, ἧς πατὴρ [f] λέχος	Neque Clisitheræ filiæ, cujus pater torum
Θρεπτῷ δράκοντι συγκαταινέσει πικρόν·	Alumno draconi spondebit acerbum:
Πάντας δ' ἀνάγνοις χερσὶν ἐν ναῷ κτενεῖ	Sed omnes impiis manibus in Oncææ foveæ
Λώβαισιν αἰκισθέντας Ὀγκαίας [g] βόθρου.	Templo occidet, contumeliis affectos.
Γένους δὲ [h] πάππων τῶν ἐμῶν αὖθις κλέος	Gloriam porrò generis majorum meorum
Μέγιστον αὐξήσουσιν ἀμναμοί ποτε,	Maximam rursus augebunt olim posteri,

VARIANTES LECTIONES

a Ἑλᾷ cum spiritu aspero Bar. b Al. Λεῦκον, de qua lectione dictum supra. c Τῆς non agnoscit Bar. d Al. φείσετ'. e Al. φρένα. f Λάχος Sold. g Al. βόθρου. h Πάππων Sold.

1217. Πορκεύς.] ὁ ἁλιεύς· νῦν δὲ τὸν Ναύπλιον λέγει, ἐπειδὴ εἰς ἁλιευτικὸν σκάφος ἐμβὰς ἐπλει, πλανῶν, ὡς προείρηται, [1] εἰς τὰς ἀλιτηρίους σαγήνας ἐμβαλὼν ... τὰς γυναῖκας τῶν ἐν Τροίᾳ ὄντων Ἑλλήνων. Ἢ οὕτως· [2] Καθάπερ ὁ ἁλιεὺς τοὺς ἰχθῦς πλανῶν ἀγρεύει, οὕτως καὶ Ναύπλιος τὰς τῶν Ἑλλήνων γυναῖκας ἀγρεύσας διὰ δόλου, ἐποίησε μοιχευθῆναι· διὰ τοῦτο καλῶς αὐτὸν παρείκασε πορκεῖ. Λεῦκος τὸν χαλκοῦ [3] Τάλω τοῦ Κρητὸς ἦν υἱὸς, ᾧτινι Ἰδομενεὺς τῆς βασιλείας καὶ τὸν οἶκον παρέθετο, ἐπὶ τῆς Τροίας ἀπαίρων. τοῦτον ἀνέπεισε Ναύπλιος ἐπιθέσθαι τῇ βασιλείᾳ τῆς Ἰδομενέως, ὃς τὴν γυναῖκα Ἰδομενέως ἀνεῖλε, Μήδαν καλουμένην, καὶ τὴν θυγατέρα Κλεισιθήραν, ἣν ὑπέσχετο δώσειν αὐτῷ γυναῖκα, ἐπειδὰν ἀπὸ τῆς Τροίας ὑποστρέψῃ· ἀνεῖλε δὲ καὶ τοὺς παῖδας αὐτῆς, Ἴφικλον, καὶ Λεῦκον. ἐπανελθὼν δ' Ἰδομενεὺς ἐκ Τροίας, ἐξήλασεν αὐτὸν τῆς ὑπαρχῆς Λεῦκον. ἦν δὲ ὁ Λεῦκος παῖς ὢν ἐξετέθη, ὃν λαβὼν Ἰδομενεὺς, ἔθρεψε καθ' ἑαυτὸν, διὸ καὶ θρεπτὸν δράκοντα τοῦτον καλεῖ.

1222. Οὐ Κλεισιθήρας.] συνέθετο γὰρ Ἰδομενεὺς Λεύκῳ, εἰ ἐπανέλθοι τῆς Τροίας, δοῦναι πρὸς γάμον Κλεισιθήραν τὴν θυγατέρα.

1225. Ὀγκαίας [4] βόθρου.] τῆς Ἐριννυακῆς, ἤτοι τῆς Δήμητρος Ἐριννύος γὰρ ἡ Δημήτηρ ἐν Ὄγκαις, πόλει τῆς Ἀρκαδίας, τιμᾶται· ὡς καὶ Καλλίμαχος.

[5] Τὴν μὲν ὅ γ' ἱδρύσατο Ἐριννύος [6] Τιλφωσσαίῃ.

εἰσὶ καὶ Ὄγκαι, κώμη Θηβῶν, οὗ Κάδμος Ἀθηνᾶς ἄγαλμα ἱδρύσατο.

1226. Γένους δὲ πάππων.] [7] περὶ Ῥωμαίων ἐνταῦθα διαλαμβάνει, τὰ δὲ λοιπὰ τῆς χελιδόνος γελοῖα. [8] φασὶ γὰρ Λυκόφρονος ἑτέρου εἶναι τὸ ποίημα, ὁ τὴν γράψαντος, τὴν Τρῳάδα· συνῴδης γὰρ ὢν τῷ Φιλαδέλφῳ, οὐκ ἂν περὶ Ῥωμαίων διελέγετο. τοῦτο δ' οὐ δύναμαι νοῆσαι, πῶς οὐκ ἔστι τοῦ γράψαντος αὐτό· οὕτως γὰρ ὤφειλον εἰπεῖν, Οὐκ ἔστι τοῦ λεγομένου γράψαντος αὐτὸ Λυκόφρονος, ἀλλ' ἑτέρου· καὶ ἄλλην δὲ φλυαρίαν, ἢ μᾶλλον φλυαρίας φασὶ, Ῥῶμον καὶ Ῥωμύλον ἀπὸ Κρείσσης, τὴν Πριάμου, γεννηθῆναι λέγοντες, πολλαῖς πάνυ γενεαῖς ὑστέρους γενομένους, ὡς γράφουσιν ἀκριβέστερον περὶ τούτων δεῖξαι· καὶ μία μὲν αὕτη φλυαρία. δευτέρα δὲ, ὅτι μετὰ τῶν Ἕκτορος παίδων, Ἀστυάνακτος τοῦ ἀναιρεθέντος ἐν Τροίᾳ, καὶ [9] Σαπφνίου, τὴν Ῥώμην ἔκτισαν. Ἀμναμοὶ δὲ, οἱ ἀπόγονοι, Κυρηναϊκῶς· καὶ γὰρ ἄμναμοι, οἱ τῶν ἀμνῶν παῖδες. ἡ σύνταξις· Οἱ δὲ ἄμναμοι καὶ ἀπόγονοι τῶν ἡμῶν μου αὐξήσουσί ποτε αὖθις καὶ ὕστερον μέγιστον κλέος τῶν ἐμῶν πάππων, τουτέστι τὸ προγονικόν μου. τί δὲ ποιήσαντες αὐξήσουσι τὸ κλέος; ἄραντες τὸ πρωτόλειον ξίφος ἐν ταῖς αἰχμαῖς, καὶ γῆς καὶ θαλάσσης λαβόντες σκῆπτρα καὶ μοναρχίας. Οὐδ' ἀμνημονοῦντα τὴν δόξαν σου καλυπτόμενον [10] μαρανθεῖσαν τῷ ζόφῳ, ὦ ἀθλία πατρὶς Τροία· τίς γὰρ ἐμὸς συγγενὴς, ἤτοι ὁ Αἰνείας, ὁ γόνος τῆς Καστνίας, τῆς [10] Χοιράδος τε, ἤτοι τῆς Ἀφροδίτης, ὁ ἄριστος ἐν ταῖς βουλαῖς, οὐδὲ μεμπτὸς ἐν ταῖς μάχαις, τοιούτους [11] λείψει δύο νέους λέοντας, ἔξοχον καὶ ὑπερέχον γένος ἐν τῇ Ῥώμῃ.

EMENDATIONES.

1 Εἰς τὰς ἀλιτηρίους σαγήνας, pro εἰς τὴν ἀλιτήριον. σαγήνας, ope MSS. omnium. 2 Καθάπερ, pro καθ' ἅπερ. ex Sold. 3 Τάλω pro τάλω, ex MSS omnibus. 4 Βόθρου. pro βόθρου. ex MSS. utroque. 5 Τὸν Bar. & Grav. 6 Τιλφωσσαίῃ. pro Τιλφωσσαίῃ, ex Sold Τιλφωσσαίῃ Bar. Quod autem in Tilphusso, Arcadiæ urbe, colatur Ceres, alibi in Commentariis dictum. Verum eruditissimus Bentlejus in Fragment. Callimachi p. 388. reposuit Τιλφωσσαίῃ. Tilphussa enim (uti à nobis etiam observatum ad v. 561) in Bœotia est: sed hic urbs quædam Arcadiæ memoratur, ut ipse Tzetzes testatur: ea autem Τίλφωσα dicta est. Vide Stephanum. Quin & ipse Lycophron hanc emendationem firmavit v. 1040. ubi eandem Erinnyem describit:

Ἀκτὴ λάτρις Τάρβητος Τιλφωσσία,

Λάδωνος ἀμφὶ ῥεῖθρα ναίουσα σκύλαξ.

7 Περὶ, pro παρὰ, ex Grav. 8 Φασὶ γὰρ Λυκόφρονος ἑτέρου εἶναι τὸ ποίημα ὁ τὴν γράψαντος τὴν Τρῳάδα, antehac legebatur. Sed ibi interpunctionis defectu sententia corrumpitur: Vult enim Scholiastes, dicere quoldam, Poema, Troada, sc. Cassandram, quod ea virgo Trojana fuit, esse Lycophronis alterius, non autem ejus qui scripsit. 9 Σαπφνίου Bar. & Grav. 10 Μαρανθεῖσαν, pro μαρανθεῖσα, ex Grav. Confer Lycophronis textum v. 1236. 11 Χοιράδος, pro χοιράδος, ex MSS. utroque, & ipso Lycophrone. 12 Λείψει, pro λέγει, ex MSS. omnibus, & Lycophrone.

1232. Τοίους

Αἰχμαῖς τὸ πρωτόλειον [a] ἄραντες [b] στέφος,	Hastis erecta primarum corona partium,
Γῆς καὶ θαλάσσης σκῆπτρα καὶ μοναρχίαν	Terræ marisque sceptrum & imperium
Λαβόντες· οὐδ' ἄμνηστον, ἀθλία πατρίς,	Adepti: neque obscuram, infelix Patria,
Κῦδος μαρανθὲν [c] ἐγκατακρύψεις ζόφῳ·	Gloriam marcescentem tenebris occultabis:
Τοιοὺς δ' ἐμός τις σύγγονος λείψει [d] διπλοῦς	Tales meus quidam Consanguineus relinquet duos
Σκύμνους λέοντας, ἔξοχον [e] Ῥώμης γένος,	Leunculos, eximiam Romæ stirpem,

VARIANTES LECTIONES.

a Al. ἄροντες. b Κλέος Bar. c Ἐγκαταβαρύψει MSS. uterque. d Δισσοὺς MSS. uterque. e Ῥώμῃ MSS. uterque, & alii.

1232. Τοίους δ' ἐμός τις σύγγονος.] ὁ Αἰνείας. [1] Τρὼς γὰρ γεννᾷ Ἶλον, Ἀσσάρακον, καὶ Γανυμήδην, ὃν μυθικῶς ὁ Ζεὺς ἁρπάζει. Ἶλος δὲ γεννᾷ Λαομέδοντα· Λαομέδων δὲ Πρίαμον· Πρίαμος, Εὔδορα, Κασσάνδραν, Κρέουσαν καὶ λοιπούς. Ἀσσάρακος δὲ πάλιν γεννᾷ Κάπυν· Κάπυς τὸν Ἀγχίσην· Ἀγχίσης Αἰνείαν, οὕτως ἦν Αἰνείας συγγενὴς Κασσάνδρας. ἦν δὲ καὶ γαμβρὸς αὐτῆς ἐπὶ Κρεούσῃ τῇ ταύτης ἀδελφῇ, ἐξ ἧς Κρεούσης ἔσχε παῖδα Ἀσκάνιον. ὕστερον δὲ, τῆς Τροίας πορθουμένης, ἐλευθερωθεὶς ὑφ' Ἑλλήνων αὐτὸς ὁ Αἰνείας, ἢ αἰχμάλωτος ἀχθεὶς ὑπὸ Νεοπτολέμου, ὥς φησιν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκὼς, καὶ μετὰ τὴν ὑπὸ Ὀρέστου ἐν Δελφοῖς τοῦ Νεοπτολέμου ἀναίρεσιν ἐλευθερωθεὶς, οἰκεῖ [2] πρῶτον τὰ περὶ Ραίκηλον καὶ Ἀλμωπίαν, πόλεις Μακεδονίας, πλησίον Κισσοῦ ὄρους κειμένας· τὸ δὲ Ραίκηλον ἀπὸ τούτου Αἶνος ἐκλήθη. αὐτὸς δὲ ἀπὸ Μακεδονίας ἦλθεν εἰς Ἰταλίαν, ἣ πρὶν Ἀργεσσα ἐκαλεῖτο· εἶτα Σατυρρία ἀπὸ τοῦ Κρόνου· Σατυρῖνος γὰρ, ὁ Κρόνος παρὰ Ῥωμαίοις· εἶτα ἀπὸ τινος Αὔσονος, Αὐσονία· εἶτα Τυρσηνία· εἶτα ἀπὸ Ἰταλοῦ, ἢ ἀφ' ἑνὸς ταύρου τῶν Γηρυόνου ἀγελαίων παρὰ Ἡρακλέους, καὶ ἀπὸ Ῥηγίου διανηξαμένου εἰς Σικελίαν, [3] εἰς πεδίον Ἔρυκος, Ἐλύμων βασιλέως, υἱοῦ δὲ Ποσειδῶνος, Ἰταλία ἡ χώρα ἐκλήθη· ἰταλὸν γὰρ Τυρρηνοὶ τὸν ταῦρον καλοῦσιν. ὅτε οὖν Ἰταλία ἡ χώρα ἐκλήθη, ὡς πρῶτος Πῖκος ἐβασίλευσεν, εἶτα υἱὸς αὐτοῦ Φαῦνος. [4] ὅτε καὶ Ἡρακλῆς ἐκεῖνος μετὰ τῶν λοιπῶν τῶν Γηρυόνου βοῶν παρεγένετο, καὶ γεννᾷ Λατῖνον ἐκ τῆς Φαύνου γυναικός, ὃς ἐβασίλευσε τῶν ἐκεῖ, καὶ ἀπ' αὐτοῦ Λατῖνοι πάντες ἐκλήθησαν. πεντηκοστῷ δὲ πέμπτῳ ἔτει ἀφ' Ἡρακλέους ἔτος ὁ Αἰνείας μετὰ τὴν τῆς Τροίας ἅλωσιν εἰς Ἰταλίαν, ὡς ἔφημεν, καὶ Λατίνους παραγίνεται· περὶ τὸ Λαύρεντον δὲ προσορμίσας, τὸ καὶ Τροίαν καλούμενον, παρὰ [5] Κίον ποταμόν, ἔχων καὶ τὸν ἐκ Κρεούσης υἱὸν αὐτοῦ Ἀσκάνιον, ὃ [6] Ἶλον, ὅτε φαγόντων τῶν μετ' αὐτοῦ τὰς τραπέζας, σελίνινας οὔσας, ἢ ἐκ τῶν σκληροτέρων μερῶν τῶν ἄρτων, (ὁ γὰρ ἔχον τραπέζας) ὅτε δὲ καὶ χοίρου λευκῆς ἀπὸ τοῦ πλοίου αὐτοῦ ἀποσκιρτησάσης ἐπὶ τὸ ἀπ' αὐτῆς Ἀλβανὸν ὄρος, καὶ τριάκοντα τεκούσης, ὅπερ ἐδήλουν, ὅτι τριακοστῷ ἔτει οἱ παῖδες αὐτοῦ καὶ γῆν καὶ κράτος ἄμεινον ἕξουσιν, [7] ἐπαύθη τῆς ἀλητείας, ἐκ χρησμοῦ τοῦτο προεγνωκώς· θύσας δὲ καὶ τὴν χοῖρον, παρεσκευάζετο κτίζειν πόλιν· ὁ δὲ Λατῖνος τοῦτον ἐκ εἴα· ἡττηθεὶς δὲ πολέμῳ, δίδωσιν Αἰνείᾳ πρὸς γάμον Λαβινίαν τὴν αὐτοῦ θυγατέρα· Αἰνείας δὲ κτίσας πόλιν, Λαβίνιον ὠνόμασε. Λατίνου δὲ, καὶ Τύρνου, τοῦ Ῥουτούλων βασιλέως, πολέμῳ ὑπ' ἀλλήλων ἀποθανόντων, Αἰνείας ἐβασίλευσεν. ἀναιρεθέντος δὲ καὶ Αἰνείου ἐν Λαυρέντῳ πολέμῳ ὑπὸ τῶν αὐτῶν Ῥουτούλων καὶ Μεζεντίου τοῦ Τυρρηνοῦ, ἐγκύου οὔσης τῆς Αἰνείου γυναικὸς Λαβινίας τὸν Σίλβιον, Ἀσκάνιος, ὁ ἐκ Κρεούσης παῖς, βασιλεύει, ὃς καὶ τὸν [8] Μεζέντιον πολέμῳ συμβαλόντα νικᾷ τελέως, μὴ δεχόμενον τὰς πρεσβείας, ἀλλὰ τὰ τῶν Λατίνων πάντα εἰς ἐτήσιον δασμὸν ζητοῦντα. αὐξηθέντες δὲ οἱ Λατῖνοι, ἐπεὶ καὶ τὸ λ' ἔτος ἀνέστη τὸ τῆς χοίρου αἴνιγμα, Λαβινίας μὲν ὑπερεφρόνησαν, [9] Ἄλβαν δὲ Λόγγαν ἑτέραν πόλιν ἔκτισαν ἀπὸ τῆς χοίρου, τουτέστι λευκὴν μακράν, καὶ τὸ ἐκεῖσε ὄρος Ἀλβανὸν ἐκάλεσαν ὁμοίως. τὰ δὲ ἐκ Τροίας ἀγάλματα μόνα πρὸς τὸ [10] Λαβίνιον ὑπεστράφησαν. μετὰ δὲ Ἀσκανίου τελευτὴν, οὐχ ὁ Ἀσκανίου παῖς Ἴουλος ἐβασίλευσεν, ἀλλ' ὁ ἐκ Λαβινίας Αἰνείου υἱὸς Σίλβιος, ἢ κατά τινας Ἀσκανίου υἱὸς Σίλβιος, Σιλβίου πάλιν ἄλλος Αἰνείας, οὗ Λατῖνος, [11] οὗ Κάπυς· Κάπυος δὲ παῖς Τιβερῖνος, οὗ Ἀμούλιος, οὗ Ἀβεντῖνος. μέχρι τούτου τὰ περὶ Ἄλβην καὶ Ἀλβανῶν, τὰ δὲ περὶ Ῥώμης [12] ἐντεῦθεν· Ἀβεντῖνος γεννᾷ Νομήτορα καὶ Ἀμούλιον, * ἢ τὸν Πρόκαν, τοῦ Πρόκα δὲ τούτου λέγουσι παῖδας τούτους τὸν Νομήτορα, καὶ Ἀμούλιον. * βασιλεύοντα δὲ τὸν Νομήτορα ὁ Ἀμούλιος ἐξήλασε, καὶ [13] Αἰγέστην, τὸν Νομήτορος υἱὸν, ἐν κυνηγεσίῳ ἀναιρεῖ· τὴν δὲ ἀδελφὴν Αἰγέστου, θυγατέρα δὲ τοῦ προεξελαθέντος Νομήτορος Σιλβίαν, ἢ Ῥέαν [14] Ἰλίαν, ἱέρειαν τῆς θεᾶς Ἑστίας ποιεῖ, ὡς ἂν παρθένος διαμείνῃ. ἐδεδίει γάρ τινα χρησμὸν, λέγοντα ὑπὸ τῶν Νομήτορος παίδων αὐτὸν ἀναιρεθῆναι. [15] διά τοι τοῦτο τὸν μὲν Αἰγέστην ἀνεῖλε· τὴν δὲ, ἱέρειαν τῆς Ἑστίας ἐποίησεν, ὅπως παρθένος καὶ ἄπαις διαμείνῃ. ἡ δὲ ἐν Ἄρεος ἄλσει ὑδρευομένη, ἔγκυος γίνεται, καὶ γεννᾷ Ῥωμύλον, καὶ [16] Ῥῶμον· καὶ τὴν μὲν ἐξαιτοῦσα μὴ ἀποθανεῖν ἡ τοῦ Ἀμουλίου θυγάτηρ· τὰ δὲ βρέφη Φαιστύλῳ ποιμένι, Λαυρεντίας ἀνδρί, ἔδωκε ῥῖψαι περὶ τὸν Τίβεριν ποταμόν, ἃ ἡ τότε γυνὴ λαβοῦσα, ἀνέθρεψεν· ἔτυχε γὰρ αὐτὴν τότε τεκεῖν βρέφος τεθνεός. αὐξηθέντες δὲ ὁ Ῥωμύλος καὶ Ῥῶμος, ἐποίμαινον κατὰ τοὺς Ἀμουλίου ἀγρούς· [17] ἀνελόντες δὲ τινας τῶν τοῦ πάππου Νομήτορος ποιμένων, ἐπιτηροῦντο. κα-

EMENDATIONES.

1 Τρὼς ὧν γὰρ Impress. Ego ὧν delevi, ut à filo orationis alienum, nixus auctoritate MSS. omnium. 2 Πρῶτον, pro πρῶτος, ex MSS. omnibus. 3 Εἰς πεδίον Ἔρυκος, Ἐλύμων βασιλέως, υἱοῦ δὲ Ποσειδ. lego cum Seld. εἰς πεδίον Ἔρυκος, ἐκλήθη βασιλέως, υἱοῦ δὲ Ποσειδ. Impress. corrupte. 4 Ὅτι, pro ὅτε, ex MSS. omnibus. 5 Τυβέριον Bar. & Grav. 6 Ἶλον pro Ἴλιον, ex MSS. omnibus. Ilio enim urbi, at viro nomen fuit Ilo. 7 Ἐπαύθη τῆς ἀλητείας lego cum Seld. ἐπαύθη τῆς ἄλης Bar. & Grav. ἐπ' αὐτῆς τῆς ἀληθείας Impress. corruptissime. 8 Μεζέντιον Bar. Caterum huic viro nomen erat Mezentio, ut ex Virgilio satis notum. 9 Ἄλβαν δὲ ἢ Λόγγαν ἑτέραν ἔκτισαν Impress. Grav. & Bar. nisi quod hi pro Ἀλβανὸν, habeant Ἄλβαν. Ego legendum puto Ἄλβαν δὲ Λόγγαν ἑτέραν πόλιν ἔκτισαν, cum Seld. cui enim potest esse ignotum urbem ab Æneæ posteris, postquam Lavinium deseruissent, conditam Albam Longam dictam esse? 10 Post Λαβίνιον, πάντες addit Seld. Οὐ Bar. & Grav. 11 Οὗ Κάπυς Κάπυος, pro τὸ Κάπυς, Κάπυδος ex Bar. & Grav. 12 Ἐντεῦθεν, pro ἐνθάδε, ex MSS. omnibus. * Hæc adjeci ex Seld. 13 Αἰγέστην Bar. Grav. & paullo post. Αἰγέστου Bar. 14 Ἰλίαν MSS. uterque. 15 Διά τοι τοῦτο, pro διά τι τοῦτο, ex Bar. & Grav. 16 Ῥῶμον, pro Ἀρίμον, ex MSS. omnibus; nam Græci nonnulli Remum, Romuli fratrem, appellare solent Romum, quod facit etiam Scholiastes noster paullo infra. 17 Ἀνελόντες, pro ἀνελθόντες, ex Seld.

Ο Καστνίας τε, τῆς [a] τε [b] Χειράδος γόνος,	Castniæ filius, & Choeradis,
Βουλαῖς ἄριστος, οὐδ' ὀνοστὸς ἐν μάχαις·	Consilio optimus, nec ineptus bello :
Ος πρῶτα μὲν [c] Ῥαίκηλον οἰκήσει [d] μολὼν	Qui primum Rhæcelum veniens, habitabit
[e] Κισσοῦ παρ' αἰπὺν πρῶνα, καὶ Λαφυστίας	Apud altum Cissi montem, & Laphystias
Κερασφόρους γυναῖκας· ἐκ δ' [f] Αλμωνίας	Cornigeras mulieres:ex Halmopia verò
[g] Πάλιν πλανήτην δέξεται Τυρσηνία,	Rursus erronem excipiet Tyrrhenia,
[h] Λυγκεύς τε θερμὸν ῥεῖθρον ἐκβράσσων ποτῶν,	Lynceusque calidum ejiciens laticum flumen,
Καὶ Πῖσ', [i] Αγγύλλης θ' αἱ [k] πολύῤῥηνοι νάπαι.	Et Pisa, saltusque Agyllæ pecorosi.
Σὺν [l] δέ σφι μίξει φίλιον ἐχθρὸς ὢν [m] στρατὸν,	Cum illo deinde junget amicum inimicus exercitum,
Ορκοις κρατήσας καὶ λιταῖς γουνασμάτων,	Juramentis adigens & precibus geniculatis,
[n] Νάνος, πλάναισι πάντ' [o] ἐρευνήσας μυχὸν	Nanus,erroribus omnes perscrutatus angulos
Αλός τε, καὶ γῆς· σὺν δὲ δίπτυχοι τόκοι	Maris,terræque : simul quoque gemini filii
Μυσῶν ἄνακτος, οὗ ποτ' Οἰκουρὸς δόρυ	Mysorum regis, (cujus aliquando Latitans hastam

VARIANTES LECTIONES.

a Τε non agnoscit Bar. b Al. Χοιράδος. c Al. Ῥάκηλον. d Μολὼν Sold. e Κίσσου Bar. aliique. f Αλμωπίας legendum judicavit Guil. Canterus, cujus Annotationes videsis. g Πάλιν πλανήτην al. h Λιγγεὺς Sold. Λυγκεὺς al. i Ἀγύλλης Sold. aliique. Ἀγύλλης al. Ἀγύλλας al. k Πολύῤῥηνοι Bar. l Al. δέ σφι μίξει. m Στρατὸν Bar. n Νάνος Bar. aliique. o Al. ἐρευνήσας.

τιμηθέντος δὲ τοῦ Ῥώμου, δραμὼν ὁ Ῥωμύλος πρὸς Φαιστύλον λέγει, καὶ ὃς δραμὼν, πρὸς Νομήτορι πάντα διηγεῖται· τέλος ἔγνω Νομήτωρ τῆς θυγατρὸς αὐτοῦ παῖδας ὄντας αὐτούς. οἱ δὲ [1] συναθροισθέντων πολλῶν ἀναιροῦσι τὸν Ἀμούλιον, τῷ δὲ Νομήτορι πάππῳ αὐτῶν τὴν βασιλείαν τῆς Ἄλβης παρασχόντες, [2] αὐτοὶ τὴν Ῥώμην κτίζειν ἀπήρξαντο, ιη΄ ἔτη τῆς Ῥωμύλου ἡλικίας. περὶ δὲ τῆς μεγάλης ταύτης Ῥώμης, ἣν ἔκτισε Ῥωμύλος περὶ τὴν Φαιστύλου οἰκίαν ἐν ὄρει Παλατίῳ, [*] ἑτέρα [*] τετράγωνος ἐκτίσθη Ῥώμη [3] παρὰ Ῥώμου, ἢ Ῥώμη παλαιοτέρα τούτων.

1236. Ραίκηλον, καὶ τὰ λοιπὰ, πλατύτερον ἐν τῇ ἱστορίᾳ ἐγράφη. Ραίκηλος δὲ, Μακεδόνων πόλις. Κίσσος δὲ, ὄρος Μακεδονίας, ἔνθα ὁ Αἰνείας μετὰ τὴν ἅλωσιν τῆς Τροίας ᾤκησε, καὶ ἀφ' ἑαυτοῦ Αἶνον προσηγόρευσεν. Αλμώνιον δὲ, πόλις Μακεδονίας· ἀπὸ δὲ Μακεδονίας ἦλθεν ὁ Αἰνείας, ἐκφυγὼν τὸν φόνον. Λαφυστίας, ὁ Διόνυσος, ἀπὸ Λαφυστίου, ὄρους Βοιωτίας· ὅθεν Λαφύστιαι λέγονται αἱ ἐν Μακεδονίᾳ Βάκχαι, αἳ καὶ Μιμαλλόνες ἐκαλοῦντο, διὰ τὸ μιμεῖσθαι αὐτὰς τὸν Διόνυσον· κεραλοφοροῦσι γὰρ καὶ αὗται κατὰ μίμησιν Διονύσου· ταυροκέφαλος γὰρ φαντάζεται καὶ ζωγραφεῖται, ὡς καὶ Εὐριπίδης,

[4] Καί σῷ κέρατι κρατὶ περιεστεφανωκέναι.

κεραλοφόρους δ' αὐτὰς ἔχειν, ἐπειδὴ ὁ οἶνος πινόμενος πολὺς ἄνδρας ἐκμαίνει, πρὸς τὰς ἑτέρων γυναῖκας εἰσέρχεσθαι· τὰς δὲ γυναῖκας τὰς φιλοίνους οἱ ἄνδρες γνωρίζοντες, ἐπειδὰν εὕρωσι κοριδοῦσας, συνίασι μετ' αὐτῶν. ταυρόκρανος δὲ ζωγραφεῖται, καὶ φαντάζεται, ἢ [5] κερασφόρος, ὅτι τοῖς φιλοίνοις ἡ ἀλογία προσάπτεται δίκην ζώων τετραπόδων. Τυρσηνία δὲ, ἡ Ἰταλία, ἀπὸ Τυρσηνοῦ, τοῦ Τηλέφου υἱοῦ. Λυγκεὺς δὲ, ποταμὸς Ἰταλίας θερμὰ ὕδατα ἔχων. ἐκλήθη δὲ οὕτως, ἐπειδὴ τὸ ὕδωρ αὐτοῦ πολλοὺς ὀμματόωσι, ἢ ὅτι ὁ παλαιὸς ἐκεῖνος Λυγκεὺς ἐν τῷ ῥείθρῳ αὐτοῦ ἐπνίγη.

1241. Πίσσα, καὶ Ἀγγύλλα, πόλεις Τυρσηνίας. Πολύῤῥηνον.] πολύαρνον· πολυθρέμμων γὰρ ἡ Ἰταλία.

1242. Μίξει φίλιον ἐχθρὸς ὢν στρατόν.] Ὀδυσσέα φασὶν ἐν Ἰταλίᾳ συντυχεῖν Αἰνείᾳ, καὶ συνθήκας μετ' ἀλλήλων καὶ εἰρήνην ποιῆσαι. λέγει οὖν, ὡς διάφορος ὤν, φίλιον στρατὸν μίξει μετ' αὐτοῦ διὰ τὰς σπονδὰς, ὅρκοις καὶ λιτανείαις πείσας, ὡς ἂν δὴ φυγὰς ὤν. σὺν αὐτῷ δὲ μίξαντες τὸν στρατὸν οἱ δύο παῖδες Τηλέφου, Τάρχων καὶ Τυρσηνὸς, οἰκήσουσι παρὰ τὴν χώραν, τὴν ἀπὸ Τυρσηνοῦ κληθεῖσαν Τυρσηνίαν.

1244. Νάνος.] ὁ Ὀδυσσεὺς παρὰ Τυρσηνοῖς καλεῖται, δηλοῦντος τοῦ ὀνόματος τὸν πλανήτην· ἐγὼ δὲ εὗρον, ὅτι πρότερον ὁ Ὀδυσσεὺς Νάνος ἐκαλεῖτο, εἶτα ἐκλήθη Ὀδυσσεύς, ὥσπερ ὁ Ἀχιλλεὺς πρότερον Λιγύρων, καὶ Πυρίσσοος, καὶ ἕτεροι ἑτέρως ἐκαλοῦντο.

1246. Οἰκουρός.] ὁ Διόνυσος, ὅτι ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσήρχοντο αἱ γυναῖκες εἰς τὸν ναὸν αὐτοῦ, τὸν δὲ λοιπὸν χρόνον οἴκοι ἔμενον, καὶ οἰκούρουν.

EMENDATIONES.

1 Συναθροισθέντων Grav. 2 Αὐτοὶ, pro αὐτοῦ, ex Bar. & Grav. neutrum agnoscit Sold. * Ex Bar. & Grav. 3 Παρὰ Ῥωμύλου ἢ Ῥώμου Bar. & Grav. παρὰ Ῥώμου ἢ Ῥώμου Sold. παρὰ Ῥώμου, ἢ Ῥώμη Impress. 4 Versum hunc emendavi ex Sold. cum quo consentit Bar. nisi quod περιεστεφανῶσθαι habeat, pro περιεστεφανωκέναι. Quin & τῷ occurrit in Grav. At Impressi sic proferunt,

Καὶ σὺ κέρατα κρατὶ περὶ στεφανοῖν

5 Κερασφόρος pro κέρας φέρει.

1247. Θύιος.]

Γνάμψει Θέοινος, γυῖα σμυδήσας [a] λύγοις,	Curvabit vini Deus, crura viticibus colligans)
Τάρχων τε καὶ Τυρσηνὸς, αἴθωνες λύκοι,	Tarchon & Tyrrhenus, lupi fervidi,
Τῶν Ἡρακλείων ἐκγεγῶτες αἱμάτων·	Herculeo prognati sanguine:
Ἔνθα τράπεζαν εἰδάτων πλήρη κιχὼν,	Ubi mensam cibis plenam offendens,
Τὴν ὕστερον βρωθεῖσαν ἐξ ὀπαόνων,	Quam postea comederant socii,
Μνήμην παλαιῶν λήψεται θεσπισμάτων·	In memoriam veterum redibit oraculorum;
Κτίσει δὲ χώραν ἐν τόποις Βορειγόνων,	Condetque in regione Aboriginum,
[b] Ὑπὲρ Λατίνους Δαυνίους τ' ᾠκισμένην,	Ultra Latinos Dauniosque habitata,
Πύργους τριάκοντ', ἐξαριθμήσας γονὰς	Turres triginta, partus enumerans
Συὸς κελαινῆς, ἣν ἀπ' Ἰδαίων λόφων,	Suis nigræ, quam ab Idæis collibus,
Καὶ [c] Δαρδανείων ἐκ τόπων ναυσθλώσεται,	Et sedibus Dardaniis navi vehet,
[d] Ἰσηρίθμων θρέπτειραν ἐν τόκοις κάπρων·	Totidem porcellorum in partu nutricem:
Ἧς καὶ πόλει δείκηλον ἀνθήσει μιᾷ	Cujus etiam in urbe una simulacrum consecrabit
Χαλκῷ τυπώσας, καὶ τέκνων γλαγοτρόφων.	Ære sculptum, & porculorum lactentium.
[e] Δείμας δὲ σηκὸν [f] Μυνδίᾳ Παλληνίδι,	Exstructo autem templo Myndiæ Pallenidi,
Πατρῷ' ἀγάλματ' [g] ἐγκατοικιεῖ θεῶν·	Penatum Deorum intus collocabit simulacra:

VARIANTES LECTIONES

a Λύγοις *Seld.* b Hunc versum sic profert *Stephanus* Byzantinus,
Ὑπὲρ Λατίνων Δαυνίων τ' ᾠκισμένην.
c Al. Δαρδανίων. d Al. Ἰσηρίθμων. habet quidem ἰσηρίθμων *Bar.* sed isti ι eadem, ut videtur, manus superposuit α. e Δείμας *Bar.* f Μυνδίᾳ al. Μυνδίῃ *Bar.* g Ἐγκατοικιεῖ al.

1247. Θέοινος.] ὁ Διόνυσος, ὡς θεὸς οἴνου ἐφέτης, ὡς καὶ Αἰσχύλος φησὶ,

Πάτερ Θέοινε, [1] Μαινάδων [2] ζευκτήριε,

καὶ Διονύσιος φησὶν ὁ Σμυρναῖος,

[3] Μὰ τὰς Θεοίνου, καὶ Κορωνίδος κόρας.

Γυῖα σμυδήσας.] ἐξέχθη ὄπισθεν.

1249. Ἡρακλείων αἱμάτων.] Ἡρακλέους καὶ Αὔγης, τῆς θυγατρὸς [4] Ἀλέου, παῖς Τήλεφος· Τηλέφου καὶ Ἱέρας, Τάρχων καὶ Τυρσηνός.

1250. Ἔνθα τράπεζαν.] ὅπου τὴν ἱστορίαν ὄπισθεν πλατύτερον, ὅπως ἔκτισεν Αἰνείας τὴν Λαβινίαν· κἂν οὗτοι μὴ εἰδότες, τὴν Ῥώμην φασίν· ὅρα γὰρ ὅπως φασὶ τὴν ἱστορίαν· Χρησμὸν ἔλαβεν ὁ Αἰνείας, ἔνθα ἂν οἱ ἑταῖροι αὐτοῦ κατεσθίωσι τὰς ἑαυτῶν τραπέζας, ἐκεῖ κτίσειν πόλιν· ἐλθὼν οὖν ἐν Ἰταλίᾳ, καὶ ἀπορήσαντές τινες τραπεζῶν, * ἄρτοις * ἐχρήσαντο, καὶ τυρὸν ἔφαγον καὶ τὰς τραπέζας, ἤτοι τοὺς ἄρτους· συνεὶς οὖν ὁ Αἰνείας τὸν χρησμὸν, ἔκτισε τὴν Λαβινίαν πόλιν ἐκεῖσε, κἂν οἱ μὴ εἰδότες τὴν Ῥώμην φασί.

1253. Κτίσει δὲ χώραν.] κτίσει δὲ εἰς τὴν χώραν· οὐ γὰρ ἡ χώρα κτίζεται, ἀλλ' ἡ πόλις. Βορειγόνων.] πάντα τολμητὰ, βατὰ, καὶ χρηστὰ τῷ Λυκόφρονι· οἱ Ἰταλοὶ πρῶτον Ἀβορείγενεις ἐκαλοῦντο, καὶ ἕτερα μυρία ἀπὸ τῶν οἰκησάντων αὐτὰ ἐθνῶν· οὗτος δὲ Βορειγόνας λέγει τοὺς Ἀβορειγόνους.

1254. Ὑπὲρ Λατίνους.] φλυαρεῖ καὶ εἰς τοῦτο· αὐτοὶ γὰρ οἱ Ἀβορείγενεις ἀπὸ Λατίνου, τοῦ Φαύνου, ἢ Ἡρακλέους υἱοῦ, Λατῖνοι ἐκλήθησαν.

1255. Πύργους τριάκοντα.] καὶ ἐνταῦθα φλυαρεῖ· οὐ τριάκοντα γὰρ πόλεις ἔκτισεν Αἰνείας, ἀλλὰ τῷ τριακοστῷ ἔτει ὁ υἱὸς αὐτοῦ Ἀσκάνιος, ὡς ὄπισθεν εἶπον, ἔκτισε τὴν Ἄλβαν πόλιν, ἀπὸ τῆς λευκῆς χοίρου, ἣν ἐκ τῆς Ἰλίου ἔλαβε, κἂν καὶ ταύτην μέλαιναν οὗτος λέγει. * τὴν ἱστορίαν ὄπισθεν πλατύτερον εἶπον. *

1258. Ἰσηρίθμων.] καὶ τοῦτο κακῶς ἔχει, καὶ πρὸς τὴν ψευδῆ ποιεῖ ἱστορίαν· οὐ γὰρ πρότερον ἐκτίσθησαν, ὡς λέγει πόλεις, καὶ ὕστερον ἡ χοῖρος ἔτεκεν, ὡς εἰπεῖν τοὺς χοίρους αὐτῆς ἰσηρίθμους τοῖς πύργοις, ἀλλὰ τοὐναντίον.

EMENDATIONES.

1 Μαινάδων pro Μαινάδος, ex MSS omnibus. 2 Ζευκτήριε *Grav.* 3 Μὰ δὲ τὰς Θεοίνου καὶ Κορωνίδος *Bar.* Κορωνίδος etiam habet *Grav.* 4 Ἀλέου *Seld.* * Hanc vocem adjeci ad complendum sensum, qui prius imperfectus fuit; vult enim *Tzetzes*, Æneæ socios, quum non adessent mensæ, earum loco panes carnibus supposuisse: notissima est, vel inter pueros, fabula. * Hæc adjeci ex *Bar.* & *Grav.*

Ἃ δὴ, παρώσας καὶ δάμαρτα, καὶ τέκνα,	Quæ ſanè, contemnens & uxorem, & liberos,
Καὶ κτῆσιν ἄλλην ὀμπνίαν κειμηλίων,	Et poſſeſſionem aliam theſaurorum opimam,
[a] Σὺν τῷ γηραιῷ πατρὶ πρεσβιώσεται,	Cum ſene patre pluris faciet,
Πέπλοις περισχὼν, [b] ἦμος αἰχμηταὶ κύνες	Veſtibuſque involvet, quando bellicoſi canes
Τὰ πάντα πάτρας συλλαφύξαντες πάλῳ,	Omnem patriam ſimul diripientes ſorte,
Τούτῳ μόνῳ πόρωσιν αἵρεσιν, δόμων	Huic ſoli dabunt optionem ex ædibus
Λαβεῖν ὃ χρῄζει, κἀπενέγκασθαι δάνος.	Sumendi quod velit, & auferendi pro præmio:
Τῷ καὶ παρ' ἐχθροῖς εὐσεβέστατος κριθεὶς,	Quapropter & ab inimicis judicatus pietatis pleniſſimus,
Τὴν πλεῖστον ὑμνηθεῖσαν ἐν χάρμαις πάτραν	Plurimum celebratam in bellis patriam
Ἐν ὀψιτέκνοις ὀλβίαν [c] δωμήσεται	Per poſteros ædificabit, felicem
Τύρσιν, μακεδνὰς ἀμφὶ [d] Κιρκαίου νάπας,	Arcem, altas juxta Circæi ſylvas,
Ἀργοῦς τε κλεινὸν ὅρμον, Αἰήτην μέγαν,	Portumque Argonis inclytum, Æeten magnum,
Λίμνης τε Φόρκης Μαρσιωνίδος ποτὰ,	Phorceſque, Marſicæ paludis, latices,

VARIANTES LECTIONES.

a Verſus hic ſic ſcribitur in Bar.
Σὺν γηραιῷ πατρὶ πρεσβιώσεται.
b Ἦμος cum ſpiritu aſpero profert Bar. c Al. δομήσεται. & hanc lectionem tuentur MSS. uterque, tam in Scholiis, quam in Textu: utrobique tamen in Seld. eadem, ut mihi videtur, manus ω ipſi ο ſuperpoſuit. d Al. Κιρκαίου.

1263. Ἃ δὴ, παρώσας.] Ἡ ἀνάστροφος ἡ σύνταξις· Ἅπερ δὲ ἀγάλματα πρεσβιώσει, καὶ τιμήσει, σὺν τῷ γηραιῷ πατρὶ περισχὼν [1] καὶ καλύψας ἐν τοῖς πέπλοις, ἢ τοῖς ἱματίοις, παρώσας καὶ δάμαρτα, καὶ τέκνα, καὶ κτῆσιν ἄλλην ὀμπνίαν κειμηλίων, ἤτοι τὸν πλοῦτον, ἦμος οἱ αἰχμηταὶ κύνες τὰ καὶ τὰ ποιήσωσι· [2] φησὶ γὰρ οὗτος ὁ Λυκόφρων, καὶ λοιποί τινες, ὅτι πορθουμένης τῆς Τροίας ὑφ' Ἑλλήνων, Αἰνείας μόνον ἠλευθερώθη ὑπ' αὐτῶν, καὶ ἐκελεύσθη λαβεῖν ἐκ τῆς πόλεως ὃ βούλεται· παρώσας δὲ τὸν οἶκον, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, προέκρινε τὰ τῶν θεῶν ἀγάλματα, καὶ τὸν ἑαυτοῦ πατέρα, * καὶ * ἀπῆλθεν εἰς τὸν Ἄθω, καὶ ἐκεῖ ἔκτισε πόλιν ὀχυρὰν, τὴν ἀπ' αὐτοῦ Αἰνειάδα προσαγορευθεῖσαν, ἔνθα ἔτυχε τὸν πατέρα αὐτοῦ Ἀγχίσην τελευτῆσαι· καὶ πολυτελῶς αὐτὸν καύσας, τὸν χοῦν αὐτοῦ ἐν χρυσῇ λάρνακι βαλὼν, θριαμβεύσας αὐτὸν ἢ μακρὰν, ἀπ' αὐτῆς ἀπῆρε· ἔλαβε δὲ καὶ σῦν, ἥτις ἔτεκε λ' τέκνα, ἧς καὶ ἄγαλμα ποιήσας σὺν τοῖς τέκνοις αὐτῆς, ἀνέστησεν ἐν μιᾷ τῶν παρ' αὐτοῦ κτισθεισῶν πόλεων. ταῦτα μὲν οὗτοι φασί. Λέσχης δὲ, ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκὼς, Ἀνδρομάχην καὶ Αἰνείαν αἰχμαλώτους φησὶ δοθῆναι τῷ Ἀχιλλέως υἱῷ Νεοπτολέμῳ, καὶ ἀπαχθῆναι σὺν αὐτῷ εἰς Φαρσαλίαν, τὴν Ἀχιλλέως πατρίδα· [3] φησὶ δὲ οὑτωσί,

Αὐτὰρ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς
Ἑκτορέην ἄλοχον [4] κάτθαγε κοίλας ἐπὶ νῆας·
Παῖδα [5] δ' ἑλὼν ἐκ κόλπου ἐϋπλοκάμοιο τιθήνης,
[6] Ῥῖψε ποδὸς τεταγὼν ἀπὸ πύργου, [7] τὸν δὲ πεσόντα
Ἔλλαβε πορφύρεος θάνατος, καὶ μοῖρα κραταιή.
Ἐκ δ' ἕλετ' Ἀνδρομάχην, [8] ἠΰζωνον παράκοιτιν
Ἕκτορος, ἥν τέ οἱ αὐτῷ ἀριστῆες παναχαιῶν
Δῶκαν ἔχειν, ἐπίηρον ἀμειβόμενοι γέρας ἀνδρί,
Αὐτόν τ' Ἀγχίσαο κλυτὸν γόνον ἱπποδάμοιο
[9] Αἰνείαν ἐν νηυσὶν ἐβήσατο ποντοπόροισιν,
[10] Ἐκ πάντων Δαναῶν ἀγέμεν γέρας ἔξοχον ἄλλων.

1272. Ἐν ὀψιτέκνοις.] Ῥῶμος γὰρ, καὶ Ῥωμύλος, οἱ τούτου ἀπόγονοι, ταύτην ἔκτισαν. * Δωμήσεται.] τὸ δο * μικρὸν γραφόμενον, ἐκτείνεται ὑπὸ τοῦ μ, καὶ δέχεται ἀντὶ μακροῦ καὶ [11] μικρὸν ο. Ἀττικῶς δὲ μέγα γράφεται.

1274. Ἀργοῦς τε κλεινὸν ὅρμον, Αἰήτην.] Αἰήτης, λιμὴν ἐν Ἰταλίᾳ, ἔνθα φασὶν ὁρμισθῆναι τὴν Ἀργὼ, καὶ καθαρθῆναι ὑπὸ Κίρκης ἐκ τοῦ φόνου τοῦ Ἀψύρτου Ἰάσονα καὶ Μήδειαν. Φόρκη δὲ, λίμνη σταδίους φ' ἀπέχουσα τῆς Ῥώμης. Μαρσοὶ δὲ, ἔθνος Ἰταλίας, περὶ [12] ταύτην τὴν λίμνην οἰκοῦντες.

EMENDATIONES.

1 Καὶ καλύψας ἐν τοῖς πέπλοις, ἱμάτια παρώσας καὶ δάμαρτα Impreſſ. Noſtra lectio eſt ex Seld. & certe multo propius attingere Poetæ mentem reperietur, ſi quis Textum conferre dignabitur. 2 Φησὶ γὰρ οὗτος ὁ Λυκόφρων lego cum Bar. & Grav. φησὶ γὰρ οὗτος ὁ Λυκόφρων Seld. φησὶ γὰρ ὅτι ὁ Λυκόφρων Impreſſ. * Hanc voculam ad ſententiarum connexionem adprime neceſſariam Ego adjeci. 3 Φησί, pro φασί, ex MSS. utroque, conſtructione id exigente. 4 Κάθαγε Bar. & Grav. κάτθαγε Seld. 5 Θ' Bar. & Grav. 6 Ῥῖψε ποδὸς τεταγὼν Seld. ῥίψας Impreſſ. τεταγὼς Bar. 7 Τὸν δὲ πεσόντ' ἔλαβε Bar. ἔλαβε etiam Seld. 8 Εὔζωνον MSS. uterque. 9 Verſus hic deeſt in Bar. 10 Ἐκ πάντων Ἀχαιῶν Bar. ubi Scholium videtur in Contextum irrepſiſſe. * Hoc adjeci ex Bar. & Grav. ad complendum ſenſum, qui prius mutilus erat, & imperfectus. 11 Μικρὸν ο, pro μικρὸν ὂν poſui, ſenſu ita poſtulante. 12 Ταύτην, pro ταύτης, ex Grav. conſtructione id exigente.

Τιτώνιόν τε χεῦμα, ὃ ª κατὰ χθονὸς	Titonisque aquam sub terram
Δύνοντος εἰς ἄφαντα ᵇ κευθμῶνος βάθη·	Subeuntis in obscuras hiatus profunditates:
Ζωστηρίου τε ᶜ κλιτὺν, ἔνθα παρθένου	Et Zosterii promontorium, ubi virginis
Στυγνὸν Σιβύλλης ἐστὶν οἰκητήριον,	Horrendum est Sibyllæ domicilium,
Γρώνῳ βερέθρῳ συγκατηρεφὲς στέγης.	Cavo antri barathro contectum.
Τοσαῦτα μὲν δύσληκτα πείσονται κακὰ	Ac tot quidem intoleranda patientur mala,
Οἱ τὴν ἐμὴν μέλλοντες ᵈ αἰστώσειν πάτραν.	Qui meam vastaturi sunt patriam.
Τί γὰρ ταλαίνῃ μητρὶ τῇ Προμηθέως	Quid enim miseræ Promethei Matri,
Ξυνὸν πέφυκε, καὶ τροφῷ Σαρπηδόνος;	Et Sarpedonis Genitrici commune fuit?
Ἃς πόντος Ἕλλης, καὶ πέτραι Συμπληγάδες,	Quas Hellespontus, & Symplegadum saxa,
Καὶ ᵉ Σαλμυδησσὸς, καὶ ᶠ κακόξεινος κλύδων	Et Salmydissus, atque inhospitalis Fluctus

VARIANTES LECTIONES.

a Καταχθονὸς Seld. b Κευθμῶνος Bar. c Κλιτὼ' Bar. d Αἰστώσειν Bar. aliique. e Σαλμυδησσὸς Bar. f Κακόξεινος Seld.

1276. Τιτώνιόν τε χεῦμα.] Τίτων, ποταμὸς Ἰταλίας, ἐγγὺς Κιρκαίου, ὃ Κίρκαιον ἀπὸ τῆς Κίρκης καλεῖται. ὁ δὲ Τίτων οὗτος ποταμὸς οὐκ εἰς θάλασσαν ῥέει, ἀλλ' ὑπὸ τῆς γῆς καταπίνεται, ὥς φησι καὶ Φιλοστέφανος.

1278. Ζωστηρίου τε κλιτύν.] [1] Ζωστήριον, ὄρος Ἰταλίας, ἐν ᾧ ἱερὸν Ζωστηρίου Ἀπόλλωνος· φασὶν οὖν, ὅτι ἐνταῦθα διῆγεν ἡ Σίβυλλα. * τρεῖς γὰρ ἦσαν Σίβυλλαι, * Κυμαία, (ἣν καὶ Ἀπόλλωνος φασὶν ἀδελφὴν) Ἐρυθραία, καὶ Σαρδιανὴ· ὥσπερ καὶ τρεῖς Βάκιδες χρησμολόγοι, ὁ ἐξ [2] Ἐλεῶνος τῆς Βοιωτίας, καὶ ὁ Ἀθηναῖος, καὶ Ἀρκάς. περὶ ἧς δὲ Σιβύλλης νῦν ὁ Λυκόφρων λέγει, Κυμαία ἐστὶν, ἥτις τέθνηκεν ἐν χρόνῳ Ταρκυνίου τοῦ ὑπερηφάνου, βίβλους προφητικὰς αὐτῆς τρεῖς, ἢ θ' καταλιποῦσα· ὧν ἢ μίαν, ἢ τρεῖς ἐξωνήσαντο οἱ Ῥωμαῖοι, ὡς τὰς λοιπὰς τῆς ἐκείνης [3] θεραπαίνης ἀναλωσάσης πυρὶ, ὅτι μὴ ἐδίδουν ἐκείνῃ ὅσον ᾔτει χρυσόν· ὃ ὕστερον ποιήσαντες, ἐξωνήσαντο, ἢ μίαν τὴν καταλειφθεῖσαν, ἢ τρεῖς, καὶ ἔδωκαν [4] Μάρκῳ Ἀκιλίῳ φυλάσσειν· ζῶντα δὲ τοῦτον εἰς δέρμα βοὸς ἐμβαλόντες, ἀνεῖλον, ὅτι περὶ μεταγραφὴν ἔδωκε· τὰς δὲ βίβλους, ἢ τὰς βίβλους ὀρύξαντες ἐν μέσῃ τῇ ἀγορᾷ μετὰ λάρνακος κατέχωσαν. Γρώνῳ δὲ, τῷ κοίλῳ. Βερέθρῳ δὲ, τῷ σπηλαίῳ.

1283. Τί γὰρ ταλαίνῃ μητρὶ τῇ Προμηθέως.] Ἀσίας καὶ Ἰαπετοῦ, Προμηθεὺς καὶ Ἐπιμηθεύς· ἢ Προμηθέως καὶ Ἡσιόνης, ἢ Ἀξιοθέας, παῖς Δευκαλίων· ἀπὸ γοῦν ταύτης τῆς Προμηθέως μητρὸς Ἀσίας, ὁ Λυκόφρων λέγει τὴν χώραν καλεῖσθαι, ὡς καὶ τὴν Εὐρώπην ἀπὸ Εὐρώπης, ἥτις ἐκ Διὸς ἐγέννησε Σαρπηδόνα, Μίνωα, καὶ Ῥαδάμανθυν. ἕτεροι δὲ τὴν μὲν Ἀσίαν, ἀπὸ Ἀσίου φασὶ κληθῆναι· τὴν δὲ Εὐρώπην, ἀπό τινος Εὐρώπου, υἱοῦ [4] Ἰμέρου. Ἀνδρων δὲ ὁ Ἀλικαρνασσεὺς Ὠκεανὸν ἱστορεῖ γῆμαι δύο γυναῖκας, [5] Πομφολύγην, καὶ Παρθενόπην· ἐκ μὲν οὖν Πομφολύγης φασὶ γεννῆσαι αὐτὸν Ἀσίαν καὶ Λιβύην· ἐκ δὲ Παρθενόπης, Εὐρώπην καὶ Θρᾴκην, ἀφ' ὧν αἱ χῶραι τὴν κλῆσιν ἐσχήκασιν.

1285. Ἃς πόντος Ἕλλης.] ἅστινας Εὐρώπην καὶ [6] Ἀσίαν διαχωρίζει ὁ Ἑλλήσποντος, καὶ τὸ, καὶ τό· ὅθεν δὲ ἐκλήθη Ἑλλήσποντος, εἴπομεν πολλάκις. τοῦτο δὲ ἰστέον, ὅτι Ἑλλήσποντός ἐστιν ὁ ἀπὸ Σηστοῦ καὶ Ἀβύδου τόπος, οὗ ὁ Ξέρξης τὴν γέφυραν ἔζευξε, μέχρι τοῦ Θρᾳκικοῦ [7] ἡμετέρου Βοσπόρου, ὃν Βόσπορον Δαρεῖος ὁ Ξέρξου πατὴρ ἐγεφύρωσε, περὶ τοῦ γεφυρῶσαι Ξέρξην τὴν Ἑλλήσποντον. Πέτραι Συμπληγάδες.] ἃς Ὅμηρος Πλαγκτὰς καλεῖ, εἰσὶ δέ φασιν αὐτὰς περὶ Τυρσηνίαν. ὁ δὲ Ἐρατοσθένης Συνορμάδας καλεῖ, [8] κατεψυγμένας δὲ καὶ λελυθότας περὶ τὸν Εὔξεινον πόντον φασὶν, ἤτοι περὶ τὸ [9] Στενόν. Ἀπολλώνιος δὲ, καὶ οὗτος ὁ Λυκόφρων Συμπληγάδας αὐτὰς λέγουσιν. ἀλλ' ὁ μὲν Λυκόφρων οὗτος φαίνεται μεταξὺ ταύτας εἶναι λέγων Καλχηδόνος καὶ Βυζαντίου, ὡς εἶναι τὸ λεγόμενον παρ' ἰδιώταις βαρβάρως ῥεῦμα. ὁ δὲ Ἀπολλώνιος ποτὲ μὲν φαίνεται παρὰ τὸν Εὐξείνου πόντον, ἤτοι περὶ τὰ Στενοῦ κλεῖδα, λέγων αὐτὰς, ποτὲ δὲ ὁμοίως τῷ Λυκόφρονι γράφων,

Πληγάδας [10] ἀξείνους, καὶ ὅπου φοινίκια δόρπα.

Ἦσαν δὲ αἱ Συμπληγάδες, ὥς λέγουσι, πέτραι δύο, συγκρούουσαι πρὸς ἀλλήλας, καὶ συνθλάσουσαι τὰ πλοῖα· ἐπεὶ δὲ παρέπλευσε ταύτας ἡ Ἀργὼ, ἐρριζώθησαν, καὶ ἐπαύθησαν τῆς κινήσεως. ὡς λέγουσι δὲ, ἡ μὲν ἐν Εὐρώπῃ ἐστὶ πρὸς τῷ Βυζαντίῳ, ἡ δὲ ἐν Ἀσίᾳ πρὸς τῇ Καλχηδόνι. Συμπληγάδες.] αἱ συμπλέκουσαι, καὶ προσκρούουσαι ἀλλήλαις· Πλαγκταὶ δὲ, ὡς πλανώμεναι περὶ τὰς ἀκτάς.

1286. Σαλμυδησσός.] τὸ μεταξὺ Βυζαντίου καὶ Δαμάλεως [11] πέλαγος, ἀπὸ Σαλμυδησσοῦ, παραρρέοντος ποταμοῦ. Καὶ

EMENDATIONES.

1 Ζωστήριον, pro Ζωστὴρ, ex auctoritate *MSS.* omnium, & ipsius *Lycophronis* textu. * Hæc ex *MSS* omnibus deprompsi, ad sententiam explendam, quæ prius mutila exstabat. 2 Ἐλεῶνος, pro Ἑλικῶνος, ex *Bar.* & *Suida.* 3 Θεραπαίνης, pro θεραπαίνας, ex *Seld.* Θεραπευθείσης *Grav.* 4 Μάρκῳ *Bar* & *Grav.* 5 Πομφολύγην, & Πομφολύγης lego, pro Παμφολύγην, & Παμφολύγης, ex *MSS.* utroque, de qua emendatione dictum supra. 6 Ἀσίαν, pro Θρᾴκην, ex *Grav.* cujus emendationis rationem *Auctoris* textus facile præbebit. 7 Μέχρι *Bar.* & *Grav.* 8 Κατεψυγμένας δὲ καὶ λελυθότας *Grav.* 9 Στενὸν posui, pro στόμα, consentiente *Grav.* Cujus emendationis rationem sequentia *Scholiastæ* verba dabunt. 10 Ἀξείνους, pro ἀξένους. at εὐξείνους habent *MSS.* omnes. 11 Πέλαγος, pro πελάγους, ex *Grav.*

κακόξεινος

Σκύθαισι γείτον, [a]καρτεροῖς εἴργει πάγοις,	Scythis vicinus, firmis arcet rupibus;
Λίμνην [b]τε [c]τέμνων Τάναϊς [d]ἀκραιφνὴς [e]μέσην	Paludemque dirimens rapidus Tanais mediam
Ῥέεθροις ὁρίζει, προσφιλεστάτην βροτοῖς	Fluentis distinet, hominibus jucundissimam
[f]Χίμετλα Μαιώταισι θρηνοῦσι ποδῶν.	Mæotiis, perniones pedum lugentibus.
Ὄλοιντο ναῦται πρῶτα [g]Καρνῖται κύνες,	Pereant nautæ primum Carnitæ canes,
Οἳ τὴν βοῶπιν ταυροπάρθενον κόρην,	Qui bovis præditam facie taurivirginem Puellam
[h]Λέρνης ἀνηρείψαντο, φορτηγοὶ λύκοι,	A Lerna asportarunt, mercatores lupi,
[i]Πλάτιν πορεῦσαι κῆρα Μεμφίτῃ πρόμῳ,	Conjugem deducendam infelicem Memphitum Duci,
Ἔχθρας δὲ πυρσὸν ἦραν ἠπείροις διπλαῖς.	Odiique facem duabus extulêre Continentibus.
Αὖθις γὰρ ὕβριν τὴν βαρεῖαν ἁρπαγῆς	Rursus enim injuriam gravem raptus
[k]Κουρῆτες ἀντίποινον Ἰδαῖοι κάπροι	Mutuam Curetes Idæi apri
Ζητοῦντες, αἰχμάλωτον ἤμπρευσαν [l]πόριν	Persequentes, captivam traxerunt Juvencam
Ἐν ταυρομόρφῳ τράμπιδος [m]τυμπώματι	In tauriformi navigii vase

VARIANTES LECTIONES.

a Καρτεροῖσι Bar. b Τε nonnunquam deest. c Τέμνων Bar. Sed isti a manus nuperior superposuit μ. d Ἀκραιφνὴς Seld. ἀκραιφνὴ Bar. aliique. e Al. μέσον. f Χίμετλα Bar. aliique. χίμετλα al. g Καρνῖται patronymicon Bar. h Λέρνης Bar. i Πλάτιν πορεῦσαι Bar. aliique. k Κουρῆτες Bar. l Πόριν MSS. uterque, & eandem lectionem in Scholiis retinent. m Τυμπώματι MSS. uterque, & alii.

κακόξεινος κλύδων.] ὁ Εὔξεινος, τὸ Στενὸν κατ' εὐφημισμὸν δὲ ἐλέγετο Εὔξεινος, διὰ τὸν ἀκίνδυνον πλοῦν, καὶ τοὺς κατοικοῦντας λῃστὰς, οὓς Ἡρακλῆς ἀνεῖλε· καλῶς δὲ νῦν ὁ Λυκόφρων ἔφη κακόξεινον τοῦτον, Αἰσχύλῳ ἀκολουθῶν· Αἰσχύλος γὰρ περὶ τῆς θαλάσσης ταύτης οὕτωσί [1] λέγει,

Ἐχθρόξενος ναύταισι, μητρυιὰ νεῶν.

1287. Σκύθαισι γείτον.] μετὰ γὰρ τὸ Στενὸν πέλαγος, καὶ τὸ ἱερὸν, ἐστὶν ἡ Σκυθία.

1288. Λίμνην τε τέμνων Τάναϊς.] ὁ Τάναϊς, ποταμὸς Σκυθίας, διαιρεῖ Ἀσίαν καὶ Εὐρώπην, εἰσβάλλων εἰς τὴν Μαιῶτιν λίμνην, ὥς φησι Διονύσιος,

Εὐρώπην δ' Ἀσίης Τάναϊς διὰ [2] μέσσον ὁρίζει,
Ὅς ῥά θ' ἑλισσόμενος γαίης διὰ [3] Σαυροματάων,
[4] Σύρεται ἐς Σκυθίην [5] τε, καὶ ἐς Μαιώτιδα λίμνην.

1290. Χίμετλα.] τὰ ἐκ χειμῶνος ἀποψύγματα τῶν χειρῶν καὶ ποδῶν· τοσοῦτον γάρ ἐστι ψυχρὸν ἡ παρὰ Μαιῶτιν Σκυθία, ὡς χίμετλα, ἤτοι ἀποκαύματα, γίνεσθαι ἐν τοῖς ἐνοικοῦσι τὴν χώραν. ἴαμα δὲ χιμέτλων, καθά φησι Νίκανδρος, ἀμφισβαίνας ὄφεως δέρμα, καὶ παλιούρου ῥίζης ζωμὸς περικλυζόμενος αὐτοῖς.

1291. Ὄλοιντο ναῦται πρῶτα Καρνῖται.] Κάρνη, πόλις Φοινίκης. Φοίνικες δὲ, ἔμποροι ὄντες, ἦλθον εἰς Ἄργος, καὶ ἁρπάσαντες Ἰὼ, τὴν Ἰνάχου θυγατέρα, ἐκόμισαν εἰς Αἴγυπτον τῷ Ὀσίριδι, ὡς ὁ Λυκόφρων οὗτος φησὶ, καὶ ἕτεροι. ὁ δὲ Ἡρόδοτος αὐτὴν λέγει τὴν Ἰὼ παρὰ τὸ πλοῖον τῶν Φοινίκων κατερχομένην, μίγνυσθαι τῷ ναυκλήρῳ· ἔγκυος δὲ γενομένην, ἐξωτρύνατο αὐτῷ, φόβῳ τῶν πατέρων, ἀποχθῆναι εἰς Αἴγυπτον. Βοῶπιν δὲ αὐτὴν λέγει, ὅτι μυθικῶς, ὥς φασιν, ὁ Ζεὺς ἐμίγνυτο αὐτῇ, ὃ γνοῦσα ἡ Ἥρα βοῦν αὐτὴν ἐποίησεν· ὁ δ' ἀλήθεια οὕτως ἔχει, ὅτι οἰστρηθεῖσα ὑπ' ἔρωτος δίκην βοὸς ἐπλανᾶτο.

1292. Ταυροπάρθενον.] σόλοικον φαίνεται, εἰ μὴ οὕτως εἴπῃ τις, τὴν ἐποχουμένην τῷ ταύρῳ, ἤτοι τῷ ταυρομόρφῳ πλοίῳ· ὁ γὰρ ἀρρενόθηλυς ἐστὶν, ὥστε λέγειν αὐτὴν ταυροπάρθενον· ὁ γὰρ ταῦρος ἐγένετο, ἀλλὰ βοῦς.

1294. Πλάτιν.] πλάτιδας, καὶ πλάτωνας, λίνας, [6] δαγύδας, τὰς νύμφας καλοῦσι Λάκωνες, Κύπριοι, καὶ ἕτεροι. Μεμφίτῃ.] τῷ Ὀσίριδι, ὡς οὗτος φησί. Μέμφις, πόλις Αἰγύπτου. Κῆρα δὲ αὐτὴν εἶπεν, ὅτι ἀρχὴ πολέμου γέγονεν Ἀσίᾳ καὶ τῇ Εὐρώπῃ, ταῖς δυσὶν ἠπείροις.

1297. Κουρῆτες.] οἱ τὸν Δία θρέψαντες δαίμονες ἐν Κρήτῃ, [7] ἀφ' ὧν νῦν τοὺς Κρῆτας λέγει. Ἀντίποινον.] εἰς ἀντίκλησιν * καὶ * ἀνάσωσμα Εὐρώπην ἐκ Φοινίκης ἁρπάσαντας, ἀντὶ τῆς Ἰοῦς.

1298. Πόριν.] δάμαλιν. ἔφην δὲ πολλάκις, ὅτι διὰ τῶν δύο ρρ χρὴ γράφειν· πόρτις γὰρ ἐστὶν· ἐπεὶ οὐδὲ γέγονε πόρις, ἀντὶ τοῦ τὸ ἐφελκυστικὸν τεθεικέναι τὸ ρ· οὗτος δὲ ἀεὶ ἐν τῷ Λυκοφρονικῷ πέπλεκται γράφειν, ἐκ εἰδὼς, ὡς ἔοικεν, ὅτι * τὸ * χωλὸν πάθος ἐστὶ τῶν ἰάμβων, καὶ πάσχει καὶ σπονδεῖος, καὶ τροχαῖος ἐν τῷ τέλει τοῦ ἰαμβικοῦ.

1299. Ἐν ταυρομόρφῳ τράμπιδος.] καλλίστως τοῦτο γέγραφεν ὁ Λυκόφρων, ὅτι ταυρομόρφῳ πλοιαρίῳ ἐκ Φοινίκης οἱ

EMENDATIONES.

1 Λέγει, pro λέγων, ex Grav. 2 Μέσσον, pro μέσον. 3 Σαυρομάτων MSS. uterque. 4 Σύρετ' Bar. 5 Hanc particulam neuter MSS. Codd. agnoscit. 6 Φαγύδας Bar. & Grav. 7 Ἀφ' ὧν νῦν Ἀβας τοὺς Κρῆτας λέγει impress. Sed potius videtur quod habent Codd MSS. quos heic sequuti sumus; nisi malis ἀφ' ὧν νῦν ἰδίως τοὺς Κρῆτας λέγει. Sed nobis magis placet lectio prior, quod heic Poeta à Curetibus universos Cretenses appellet Κάπρους.

Κρῆτες

[a] Σαραπίαν Δικταῖον εἰς [b] ἀνάκτορον,	Sarapeam Dictæum in palatium,
Δάμαρτα Κρήτης [c] ἀστέρῳ στρατηλάτῃ.	Uxorem stellato Cretæ Imperatori.
Οὐδ' οἵ γ' ἀπηρκέσθησαν ἀντ' ἴσων [d] ἴσα	Nec illi contenti fuerunt pro paribus paria
Λαβόντες, ἀλλὰ κλῶπα σὺν Τεύκρῳ στρατὸν,	Accepisse, sed raptorem exercitum cum Teucro,
Καὶ σὺν Σκαμάνδρῳ, [e] Δραυκίῳ φυτοσπόρῳ,	Et cum genitore, Scamandro Cretensi,
Εἰς Βεβρύκων ἔστειλαν οἰκητήριον	In Bebrycum regionem dimiserunt
Σμίνθοισι δηρίσοντας· ὧν ἀπὸ σπορᾶς	Cum muribus pugnaturos; ex quorum origine
Ἐμοὺς γενάρχας ἐξέφυσε Δάρδανος,	Meos majores procreavit Dardanus,
Γήμας [f] Ἀρίσβην Κρῆσσαν, εὐγενῆ κόρην.	Ducta Arisba Cressa, nobili puella.
Καὶ δευτέρους ἔπεμψαν [g] ἅρπαγας λύκους,	Quin etiam secundos miserunt rapaces Lupos,
Ταγῷ μονοκρήπιδι [h] κλέψοντας νάκην	Regi unum induto calceum furaturos vellus
Δρακοντοφρούροις ἐσκεπασμένην σκοπαῖς·	Draconis custodibus munitum excubiis:

VARIANTES LECTIONES.

a Σαραπίας *Bar.* aliique. b Ἀνάκτορα *Bar.* c Al. Ἀστέρι. *Meursius* maluit Ἀστέρῳ, ut sit anapæstus, vel συνίζησις, quales apud Poetas frequentes; ejus Commentarius consulendus. d Al. ἴσα. e Θρηνικῷ *Sold.* f Ἀρίσβην *Etymologici* Auctor. g Ἅρπαγας *Stephanus*, & *Eustathius*. Vide Commentarios. h Κλέψοντας *Bar.* in qua tamen isti ας eadem, ut videtur, manus, superscripsit ω.

Κρῆτες τὴν Εὐρώπην ἁρπάσαντες, ᾤχοντο. λέγουσι γὰρ οἱ μυθογράφοι, ὅτι ὁ Ζεὺς ταῦρος γεγονὼς, αὐτὴν ἥρπαξεν. ἔχει δὲ καὶ ἄλλως ὁ νοῦ μῦθος· Ταῦρος, ὁ Κνώσσιος στρατηγὸς, παρὰ Ἀστερίου, τοῦ καὶ Μινωταύρου, βασιλέως Κρήτης, πεμφθεὶς, ἀφήρπαξεν αὐτὴν ἐκ Σαραπίας, πόλεως Φοινίκης μεταξὺ Σιδῶνος καὶ Τύρου κειμένης.

1300. Δικταῖον.] Δίκτη καὶ Ἴδη, ὄρη Κρητικά· ἔστι δὲ καὶ Ἴδη ὄρος Τροίας, ὡς καὶ Ἄρατος φησὶ περὶ τὴν ἐν Κρήτῃ Ἴδην,

[1] Δίκτῳ ἐν εὐώδει [2] ὄρεος σχεδὸν [3] Ἰδαίοιο.

1301. Κρήτης [4] Ἀστέρῳ στρατηλάτῃ.] ὁ Ἀστέριος οὗτός ἐστιν, ὁ καὶ Μινώταυρος· εἶχε δὲ, ὥς φασι, ταύρου πρόσωπον· ἦν δὲ Πασιφάης υἱὸς, γεννηθεὶς αὐτῇ ὑπὸ Μίνωος καὶ ταύρου, ὃν ὁ Δαίδαλος ἐποίησεν, ἢ τὸ ἀληθὲς, ὑπὸ Ταύρου τοῦ στρατηγοῦ, ᾧ καὶ ὅμοιος ὢν, ἐμυθεύθη ταύρου πρόσωπον ἔχειν. οὗτος δὲ ὁ Λυκόφρων τὸν Ἀστέριον Δία λέγει πατέρα εἶναι τοῦ Σαρπηδόνος, Μίνωος, καὶ Ῥαδαμάνθυος.

1302. Οὐδ' οἵ γ' ἀπηρκέσθησαν.] οὐδὲ οἱ Κρῆτες, Ἕλληνες ὄντες, ἠρκέσθησαν τιμωρησάμενοι τοὺς βαρβάρους, καὶ ἀντὶ τῆς Ἰοῦς τὴν Εὐρώπην ἁρπάξαντες· * ἀλλὰ καὶ * ἔστειλαν εἰς ἀποικίαν περὶ τὴν Τροίαν Τεῦκρον καὶ Σκάμανδρον, οὗ Σκαμάνδρου θυγατέρα γήμας ὁ Δάρδανος, γεννᾷ τοὺς ἐμοὺς προγόνους· πῶς οὖν; ἐπεὶ μᾶλλον τούτων συγγενῆ ἔλαβεν ὁ Δάρδανος, καὶ ὁ παρ' αὐτῶν ἀφῃρέθη, ὥς φησιν ὁ Λυκόφρων, Οὐδ' οἵ γ' ἀπηρκέσθησαν, ἀλλ' ἔστειλαν στρατόν· πρὸς τοῦτο ἀποβλέψας ὁ Λυκόφρων, εἶπε πρὸς τὸ, ὅτι περὶ Τροίαν ἀπελθόντες ἀποικίαν ἐστείλαντο, καὶ ἔκτισαν τὸ Σμίνθιον· τὴν γὰρ ἀποικίαν ἐκεῖσε ἐποιήσαντο. ἡ δὲ ἱστορία οὕτως ἔχει· Τεῦκρος υἱὸς ὢν Σκαμάνδρου τοῦ Κρητός· τούτῳ ἐδόθη χρησμὸς, ἐκεῖ οἰκῆσαι, ἔνθα γηγενεῖς ἐπίθωνται αὐτοῖς. περὶ δὲ τὰ τοῦ Ἰλίου μέρη γενόμενοι, βρωθέντων νύκτωρ ὑπὸ μυῶν [5] τῶν ὀχάνων τῶν ἀσπίδων, καὶ τῶν νευρῶν τῶν τόξων αὐτῶν, μνησθέντες τοῦ χρησμοῦ, ἔκτισαν τὸ Σμίνθιον, καὶ ἱερὸν Σμινθέως Ἀπόλλωνος· οἱ γὰρ μύες παρὰ Κρησὶ σμίνθοι καλοῦνται. κτίσαντες δὲ τὴν πόλιν, κατῴκησαν ἐκεῖ, καὶ ἐβασίλευσε Τεῦκρος· ἀφ' οὗ καὶ [6] Τευκροὶ οἱ Τρῶες, ὡς καὶ Καλλίμαχος,

Τευκρῶν ἡνίκα νῆες Ἀχαιῶν ἄστεα [7] κῆδον.

1304. Δραυκίῳ.] Κρητικῷ· Δραύκη γὰρ, πόλις Κρήτης.

1305. Εἰς Βεβρύκων.] τῶν Τρώων· Βέβρυκες γὰρ, νῦν οἱ Μυσοὶ, ἐνδότεροι Βιθυνῶν ὄντες, ὧν ὄρος Ὄλυμπος· εἰσὶ δὲ καὶ ἕτεροι Βέβρυκες, ἔθνος Γαλατῶν, μεταξὺ Πυρήνης, καὶ Κεραυνίων ὀρῶν, καὶ Ἰβηρίας κείμενοι, οἳ καλοῦνται Ναρβωνήσιοι.

1306. Ὧν ἀπὸ σπορᾶς.] Ἀρίσβην, ἣν κατά τινας Βάτειαν, θυγατέρα Τεύκρου, γήμας Δάρδανος, γεννᾷ Ἐριχθόνιον, Τρῶα δ' Ἐριχθόνιος, Τρὼς δὲ [8] Ἶλον, Ἀσσάρακον, καὶ Γανυμήδην, Ἶλος γεννᾷ Λαομέδοντα, Λαομέδων Πρίαμον, Πρίαμος τὴν Κασσάνδραν αὐτὴν, καὶ τοὺς αὐτῆς ἀδελφούς.

1309. Καὶ δευτέρους ἔπεμψαν.] ὅπερ ζήτει, [9] ὅπως περὶ τῶν Ἀργοναυτῶν πάντα κατὰ λεπτὸν ἔγραψα, εἰ καὶ βραχύτατα, ὅσα οὐδὲ πεντήκοντα Ἀπολλώνιος.

EMENDATIONES.

1 Δίκτῃ *Grav.* 2 Οὔρει *Bar.* 3 Ἰδαίοιο, pro Ἰδαίοις. ex *Bar.* metro exigente. 4 Ἀστέρι στρατηλάτῃ, pro ἀστέρος στρατηλάτης, ex *Lycophronis* textu, adjuvantibus etiam *MSS.* * Hoc addo ex *Bar.* & *Grav.* ἀλλ' habet etiam *Sold.* 5 Τῶν ὀχάνων τῶν ἀσπίδων, pro τῶν ὀχέων, τῶν ἀσπίδων, ex *Bar.* 6 Τευκροὶ οἱ Τρῶες, pro Τεῦκροι οἱ ἥρωες, ope *Bar* & *Grav.* Trojanos enim Teucros esse dictos nemo, opinor, ignorat. Quæ emendatio prius facta est à *Meursio Creta* p. 220. & *Bentlejo* in Fragment. *Callimachi* p. 38 7 Κῆδον, pro κεῖδον, ex *Bar.* & *Grav.* Eruditissimus *Bentlejus* hunc versum sanare conatus est in Fragment *Callimachi* p. 389 Fortasse (inquit) legendum, κήδευν, vexabant. Nam & κήδειν ea significatione dicitur, si fides *Hesychio*. An legendum κῆαν, *incenderant*? an ᾖδον, *spoliarunt*? 8 Ἶλον, pro Ἴλιον ex *Sold.* & *Grav.* 9 Ὅπως περὶ τῶν Ἀργοναυτῶν πάντα κατὰ λεπτὸν lego cum *Bar.* & *Grav.* ὅπερ περὶ πάντων κατὰ λεπτὸν *Impress.*

Ὃς εἰς [a] Κύταιαν τῆς [b] Λιγυστικῆς [c] μολὼν,	Qui Cytæam veniens Ligusticam,
Καὶ τὸν τετράπτιλον ὕδρον ὑπνώσας θρόνοις,	Et quadrinarem draconem sopiens pharmacis,
Καὶ γυρὰ ταύρων βαστάσας πυρπνόων	Curvaque taurorum regens ignivomorum
[d] Ἄροτρα, καὶ λέβητι δαιτρευθεὶς δέμας,	Aratra, & in lebete corpus excoctus,
Οὐκ ἀσμένως ἔμαρψεν ἐρράου σκύλος,	Non impunè cepit arietis vellus,
Ἀλλ' αὐτόκλητον ἁρπάσας κεραΐδα,	Sed voluntariam rapiens Ovem
Τὴν [e] γνωτοφόντιν, καὶ τέκνων ἀλάστορα,	Fratricidam, filiorumque perditricem,
Εἰς τὴν λάληθρον κίσσαν ἡρματίξατο,	In loquacem imposuit Picam,
Φθογγὴν [f] ἑδωλίων [g] Χαονιτικῶν ἄπο	Vocem è transtris Chaonicis
Βροτησίαν ἱεῖσαν, ἔμπαιον δρόμων.	Humanam emittentem, cursus peritam.
Πάλιν δ' ὁ πέτρας ἀσκέρας ἀνειρύσας,	Rursum Qui è saxo calceos extraxerat,
Καὶ φασγάνου ζωστῆρα, καὶ [h] ξίφος πατρὸς,	Ensisque cingulum, & gladium patris,
Ὁ Φημίου παῖς, [i] Σκῦρος ᾧ λυγροὺς τάφους	Phemii nepos, cui Scyrus sepulcrum triste

VARIANTES LECTIONES.

a Al. Κοζαίαν. b Λιβυστικῆς Stephanus. c Μολὼν Seld. d Ἄροτρα Bar. e Γνωτοφόντην Bar. eandemque lectionem in Scholiis retinet. f Al. ἐδωλίων, quam lectionem habet etiam Bar. ἰδωλίων cum spiritu tenui Seld. g Al. Χαονικῶν. h Ξίφος Seld. i Al. Σκῦρος.

1312. Τὴν Λιγυστικήν.] ἡ Κύταια πόλις Κολχίδος ἐστίν· [1] οἱ δὲ Κόλχοι ἔθνος ἐστὶ [2] Λαζικὸν, ὡς ἔφην ὄπισθεν πλειστάκις, πλησίον Ἀβασγῶν κείμενοι. ἡ δὲ Λιβύη, καὶ τὸ Λιγυστικὸν κλίμα, ὃ ἐκλήθη ἀπὸ Λίγυος, τοῦ Ἀλβίωνος ἀδελφοῦ, τῆς Κυρήνης, καὶ Καρχηδόνος, καὶ Ἀλεξανδρείας εἰσίν. ὁ δὲ Λυκόφρων ὥσπερ κεχυμένως τὰ πολλὰ, καὶ τὴν Κολχικὴν, Λιγυστικὴν καλεῖ. ὁ δὲ Λίγυς οὗτος κωλύων Ἡρακλῆ ἐπὶ τὰς Γηρυόνου βοῦς ἐλθεῖν, ἀνῃρέθη. καὶ κατὰ μὲν τοὺς μὴ εἰδότας διαίρεσιν κλιμάτων, ἀλλὰ τὴν αὐτὴν δοκοῦντας Λιβυστικὴν καὶ Λιγυστικὴν, οὕτως ὡς εἴπομεν ἔχει· κατὰ δὲ τὴν ἀκρίβειαν, Λιβυστικὰ μέρη εἰσὶν, ἅπερ εἴπομεν· οἱ δὲ Λίγυες τὴν παραλίαν ἀπὸ Τυρσηνίδος, μέχρι τῶν Ἄλπεων καὶ ἄχρι Γαλατῶν νέμονται, ὥς φησι Δίων, καὶ ἕτεροι ἀκριβέστατοι ἱστορικοὶ, συγγραφεῖς τε, καὶ γεωγράφοι.

1313. Τετράπτιλον ὕδρον.] δικέφαλον δράκοντα, ἤτοι δύο ζεύγη πτερύγων ἔχοντα· αἱ γὰρ δύο ζεύγη δ' πτεροὺς ἔχουσιν. Ὕδρον δὲ, τὸν δράκοντα εἶπεν, εἶδος λαβὼν ἀντὶ εἴδους. Θρόνοις.] φαρμάκοις τῆς Μηδείας, παρὰ τὸ θορεῖν, θόρωνα καὶ θρόνα.

1315. Καὶ λέβητι δαιτρευθεὶς δέμας.] φασὶν ὅτι ἡ Μήδεια τὸν Ἰάσονα ἑψήσασα, νέον ἐποίησεν.

1316. Ἐρράου.] τοῦ κριοῦ· ὁ δὲ Καλλίμαχος λέγει τὸν κάπρον, παρὰ τὸ ἐρσύειν, τὸ ὁρμᾶν.

1317. Ἀλλ' αὐτόκλητον.] αὐτομόλησε γὰρ καὶ ἡ Μήδεια πρὸς τὸν Ἰάσονα. Κεραΐδα.] τὴν Μήδειαν λέγει· κεραὶς γὰρ, ὄρνεον μακρότραχλον, καταφιλὲς πρὸς συνουσίαν. κεραΐδα δὲ ταύτην λέγει, παρ' ὅσον κατέταξεν ἑαυτὴν διὰ τὴν λύπην τὴν ἐπιγεγάμου Ἰάσονος.

1318. Τὴν γνωτοφόντιν, καὶ τέκνων ἀλάστορα.] τὴν ἀπολέσασαν καὶ φονεύσασαν τὸν ἀδελφὸν αὐτῆς Ἄψυρτον· ἡ γὰρ Μήδεια φυγοῦσα, καὶ διωκομένη παρὰ τοῦ ἀδελφοῦ αὐτῆς Ἀψύρτου, τοῦτον λαβοῦσα, [3] ταύτην καταλαβόντος, ἀνεῖλεν· ὕστερον δ' ἐν Κορίνθῳ, καὶ τοὺς ἐξ Ἰάσονος αὐτῆς παῖδας [4] Μέρμερον καὶ Φέρητα, διὰ τὴν πρὸς Ἰάσονα ζηλοτυπίαν, ὅτι ἀπολιπὼν αὐτὴν, ἔγημε Γλαύκην, τὴν θυγατέρα Κρέοντος, τοῦ βασιλέως τῶν [5] Κορινθίων.

1319. Εἰς τὴν λάληθρον κίσσαν.] τὴν Ἀργὼ λέγει, ὅτι ὁ ἱστὸς αὐτῆς ἐκ τῆς Δωδωναίας δρυὸς ἦν, φωνήεσσα καὶ λάλος. Κίσσαν δὲ, αὐτὴν καλεῖ, ἐπειδὴ τὸ ὄρνεον, ἡ κίσσα, μιμητικόν ἐστι φωνῆς ἀνθρωπίνης, ὡς καὶ ἡ Ἀργώ· * πάντα δὲ περιήχησα. *

1322. Πάλιν δ' ὁ πέτρας ἀσκέρας.] τὴν περὶ Θησέως, τοῦ ξίφους, καὶ τῶν ὑποδημάτων * τοῦ Αἰγέως ἱστορίαν, * τῶν ὑπὸ τὴν Κολυραίαν πέτραν, πάλιν διαλαμβάνει· Κολουραίαν γὰρ αὐτὴν ὁ Καλλίμαχος καλεῖ,

Ἔργα [6] δέ μιν Τροιζῆνι Κολυραίῃ ὑπὸ πέτρῃ
Θῆκε σὺν [7] ἀρπίδεσσιν. ———

Ἀσκέρας.] εἶπον ὄπισθεν, ὅτι τὰ περὶ τοὺς πόδας πιλία, ἤτοι τὰ ὀρτύεια λέγει), ὁ δὲ Λυκόφρων τὰ ὑποδήματα λέγει.

1324. Ὁ Φημίου παῖς.] ἀντὶ τοῦ Φημιάδης· [8] κατὰ τοῦτο γὰρ ὁ Φημίου παῖς Θησεύς· φησὶ γὰρ τὸν Αἰγέα Φημίου εἶναι παῖδα, Αἰγέως δὲ Θησέα. καὶ ὅτι μὲν Αἰγέως καὶ Αἴθρας υἱὸς ὁ Θησεὺς, ἀληθές· ὁ δὲ Αἰγεὺς Πανδίονος υἱὸς ἦν, ἀλλ' οὐ Φημίου. Σκῦρος.] νῆσός ἐστιν ἡ Σκῦρος μία τῶν Κυκλάδων, ἧς ἐβασίλευε Λυκομήδης, Δολόπων τὴν νῆσον οἰκούντων. ἐν γεωῇ

EMENDATIONES.

1 Οἱ δὲ Κόλχοι, pro ἡ δὲ Κόλχοι. Bar & Grav. 2 Λαζικὸν Bar. & Grav. 3 Ταύτην καταλαβόντος, pro ταύτης καταλαβ. ex Seld. 4 Μέρμερον lego cum Bar. & Grav. Nam alterum ex Medeæ filiis eo nomine notum fuisse, constat ex supra dictis. Μέρμηρον Impress. Μέρμερον Seld. 5 Κορινθίων, pro Κορίνθου. ex Seld. * Ex Bar. & Grav. * Hoc etiam adjeci ex Bar. 6 Δέ μιν, pro δὲ μοί, ex Grav. 7 Ἀρπίδεσσιν Seld. ἀρπίδεσσι Bar. 8 Hunc locum Impress. Codd. sic corrupte proferunt, κατὰ τοῦτο γὰρ ὁ φημιάδης παῖς Θησεὺς φησι, τὸν &c.

τὸ

Κρημνῶν ἔνερθεν αἰγίλιψ [a] ῥοιζημένων	Ardua ſub præcipitiis deturbato
Πάλαι δοκεύει τὰς ἀταρχύτους ῥιφάς,	Jampridem ſervat inſepultos jactus,
Σὺν θηρὶ βλώξας τῷ σπάσαντι δηΐας	Cum Leone veniens initiato, qui bellicæ
Μύστῃ Τροπαίας μαστὸν εὔθηλον θεᾶς,	Suxerat uberem Trophææ mammam Deæ,
Ζωστηροκλέπτης, νεῖκος [b] ὤρινεν διπλοῦν,	Fur balthei, rixam excitavit duplicem,
[c] Στόρνην τ᾽ ἀμέρσας, καὶ Θεμισκύρας ἄπο	Tum zonam auferens, tum ex Themiſcyra
Τὴν [d] τοξοδάμνον νοσφίσας Ὀρθωσίαν·	Sagittariam rapiens Orthoſiam;

VARIANTES LECTIONES.

a Ῥοιζημένον repoſuit *G. Canterus*, cujus Adnotationes videndæ. b Ὤρσεν ſine ν finali *MSS.* uterque, & alii. c Στέρνην *Bar.* d Τοξόδαμνον paroxyt al. Utroque in loco tonum habet *Seld.*

τῇ Σκύρῳ ταύτῃ Θησεὺς, ἢ ἀγχοῦ ἔχων, κατὰ Πλούταρχον, καὶ φιλίαν πρὸς τὸν Λυκομήδην, καὶ φοβηθεὶς διὰ τὴν ἁρπαγὴν τῆς Ἑλένης, καὶ τὴν κατ᾽ αὐτοῦ ἐκστρατείαν τῶν Διοσκούρων, ἦλθε πρὸς Λυκομήδην, καὶ διέτριβε περὶ τὴν νῆσον· ἢ κατά τινας, ὅτι ὑπόνοιαν παρέσχεν, ὅτι μέλλει τυραννεῖν ἐν Ἀθήναις· ἢ καθ᾽ ἑτέρους, ὅτι ὑπὸ Λύκου, τοῦ Αἰγέως ἀδελφοῦ, ἢ διὰ τὸν [1] φόνον τῶν Παλλαντιδῶν, ἢ διὰ τὴν Ἱππολύτου ἀναίρεσιν, ἐξεβλήθη τῶν Ἀθηνῶν, καὶ οὕτως φυγὰς ἦλθεν εἰς Σκῦρον· κακεῖ δὲ νεωτεριζόμενον ὁ Λυκομήδης αὐτὸν [2] ἰδὼν, καὶ δειλιάσας περὶ τῆς ἀρχῆς, ἀναγαγὼν ἐπί τινα λόφον, καὶ δῆθεν τὰ ὑποδείξων κατεκρήμνισε καὶ ἀπώλεσεν αὐτόν.

1327, 1328. Σὺν θηρὶ βλώξας.] πάλιν ὁ Θησεὺς σὺν τῷ Ἡρακλεῖ ἐλθὼν εἰς τὴν Σκυθίαν πρὸς τὰς Ἀμαζόνας, δευτέρου παρεσκεύασε νεῖκος εἰς τοὺς Ἕλληνας, διὰ τὸν Ἱππολύτης ζωστῆρα, καὶ Ἀντιόπην τὴν Ἀμαζόνα, ἐξ ἧς Θησεὺς ἔσχεν Ἱππόλυτον. ἡ δὲ ἱστορία τοιαύτη· Ἀδμήτη, ἡ Εὐρυσθέως θυγάτηρ, ἐπιθυμήσασα τὸν Ἱππολύτης κτήσασθαι ζωστῆρα, καὶ δὴ ἐνὶ πλοίῳ Ἡρακλῆς μετά τε Θησέως, καὶ ἑτέρων, εἰς Θεμισκύρας λιμένα [3] ἦλθε, καὶ ἡ Ἱππολύτη τὸν ζωστῆρα τούτῳ ὑπέσχετο δοῦναι· Ἥρα δὲ ὁμοιωθεῖσα γυναικὶ, τῶν λοιπῶν Ἀμαζόνων ἔλεγεν, ἁρπάξαι τοὺς ξένους τὴν Ἱππολύτην· ἐνόπλων δὲ αὐτῶν ὡς πρὸς μάχην κατελθουσῶν, Ἡρακλῆς ἀντιλαβόμενος κτείνει τὴν Ἱππολύτην, καὶ τὸν ζωστῆρα λαβὼν, Εὐρυσθεῖ καὶ τῇ θυγατρὶ αὐτοῦ ἀποκομίζει. καὶ Ἀπολλόδωρος μὲν καὶ λοιποὶ ἀναιρεθῆναι φασὶν ὑφ᾽ Ἡρακλέους τὴν Ἱππολύτην. Ἀπολλώνιος δὲ οὕτω φησί,

[4] Γνάμψαν Ἀμαζονίδων ἔκαθεν λιμενόσχεον ἄκρην,
Ἔνθα ποτὲ [5] προμολοῦσαν Ἀρητιάδην Μελανίππην,
Ἥρως Ἡρακλέης ἐλοχήσατο, καί οἱ ἄποινα
[6] Ἱππολύτη ζωστῆρα παναίολον ἐγγυάλιξεν,
[7] Ἀμφικασιγνήτη, ὁ δ᾽ ἀπήμονα πέμψεν [8] ὀπίσσω.

Ἕτερος δέ τις ὅμοια τοῖς προτέροις φησί,

——— Τελαμὼν ἀκίχητος αὐτῆς
Ἡμετέροις ἑτάροισι φόνος [9] προύπτος ἔθηκε,
Κτείνας [10] ἀνδρολέτειραν ἀμώμητον [11] Μελανίππην,
Αὐτοκασιγνήτην [12] χρυσοζώνοιο ἀνάσσης.

Δηΐας.] τῆς Ἥρας, πολεμία γὰρ ἦν τοῦ Ἡρακλέους. [13] Τροπαίας.] τῆς Ἥρας, παρ᾽ ὅσον καὶ αὐτῇ οἱ νικῶντες, ὥσπερ τῷ Διΐ, τρόπαιον ἀνετίθεντο. Σπάσαντι.] μεταλαβόντι, θηλάσαντι· ἐθήλασε γὰρ Ἡρακλῆς τὴν Ἥραν παῖς ὢν, Ἀθηνᾶς φερούσης αὐτὸν, καὶ πεισάσης τὴν Ἥραν θηλάσαι αὐτὸν, διὸ καὶ ἀπαθανατίσθη. Μαζὸς δὲ, ὁ ἀνδρεῖος, παρὰ τὸ μὴ ἐδωδῆς· μαστὸς δὲ, ὁ γυναικεῖος, ὁ μαστὸς ὢν γάλακτος. Μύστῃ.] τῷ Ἡρακλεῖ, διότι ἐμυήθη ἐν Ἐλευσῖνι τὰ δι᾽ αὐτὸν λεγόμενα μικρὰ Μυστήρια. Εὔμολπος γὰρ, οὐχ ὁ Θρᾷξ κατὰ Ἴστρον, ἀλλ᾽ ὁ θεὶς τὰ Μυστήρια, ἐκώλυσε ξένους μὴ μυεῖσθαι· ἐλθόντος δὲ τοῦ Ἡρακλέος ἐν Ἐλευσῖνι, καὶ θέλοντος μυεῖσθαι, τὸν μὲν τοῦ Εὐμόλπου νόμον φυλάττοντες, θέλοντες δὲ καὶ τὸν κοινὸν εὐεργέτην Ἡρακλέα θεραπεῦσαι, οἱ Ἐλευσίνιοι ἐπ᾽ αὐτῷ τὰ μικρὰ ἐποιήσαντο Μυστήρια· οἱ δὲ μυούμενοι μυρσίνῃ ἐστέφοντο.

1329. Ζωστηροκλέπτης.] ἤγουν ὁ Θησεὺς φησὶ λαβὼν τὸν ζωστῆρα τῆς Ἱππολύτης, καὶ δωρήσας τῷ Ἡρακλεῖ, αὐτὸς δὲ ἔλαβε τὴν Ἱππολύτην, κατὰ τοῦτον τὸν Λυκόφρονα, ἐξ ἧς ἔσχε τὸν σώφρονα Ἱππόλυτον. μετὰ δὲ θάνατον αὐτῆς, ἔλαβε Φαίδραν, ἥτις ἤρα τοῦ Ἱππολύτου, καὶ μὴ [14] ἰσχύσασα ἑλεῖν τοῦτον, ᾠκοδόμησε ναὸν τῇ Ἀφροδίτῃ, Ἐρωτικὸν αὐτὸν καλέσασα. εἶτα διὰ τὸ πολὺν ἔρωτα ἔχειν αὐτὴν, εἰς νόσον ἐνέπεσε, καὶ τῆς τροφοῦ αὐτῆς ἐκ μακρᾶς ἀναγκαζούσης αὐτὴν εἰπεῖν, μετά τινα χρόνον ἀνήγγειλεν· ἡ δὲ φαρμάκοις βουλομένη λῦσαι τὸν ἔρωτα αὐτῆς, καὶ μὴ δυναμένη, εἰσῆλθε πρὸς τὸν Ἱππόλυτον, κἀκεῖνος δὲ μὴ δεξάμενος τὸ ταύτης ῥῆμα, ἀπεδίωξε μετ᾽ ὀργῆς· ἡ δὲ Φαίδρα γνοῦσα, ἑαυτὴν ἀπέπνιξεν. νῦν ἡμεῖς δὲ τοῦτον λέγομεν, ὅτι Θησεὺς ἐξ Ἀντιόπης τὸν Ἱππόλυτον ἔσχεν, οὐχὶ ἐξ Ἱππολύτης· ἐκείνη μὲν γὰρ οὐκ ἀπώλετο, λαβόντος Ἡρακλέους τὸν ζωστῆρα παρὰ Μελανίππης, τῆς αὐτῆς ἀδελφῆς· ἡ Ἱππολύτη μὲν ἀνῃρέθη παρ᾽ Ἡρακλέους, Μελανίππη δὲ παρὰ τοῦ Τελαμῶνος.

1330. Θεμίσκυρα.] πόλις Παφλαγονίας καὶ Ἀμαζόνων, ἔνθα Θεμισκύρειαι αἱ Ἀμαζόνες λέγονται.

1331. Τὴν τοξοδάμνον.] οἱ μὲν ἄλλοι πάντες προπαροξύτονον Τοξόδαμνον γράφουσιν, ἐγὼ δὲ παροξυτόνως· τὰ γὰρ προπαροξύτονα πάθος δηλοῦσιν, οἷον τοξόδαμνον, τὴν δαμαζομένην ὑπὸ [15] τόξων· τοξοδάμνον δὲ, τὴν δαμάζουσαν

EMENDATIONES.

1 Φόνον τῶν Παλλαντιδῶν, pro φόνον &c. ex *Bar.* & *Grav.* Nam Theſeus Pallantem, ejuſque filios devictos occiderat. *Pauſanias* Atticis: Χρόνῳ δὲ ὕστερον Πάλλας, καὶ οἱ τούτου παῖδες ἐπαναστάντες Θησεῖ τούτους κτείνας, ἐς Τροιζῆνα ἔρχεται καθαρσίων ἕνεκα. Idem teſtatur *Plutarchus* in vita Theſei. *Euripides*, ejuſque *Scholiaſtes* Hippolyto, & alii. 2 Pro ἰδὼν. *MSS.* uterque habent ὑποπτεύσας, quod equidem malim; quia, ut Hiſtoricorum turba tradit, Theſeus, ob rerum novarum moliendarum ſuſpicionem, à Lycomede interfectus eſt. 3 Ἦλθε, pro ἦλθεν, ex *Seld.* Deinde ἡ Ἱππολύτη, pro Ἱππολύτης, ex *Grav.* 4 Μέψαν *Bar.* 5 Περμολοῦσαν Ἀρητιάδα *Bar.* Ἀρητιάδην *Seld.* 6 Ἱππολύτης *Bar.* 7 Αὐτοκασιγνήτη *Bar.* αὐτοκασιγνήτης *Grav.* 8 Ὀπίσσω, pro ὀπίσω, ex *MSS.* utroque, metro id exigente. 9 Πρόφρονος *Seld.* προύπτος *Bar.* 10 Ἀνδρολέτειραν, pro ἀνδρολέτειραν, ex *MSS.* utroque. 11 Μελανίππην *MSS.* uterque. 12 Χρυσοζώνοιο, pro χρυσοζώνης, ex *MSS.* omnibus, metro id exigente. 13 Τροπαίας δὲ τῆς αὐτῆς παρ᾽ ὅσον *Bar.* idemque fere habet *Grav.* Τροπαίας τῆς Ἥρας.] παρ᾽ ὅσον *Impreſſ.* 14 Ἰσχύσασα, pro ἰσχύσας, ceterum totam hanc de Phædra narrationem omiſerunt *MSS.* Codd. ejuſque locu hoc habet *Bar.* Ἡμεῖς δὲ οὕτως ἀρχόμενοι νῦν δὲ τοῦτο μόνον λέγομεν, ὅτι &c. 15 Τόξων· τοξοδάμνον δὲ, pro τόξων. τοξόδαμνον δὲ, ex *Bar.* ſenſu ita requirente.

Ης αἱ ξυναίμοι, παρθένοι [a] Νεπτυνίδες,	Cujus Sorores, puellæ Neptunides,
Εριν λιποῦσαι, Λάγμον, ἠδὲ [b] Τήλαμον,	Erin relinquentes, Lagmum, Telamum,
Καὶ χεῦμα Θερμώδοντος, Ἀκταῖόν τ' ὄρος,	Et fluvium Thermodontis, Actæumque montem,
Ποινὰς ἀθέλκτους [c] ἁρπαγῆς διζήμεναι,	Pœnas implacabiles rapinæ quærendo,
Ὑπὲρ κελαινὸν Ἴστρον ἤλασαν Σκύθας	Ultra nigrum Istrum Scythicas egerunt
Ἵπποις, ὁμοκλήτειραν ἱεῖσαι βοὴν	Equas, bellicam emittentes vocem
Γραικοῖσιν, ἀμνάμοις τε τοῖς Ἐρεχθέως·	Græcis, & Erechthei nepotibus;
Καὶ πᾶσαν Ἀκτὴν ἐξεπόρθησαν [d] δορί,	Ac totam bello perdiderunt Atticam,
Τὰς [e] Μοψοπείους αἰθαλώσασαι γύας.	Mopsopias inflammantes regiones.
Πάππος δ' ὁ Θρῄκης ἀμὸς αἰστώσας [f] πλάκα,	Post Avus meus Thraciæ vastans arvum,
Χώραν τ' [g] Ἐορδῶν, καὶ [h] Γαλαδραῖον πέδον,	Agrumque Eordorum, & Galadræum solum,
Ὅρους ἔπηξεν ἀμφὶ Πηνειοῦ ποτοῖς,	Terminos fixit circa Penei fluenta,
Στερρὰν βαλὼν ζεύγλαν ἀμφιθεὶς πέδαις,	Forte collo jugum circumdans vinculis,
Ἀλκῇ νέανδρος, [i] εὐπρεπέστατος γύοις.	Viribus adolescens, nobilissimus generis.
Ἡ δ' ἀντὶ τούτων τάρροθον βοηλάτην	At Illa pro istis vindicem Bubulcum

VARIANTES LECTIONES.

a Νεπτυνίδος al. Νεπτυνίδος al. Νεπτυνίδος MSS. uterque, & in Scholiis eandem lectionem defendit Bar. sed Νεπτουνὶς habet Seld. b Τήλαμον Seld. c Ἁρπαγαῖς MSS. uterque, & alii. d Δορὶ Seld. e Μοψοπίους Seld. aliique. Μοψοπείους Bar. f Πλάκας Bar. aliique. g Ἐορδῶν Bar. aliique. Ἐορδῶν al. h Χαλαδραῖον Bar. i Εὐπρεπέστατος MSS. uterque, & alii.

τόξοις· λέγει δὲ τὸν Ἱππολύτην. Ὀρθωσίαν.] Ὀρθωσία, ἡ Ἄρτεμις, ἀπὸ Ὀρθωσίου, ὄρους Ἀρκαδικοῦ, ὡς τιμωμένη ἐκεῖσε· [1] ἢ ὡς ἐπορθοῦσα τὰς τικτούσας, μαιώτειρα γὰρ ἡ θεός. φημὶ γοῦν οὕτως ἐγὼ τὴν τοξικὴν Ἀντιόπην, ἢ, κατά τινας, [2] τὴν Ἱππολύτην, στερήσας τῆς Ὀρθωσίας Ἀρτέμιδος, ὡς φιλουμένην ὑπ' αὐτῆς, ὅτι τοξική. τινὲς δὲ καὶ τὴν Ὀρθωσίαν, ἀντὶ τῆς [3] Ἱππολύτης ὁμώνυμον φασίν.

1332. Ης αἱ ξυναίμοι.] Νεπτουνίς, ἡ Ἀμαζὼν αὕτη ἐκαλεῖτο, ἀφ' ἧς καὶ αἱ λοιπαὶ [4] Ἀμαζόνες, Νεπτουνίδες καλοῦνται. ἐπεστράτευσαν δὲ αὗται τῇ Ἀττικῇ, καὶ νικηθεῖσαι ὑπέστρεψαν εἰς Ἰταλίαν. καὶ οὗτος μὲν διὰ τὸν ζωστῆρα φησὶν αὐτὰς ἐπὶ τὰς Ἀθήνας στρατεῦσαι· Ἑλλάνικος δὲ ὁ Λέσβιος φησίν, ὅτι παγέντος τοῦ Κιμμερικοῦ Βοσπόρου διέβησαν αὐτόν, καὶ ἦλθον εἰς τὴν Ἀττικήν, καὶ τέσσαρας μῆνας πολεμήσασαι ὑπεστράφησαν, οὐ λέγει δὲ τὴν αἰτίαν. Λυσίας δὲ ὁ ῥήτωρ στερῆσαι φησὶν αὐτὰς ἁπάντων ἀνθρώπων τολμῆσαι [5] ἵππων ἐπιβῆναι· τῆς ἀνδρείας * οὖν * αὐτῶν πειρώμεναι, πολλοὺς κατέδραμον τόπους· ἐλθοῦσαι δὲ καὶ περὶ τὴν Ἀττικήν, [6] μάλιστα μέν, ἡττήθησαν δέ. Ἡρόδοτος δὲ ὁ Ποντικὸς τότε φησὶ Θησέα λαβεῖν τὴν Ἀντιόπην, ἣ [7] μαχομένην μετ' αὐτοῦ, καὶ ὑπὸ [8] Μόλπαδος τῆς Ἀμαζόνος ἀκοντισθεῖσαν, καὶ πεσοῦσαν· ἢ φασιν εἰληφέναι τὰς εἰς Ἀθήνας μετὰ ξενίων ἐλθούσας.

1333, 1334. * Ερις, Λάγμος, Τήλαμος, Θερμώδων, ποταμοὶ Σκυθίας. Ἀκταῖον, ὄρος Σκυθίας. *

1340. Γύας.] χώρας. τὸ δὲ γύη καὶ μετὰ προσγεγραμμένου, καὶ δίχα προσγεγραμμένου ὁ λυμαίνεται τὸ μέτρον τοῦ στίχου. Πάππος δέ, ὁ Ἶλος· τινὲς δὲ τὸν Λαομέδοντα φασίν· ὁ γὰρ Λαομέδων κρατήσας τῶν πόλεων, ἃς ὁ Λυκόφρων ἀπαριθμεῖται, ἔκτισε τὴν Τρίαν ἄχρι τοῦ Πηνειοῦ· σημεῖον γὰρ ἡ Τρία μικρόν τι πολίχνιον ἦν.

1342. * Χώραν τ' Ἐορδῶν.] Ἐορδοί, οἱ Μακεδόνες. Χαλαδραῖον δέ, πόλις Μακεδονίας. Πηνειὸς δέ, ποταμὸς Θεσσαλίας· μέχρι θαλάσσης ὁ Ἶλος ἐκράτει. *

1345. Ἀλκῇ νέανδρος.] νέος, ἀνδρεῖος. μετήνεγκε δὲ τὸ Αἰσχύλειον· [9] τὸν ἐν γὰρ ἀνδρὸς παιδί φησιν Αἰσχύλος, οὗτος νέανδρον, ὡς [10] μειρακιάζων, λέγει.

1346. Ἡ δ' ἀντὶ τούτων.] ἡ Εὐρώπη δὲ ἀντὶ τῶν προειρημένων τούτων τὸν Ἡρακλέα τὴν λεοντῆν ἐνδεδυμένον σὺν ἐξ

EMENDATIONES.

1 Η ὡς ἐπορθοῦσα lego cum MSS. omnibus. Nam cur Diana vocetur Ὀρθωσία, duas reddit rationes, quarum hæc altera; absurdu igitur Impress. οἷα ἐπορθοῦσα, cum hæc ratio sit à priore omnino distincta, si non & contraria. 2 Τὴν Ἱππολύτην, στερήσας τῆς Ὀρθωσίας Ἄρτεμιν, ὡς φιλουμένην ὑπ' αὐτῆς, ὅτι ζηλωτὴ Impress. corrupte, & absurde. Nostra lectio, quam Codici Seld. debemus, magis congrua videtur, & ad filum orationis apposita. 3 Ἀνθρώπων ἑταιρώμεν Grav. 4 Ἀμαζόνες, Νεπτυνίδες καλοῦνται, pro Ἀμαζόνες Νεπτυνίδες καλοῦνται. 5 Ἵππων Grav. quod malim. * Ex MSS. omnibus. 6 Μάλιστα μέν, ἡττήθησαν δέ, pro μᾶλλον μὲν ἡττήθησαν, ex MSS. utroque. 7 Μαχομένην Bar. 8 Μόλπαδος, pro Μολπάδος, ex Bar. & Grav. * Hæc adjeci ex penu Barocciano deprompta. Quin & eadem usque ad prius [illegible] occurrunt in Grav. * Hæc adjeci ex Bar. & Grav. 9 Τὸν νέον γὰρ Bar. & Grav. 10 Μειρακιάζων, pro μειρακιάζων, ex Bar. & Grav.

ναυσὶ

Τὸν ἐξάπρυμνον, στέρφει ᵃ ἐγχλαινούμενον	Sex habentem puppes, leoninæ chlamydatum
Στείλασα, λισροῖς αἰπὺν ᵇ ἤρειψε πάγον·	Mittens, altam ligonibus arcem eruit:
Τὸν ἡ παλίμφρων Γοργὰς ἐν κλήροις θεῶν	Quem Gorgas in deorum concilio, mutata ſententia,
Καθιερώσει, πημάτων ᶜ ἀρχηγέτην.	Conſecrabit, cladium princeps.
Αὖθις δὲ κίρκοι Τμῶλον ἐκλελοιπότες,	Deinde accipitres Tmolum deſerentes,
Κίμψον τε, καὶ χρυσεργὰ Πακτωλοῦ ποτά,	Cimpſumque, & auriflua Pactoli fluenta,
Καὶ νᾶμα λίμνης, ἔνθα Τυφῶνος δάμαρ	Ac fluxionem Paludis, in qua Typhonis uxor
Κευθμῶνος αἰνόλεκτρον ᵈ εὐδάζει μυχόν,	Cavernæ infauſto incubat angulo,
ᵉ Ἀγύλλαν Αὐσονῖτιν εἰσεκώμασαν,	In Agyllam Italicam irruerunt,
Δεινὴν Λιγυστίνοισι, τοῖς τ' ᶠ ἀφ' αἵματος	Gravem cum Liguſtinis, & à ſanguine
Ῥίζαν ᵍ γιγάντων ʰ Σιθόνων κεκτημένοις,	Gigantum Sithoniorum ſtirpem ducentibus,
Λόγχης ἐν ⁱ ὑσμίνῃσι μίξαντες ᵏ πάλην·	Belli conflictu miſcentes pugnam:

VARIANTES LECTIONES.

a Ἐχρηπρύμνον Bar. b Ἤρειψε Sold. ἤρειψε Bar. c Ἀρχηγέτις Bar. eandemque lectionem in Scholiis habet. d Εὐδύνει Sold. e Ἀγύλλαν Αὐσονίτην MSS. uterque. f Al. ἀφ' αἵματος. g Γηγενῶν Bar. h Al. Σιθόνων. i Ὑσμίνοισι Sold. k Πάλιν MSS. uterque.

ναυσὶ στείλασα, ἀξίναις καὶ δικέλλαις κατέσκαψε τὸ Ἴλιον. Ἐξάπρυμνον δέ φησι τὸν Ἡρακλέα, ὅτι ἓξ ναῦς ἔχων εἰς τὴν Τροίαν ἦλθεν, ὡς καὶ Ὅμηρος,

Ἐξ [1] οἴῃς σὺν νηυσί, καὶ ἀνδράσι παυροτέροισιν
Ἰλίου ἐξαλάπαξε πόλιν, [2] χήρωσε δ' ἀγυιάς.

Αἰπὺν δὲ πάγον, τὸ Ἴλιον, ὅτι ὑψηλὸν καὶ ὀφρυόεσσα· καὶ Ὅμηρος,

Ἤτοι ἐγὼν εἶμι προτὶ Ἴλιον ἠνεμόεσσαν.

1349, 1350. Τὸν ἡ παλίμφρων] οἱ μὲν τὴν Ἥραν ἀκούουσιν· αὕτη δὲ παλίμφρων τῷ Ἡρακλεῖ γέγονε· πρότερον γὰρ αὐτὸν μισοῦσα, ὕστερον ἐπὶ τῇ θυγατρὶ Ἥβῃ γαμβρὸν ἐποίησε. Γοργάδα.] τὴν ἐμποιοῦσαν φόβον, ἤγουν τὴν γοργῶπιν. Καθιερώσει δέ, ἀντὶ τοῦ θεὸν ποιήσει. Πημάτων δὲ ἀρχηγέτιν, ἐπειδὴ [3] παραίτιος τῷ Ἡρακλεῖ τῶν ἄθλων ἐγένετο. Ἄλλοι δὲ ταῦτα ἐπὶ τῆς Ἀθηνᾶς ἀκούουσι καὶ Παλίμφρονα μὲν τὴν συνετήν. Γοργάδα δέ, τὴν ἐπὶ τοῦ στήθους [4] ἔχουσαν τὸ Γοργόνειον. Πημάτων δὲ ἀρχηγέτιν, ὅτι συνηγόρει τῷ Ἡρακλεῖ ἐν τοῖς πόνοις, βοηθοῦσα αὐτῷ. Καθιερώσει δέ, θεοποιήσει ἡ Ἥρα, οἱ μὲν ὅτι αὐτὸν ἐθήλασεν· ἄλλοι δέ, ὅτι γαμβρὸν αὐτὸν ἔσχεν ἐπὶ Ἥβῃ τῇ θυγατρί. [5] Σώτας δ' ὁ Βυζάντιος ἐν Θεῶν λόγοις, θεὸν γενέσθαι φησὶ τὸν Ἡρακλέα, γίγαντα τὸν Πορφυρίωνα ἀνῃρηκότα, Ἥραν ἀναγκάζοντα πρὸς γάμον [6] βίαν.

1351. Αὖθις δὲ κίρκοι.] Τυρσηνὸς καὶ Λυδὸς Ἄτυος παῖδες ἦσαν, τοῦ [7] Λυδῶν βασιλέως· λιμοῦ δὲ κατασχόντος τὴν Λυδίαν, πρῶτον παιδιαῖς ἐπειρῶντο παρηγορεῖν ἑαυτούς, ἐφευρόντες σφαίρας, καὶ ἀστραγάλους, καὶ λοιπὰς παιδιάς. ὡς δὲ ἀπηγορεύθη τοῦ κακοῦ παιδιαῖς ἰᾶσθαι ἐδύναντο, διαιρεθέντες εἰς δύο, κλήρῳ τὸ πλῆθος κληρώσαντες, ὥστε τοὺς μὲν μένειν [8] ἐν Λυδίᾳ, τοὺς δὲ ἑτέρους ἀπαίρειν εἰς ἀποικίαν· ποιοῦντες * δὲ * ἐπὶ Τυρσηνὸν τὸν κλῆρον τῆς ἀποικίας, σὺν τοῖς μετ' αὐτοῦ ἀπαίρει πρὸς Ἰταλίαν, καὶ καταπολεμήσας τινὰς τῶν ἐκεῖσε, καὶ [9] περιγενόμενος, καὶ νικήσας, βασιλεύει τῆς χώρας, καὶ Τυρσηνίαν ταύτην ἐκάλεσε.

1352. Κίμψος.] κώμη Λυδίας. Πακτωλὸς δέ, ποταμὸς Λυδίας χρυσοῦν ῥεῖν ψῆγμα ἔχων, νῦν δὲ οὐκέτι.

1353. Λίμνην, τὴν Γύγαιαν λέγει, ἢ τὴν Ἀσκανίαν πλησίον δὲ Λυδίας τὰ Ἄριμα ὄρη, ὅπου φησὶν Ἡσίοδος εἶναι τὴν Ἔχιδναν· ταύτῃ δὲ συνεμίγη ὁ Τυφών, καὶ ἐγεννήθη ἐξ αὐτῶν [10] ἑτέρα ἔχιδνα μεγάλη.

1356. Δεινὴν Λιγυστίνοισιν.] ἡ σύνταξις οὕτως· Δεινὴν μίξαντες λόγχης πάλην ἐν ὑσμίναις· τίσι; τοῖς Λιγυστίνοις, τοῖς κεκτημένοις ῥίζαν καὶ γονὴν ἀπὸ τοῦ αἵματος τῶν Σιθόνων καὶ Θρᾳκικῶν γιγάντων, ἢ δεινὴν ῥίζαν γιγάντων. Δοξάζων δὲ ἐπ' ἀνδρείας τοὺς Τυρσηνοὺς καὶ Ἰταλούς, λέγει συγγενεῖς εἶναι αὐτοὺς τῶν Θρᾳκικῶν γιγάντων· οἱ γὰρ γίγαντες ἐκ Θρᾴκης γενόμενοι περὶ [11] Τυρσηνίαν καὶ Ἰταλίαν ἐν ταῖς Πιθηκούσαις νήσοις ᾤκησαν· διὰ δὲ τὸ ταῦτα λέγειν, πλέον δοξάζει τοὺς μετὰ Τυρσηνοῦ Λυδούς, [12] τοὺς καταπολεμήσαντας τοὺς λεγομένους εἶναι γένος τῶν Σιθωνικῶν γιγάντων. Σιθὼν δέ, βασιλεὺς ἦν Θρᾴκης. Ὀμβρον.] [13] Ὄμβροι, γένος Γαλατῶν, καὶ Σαλπίων.

EMENDATIONES.

1 Οἴῃς, pro ἕξ, ex Bar. & ipſo Homero. 2 Χήρωσεν Sold. 3 Παραίτιος MSS. 4 Ἔχουσαν τὸ Γοργόνειον lego cum Bar. & Grav. quibuſcum conſentit Sold. niſi quod Γοργόνειον habeas. τρίχωσιν τὸ γοργὸν Impreſſ. 5 Σώτας Sold. & Grav. 6 Βίαν lege cum Sold. niſi malis βίᾳ. ſed βίαν Impreſſ. 7 Λυδῶν, pro Λυδοῦ, ex MSS. omnibus. Notum enim eſt ex Herodoto, aliiſque, Tyrrhenum & Lydum in regione Lydia dicta natos eſſe. 8 Ἐν Λυδίᾳ, pro εἰς Λυδίαν, ex MSS. omnibus. * Ex Bar. & Grav. 9 Περιγενόμενος, pro περιγενόμενος ex MSS. omnibus. 10 Ἑτέρα, pro ἑτέρως. 11 Τυρσηνίαν, pro Τυρρηνίαν, ex Bar. & Grav. Τυρσηνίας Sold. 12 Τοὺς καταπολεμήσαντας, pro καὶ πολεμήσαντας, ex Grav. 13 Ὄμβροι, pro Ὄμβρος.

Εἷλον δὲ Πίσσαν, καὶ [a] δορύκτητον χθόνα	Ceperunt autem Pifam, captivamque terram
Πᾶσαν κατειργάσαντο, τὴν Ὀμβρῶν πέλας,	Omnem fubegerunt prope Umbros fitam,
Καὶ Σαλπίων βεβῶσαν ὀχθηρῶν πάγων.	Et Alpium collocatam fuper turgidos colles.
Λοῖσθος δ' [b] ἐγείρει [c] γρυνὸς ἀρχαίαν ἔριν,	Ultimus autem excitat antiquam Torris litem,
Πῦρ εὗδον ἤδη τὸ πρὶν ἐξάπτων φλογὶ,	Ignem jam fopitum flamma redaccendens,
Ἐπεὶ Πελασγοὺς εἶδε Ῥυνδακοῦ ποτῶν	Poftquam Pelafgos vidit Rhyndaci fluminum
Κρωσσοῖσιν ὀθνείοισι βάψαντας γάνος.	Laticem peregrinis tingentes urnis.
Ἡ δ' αὖτις οἰστρήσασα τιμωρουμένη,	Tum illa œftro percita rurfus ulcifcens,
[d] Τριπλᾶς τετραπλᾶς ἀντιποίσεται βλάβας,	Tripla quadrupla rependet damna,
Πορθοῦσα χώρας ἀντίπορθμον ἠόνα.	Vaftans oppofitum regionis litus.
Πρῶτος μὲν ἥξει Ζηνὶ τῷ Λαπερσίῳ	Primus quidem veniet Jovis Laperfii
Ὁμώνυμος Ζεὺς, ὃς καταιβάτης [e] μολὼν,	Cognominis Jupiter; qui accedens Defcenfor,
Σκηπτῷ πυρώσει πάντα δυσμενῶν σταθμά·	Cuncta fulmine inflammabit hoftium ftabula:
Σὺν ᾧ θανοῦμαι, [f] κἂν νεκροῖς [g] στρωφωμένη,	Quocum moriar, & apud inferos verfans,
Τὰ λοίπ' ἀκούσω ταῦθ', ἃ νῦν μέλλω [h] θροεῖν.	Reliqua audiam hæc, quæ nunc fum dictura.
Ὁ δεύτερος δὲ, τοῦ πεφασμένου κέλωρ	Secundus, Occifi in retibus,
Ἐν ἀμφιβλήστροις, ἔλλοπος μυνδοῦ δίκην,	Muti pifcis ritu, Filius

VARIANTES LECTIONES.

a Δορίκτητον Bar. b Al. ἐγείρει. c Γρυνὸς Bar. d Τριπλᾶς τετραπλᾶς Bar. & τετραπλᾶς etiam habet Sold. e Μολὼν Sold. f Al. κἀν. g Στρωφωμένη Sold. h Θροεῖν Bar.

1361. Καὶ Σαλπίων.] οὐ Σάλπια, ἀλλὰ Ἄλπια, ὄρη Εὐρωπαῖα μέγαλα τῆς Ἰταλίας ἐν μέσῳ, ἀφ' οὗ ῥεῖ ὁ Ἴστρος· ἄλλο δὲ, ἀφ' οὗ ὁ Ῥῆνος. Ἄλπια δὲ, τὰ ὄρη ἐκλήθησαν, ἀπό τινος Ἄλπιδος ὑπὸ τοὺς τόπους ἀνῃρημένου.

1369. Ζηνὶ τῷ Λαπερσίῳ.] Λαπέρσαι, δῆμος Ἀττικῆς, ἔνθα Διὸς Ἀγαμέμνονος ἐστὶν ἱερόν· ὁμώνυμος σὺν τῷ Λαπερσίῳ Διῒ Ἀγαμέμνων, ὅστις ἐπὶ Τροίαν ἐστράτευσεν.

1374. Ὁ δεύτερος δὲ.] Ὀρέστης μετὰ τὸ ἀνελεῖν Αἴγισθον καὶ Κλυταιμνήστραν, διωκόμενος ὑπὸ Ἐριννύων, φεύγει πρὸς Ἀθηναίους ἐν τῇ τῶν Ἀνθεστηρίων ἑορτῇ, βασιλεύοντος Δημοφῶντος, καὶ κρίνεται ἐν Ἀρείῳ πάγῳ, ἢ μᾶλλον Ἐριννύων, ἢ Τυνδάρεω, ἢ [1] Ἠριγόνης, τῆς Αἰγίσθου καὶ Κλυταιμνήστρας θυγατρός· ἴσων δὲ γενομένων τῶν ψήφων, ἀπελύθη. ἔχρησε δὲ ὁ θεὸς τῆς μανίας αὐτὸν ἀπαλλαγήσεσθαι, εἰ τὸ ἐν Ταύροις ξόανον τῆς Ἀρτέμιδος μετακομίσει· οἱ δὲ Ταῦροι, μοῖρα Σκυθῶν. παραγενόμενος δὲ μετὰ Πυλάδου, καὶ κρατηθεὶς παρὰ βουκόλων, ἤχθη δέσμιος σὺν τῷ Πυλάδῃ πρὸς Θόαντα τὸν βασιλέα. ὁ δὲ αὐτοὺς πρὸς τὴν ἱέρειαν Ἰφιγένειαν ἔπεμψε, μεθ' ἧς καὶ τοῦ ἀγάλματος φεύγουσι· χειμασθέντες δὲ, ἐξώκειλαν περὶ τὰ τῆς [illegible] νῦν λεγομένης μάχης, περὶ τὴν Ἀντιόχειαν, καὶ τὸ Μελάντιον ὄρος, ὃ ὑπὸ τῆς παύσεως τῆς Ὀρέστου ἐκεῖ τῆς μανίας, Ἄμανον ἐκλήθη. ὕστερον δὲ ἐλθὼν εἰς Ἀθήνας, καὶ Πυλάδῃ μὲν Ἠλέκτραν ζευγνύει· αὐτὸς δὲ μετὰ τὸ τῶν ἀδελφῶν ἀνελεῖν Νεοπτόλεμον τὸν Ἀχιλλέως, ἔγημεν Ἑρμιόνην, ἐξ ἧς γεννᾷ Τισαμενόν. ἢ, κατά τινας Ἠριγόνην γήμας τὴν Αἰγίσθου, Πένθιλον γεννᾷ, οἰκῶν ἐν Ὀρεστείᾳ τῆς Ἀρκαδίας, ὅπου ὑπὸ ὄφεως δηχθεὶς ἀναιρεῖται. Ἄλλοι δέ φασιν, ὅτι μετὰ τὴν ἀναίρεσιν Αἰγίσθου καὶ Κλυταιμνήστρας, [2] παρὰ τοῖς Ἀζᾶσιν Ἀρκάσιν ἐνιαυτὸν Ὀρέστης ἐνδιατρίψας, ὡς Εὐριπίδης φησὶ, χρησμὸν ἔλαβε στέλλεσθαι πρὸς ἀποικίαν, ὃς [3] συνάξας ἐκ διαφόρων ἐθνῶν λαοὺς, οὓς ἐκάλεσεν Αἰολεῖς, διὰ τὸ ἐκ διαφόρων εἶναι, ἐλθὼν εἰς Λέσβον. καὶ αὐτὸς μὲν ταχὺ ἀπέθανεν, πάλιν κτίσαι ἐκ διαδοχῆς ἀπόγονος ὁ τούτου καλούμενος Γρᾶς, μετὰ ἑκατὸν ἔτη κυριεύσας τῆς Λέσβου, πάλιν ἔκτισε. Κέλωρ δὲ, υἱὸς ὁ ἀπόγονος Γρᾶς ἐρρέθη. τὰ δὲ περὶ τῆς ἀποικίας Λέσβου Ἑλλάνικος ὁ Λέσβιος ἱστορεῖ ἐν πρώτῳ Αἰολικῶν.

1375. Ἐν ἀμφιβλήστροις.] περιέσον δίκην ἰχθύος ἐμπεσὼν ἐν τῷ χιτῶνι ὁ Ἀγαμέμνων ἀνῃρέθη· ἡ γὰρ Κλυται-

EMENDATIONES.

1 Ἠριγόνης, ex MSS omnibus, pro Ἐριγόνης. quinetiam Ἠριγόνη paulo poft habent Impreff. 2 Παρὰ, pro περὶ, ex Grav. 3 Συνάξας, pro συναγαγὼν, ex MSS. omnibus.

μνήστρα,

Καταιθαλώσει γαῖαν ὀθνείαν [a] μολὼν,
Χρησμοῖς Ἰατροῦ σὺν πολυγλώσσῳ στρατῷ.
Τρίτος δ᾽, ἄνακτος τοῦ [b] δρυηκόπου [c] γόνος,
Τὴν τευχοπλάστιν παρθένον [d] Βραγχησίαν
Παρθιολίξας βῶλον ἐμπεφυρμένην
Νασμοῖς ὀρέξαι τῷ κεχρημένῳ δάνος,
Σφραγῖδα δέλτῳ δακτύλων ἐφαρμόσαι,
Φθειρῶν ὀρείων [e] στήσεται μοναρχίαν,
Τὸν πρωτόμισθον [f] Κᾶρα δῃώσας στρατόν·
Ὅταν κόρη [g] κασωρὶς εἰς [h] ἐπείσιον

Comburet externam regionem, ubi venerit
Ex oraculo Medici multilingui cum exercitu.
Tertius, regis Lignatoris Filius,
Figulam virginem Milesiam
Inducens ad glebam maceratam
Aqua præbendum indigenti dono,
Ad imprimendum chartæ manus sigillum,
Montanum Phthirorum condet imperium,
Primo mercenario Care destructo exercitu:
Quando Puella meretrix in pudendum

VARIANTES LECTIONES.

a Μολὼν Seld. b Al. δρυκόπου. c Γόνος Bar. d Βραγχισίαν Bar. e Νάσσεται al. f Κάρα al. Καρ[illegible] Seld. aliique. g Κασωρὶς al. h Ἐπείσιον Seld. aliique.

μνήστρα, τοῦτο βραδύνοντος, ἐποίησεν αὐτῷ χιτῶνα ἔξοδον μὴ ἔχοντα, καὶ ἐλθόντος Ἀγαμέμνονος, περιχαρῶς ὑποδεξαμένη τοῦτον, καὶ χιτῶνα ἐνδύσασα, τοῦτον ἀπέκτεινεν, ὥσπερ τινὰ ἰχθῦν. ὁ δὲ Ὅμηρος ἐν τῇ τραπέζῃ αὐτόν φησιν ἀναιρεθῆναι ὑπὸ Αἰγίσθου, καὶ τῶν ὁμιλησάντων λοιπῶν ἐν τῷ φόνῳ αὐτοῦ, καὶ φησίν,

—— [1] ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.

εἶτα ἀνδρωθέντος τοῦ παιδὸς Ὀρέστου, ἀπέκτεινε τὸν Αἴγισθον, ὡς φονέα τοῦ πατρὸς καὶ μοιχόν, καὶ τὴν μητέρα. Ἔλλοπος δέ, τοῦ ἀφώνου ἰχθύος, παρὰ τὸ μὴ ἔχειν αὐτὸν ὄπα· χωρὶς γὰρ τῶν ἄλλων ἰχθύων φωνητικός ἐστιν ὁ σκάρος.

1378. Τρίτος δ᾽, ἄνακτος.] τρίτον φησὶ Νηλέα τὸν Κόδρου εἰς Ἀσίαν παραγενέσθαι. Δρυηκόπου δέ, λέγει τὸν Κόδρον, ἐπειδὴ πολεμούντων Λακεδαιμονίων τοῖς Ἀθηναίοις, χρησμὸν ἔλαβον οἱ Λακεδαιμόνιοι, φυλάττεσθαι κτείνειν τὸν τῶν Ἀθηναίων στρατηγόν. μαθὼν δὲ ὁ Κόδρος, ἔλαβεν ὑλοτόμου σκευήν, καὶ ἀποκτείνας τινὰ Λακεδαιμόνιον ἐπίτηδες, ὡς φρυγανιζόμενος καὶ αὐτὸς ἀνῃρέθη· μαθόντες δὲ τοῦτο οἱ Λακεδαιμόνιοι, ἀπηλλάγησαν. [2] γράφει δὲ τοιοῦτόν τι Δοῦρις, Διόδωρος, καὶ Δίων, ὅτι Σαμνιτῶν, Τυῤῥηνῶν, καὶ ἑτέρων ἐθνῶν πολεμούντων Ῥωμαίοις, ὁ Δέκιος ὕπατος Ῥωμαίων, συστρατηγὸς ὢν Τορκουάτου, οὕτω ἐπέδωκεν ἑαυτὸν εἰς σφαγήν, καὶ ἀνῃρέθησαν τῶν ἐναντίων [3] χιλιάδες ἑκατὸν αὐθημερόν. Κόδρου δὲ τελευτήσαντος, Μέδων καὶ Νηλεύς, οἱ τούτου παῖδες, ἤριζον περὶ βασιλείας· ἐχρήσθη γοῦν αὐτοῖς, τὸν δὲ πρῶτον θύσαντα, ἔνθα ὁ σίαλος τὸν σίαλον τρίβῃ, λαβεῖν τὴν βασιλείαν. ὁ Μέδων γοῦν θεασάμενος δύο ἐλαίας κινουμένας, καὶ τριβούσας [4] ἀλλήλας, καὶ [5] πρίσματα ποιούσας, θύσας ἐκεῖ, βασιλεύει τῆς Ἀττικῆς. Νηλεὺς δὲ πάλιν χρησμὸν λαβών, ἤκουσε,

Νηλεῦ, [6] φράζευ ὅπως [7] ἀδίκων [8] Καρῶν γένος ἀνδρῶν.

λαβὼν οὖν Ἴωνας τοὺς ἐλαθέντας ὑπὸ τῶν Ἀχαιῶν, ἀπαγόμενος εἰς τὴν Ἀσίαν, καὶ ἐκράτησε [9] Μιλήτου καὶ Καρίας, καὶ ἔκτισε τρεῖς πόλεις, ὥς φησιν Ἀριστείδης ὁ ῥήτωρ, καὶ πολλοὶ τῶν ἱστορικῶν. ἕτεροι δὲ πάλιν φασίν, ὅτι Νηλεὺς χρησμὸν ἔλαβε Δελφικόν, στέλλεσθαι ἐπὶ χρυσοῦς ἄνδρας, δείξειν δὲ αὐτῷ τὴν θυγατέρα· παραγενόμενος δ᾽ εἰς Ἀθήνας, ἤκουσε τῆς θυγατρὸς γυμνῆς τυπούσης τὸ [10] ἐπείσιον, καὶ λεγούσης,

Δίζεο σοὶ μάλα εὖ θαλερὸν πόσιν, ἢ ἐς Ἀθήνας,
Ἢ εἰς Μίλητον, [11] καὶ τεῖχος πίμπλαται Καρσί.

1379. Τὴν τευχοπλάστιν.] τὴν τοῦ κεραμέως θυγατέρα. Βραγχησίαν δέ, τὴν Καρικήν, ἀπὸ Βράγχου τοῦ κτίσαντος τὸ ἐν Μιλήτῳ μαντεῖον. ὁ δὲ Νηλεὺς χρησμὸν εἰλήφει, ἐκεῖ οἰκεῖν, ἔνθα ἂν παρθένος αὐτῷ δῷ γῆν ὕδατι βεβρεγμένην· ἐλθὼν δ᾽ εἰς Μίλητον, παρεκελεύσατο κεραμέως θυγατρὶ δοῦναι αὐτῷ πηλὸν εἰς σφραγῖδα· τῆς δὲ προθύμως διδούσης, Νηλεὺς ἐκράτησε τῆς Μιλήτου, καὶ ἔκτισε τρεῖς πόλεις.

1383. Φθειρῶν ὀρείων.] οἱ μέν φασιν, ὅτι Φθεὶρ υἱὸς ἦν Ἐνδυμίωνος, ἀφ᾽ οὗ καὶ ὁ τόπος ἐκλήθη, καὶ τὸ ὄρος. Ἄλλοι δὲ λέγουσιν, ὅτι Φθεῖρες ὄρος Καρίας ἐστί, διὰ τὸ πολλὰς φθεῖρας ἔχειν· φθεῖρες δὲ λέγονται οἱ καρποὶ τῶν πιτύων, ἤτοι τὰ λεγόμενα στροβίλια, ὅτι ἐοίκασι φθειρσίν, ἐν δὲ τῷ ὄρει ἐκείνῳ πίτυς πολλαί.

1384. Πρωτόμισθον Κᾶρα.] πρῶτοι οἱ Κᾶρες ἐμισθοφόρησαν εἰς στρατείαν, ἤτοι ἐπὶ μισθῷ συνεμάχησαν.

1385. Ὅταν κόρη κασωρίς.] κασωρίς, ἡ πόρνη. Δοκεῖ δὲ ἡ τοῦ Νηλέως θυγάτηρ ἀσελγὴς γενέσθαι, καὶ ὑπό τινος τῶν βαρβάρων διαφθαρῆναι· τοῦ δὲ Νηλέως πάλιν ἐν Μιλήτῳ μαντευομένου ποῦ δεῖ κτίζειν, ὁ θεὸς ἔφη, τὴν θυγατέρα αὐτοῦ δείξειν αὐτῷ. ἀποβὰς δὲ εἶδεν αὐτὴν ἀνασυρομένην τοὺς μηρούς, καὶ λέγουσαν, Τίς μοι θέλει συνουσιάσαι; συνεὶς δὲ ὁ πατὴρ αὐτῆς τὸ λόγιον, ἐκεῖ κατῴκησε. Τὸ δὲ ἑξῆς οὕτως ἔχει· Ὅταν ἡ τοῦ Νηλέως θυγάτηρ τύψασα τὸ αἰδοῖον χλευάσῃ τὰ γυμνάσια παρὰ τὰ τῶν βαρβάρων κάλλιστα, τουτέστιν εἰς τοὺς [12] παρὰ τοῖς Καρσὶ κοινοὺς τόπους, ἐν οἷς αἱ ἑταῖραι διατρίβουσιν· καλοῦνται γὰρ ἐκαλοῦντο τὸ πρότερον.

EMENDATIONES.

1 Ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ, pro ὥς τινα κατέκτανε βοῦν ἐπὶ φάτνῃ, ex Homeri Odyss λ'. 2 Γράφει δὲ τοιοῦτόν τι Δοῦρις, Διόδωρος, καὶ Δίων, pro γράφει τοῦτο Δοῦρις. Διόδωρος δὲ καὶ Δίων, ex MSS utroque. 3 Χιλιάδες, pro χιλιάδας, ex Bar. χιλιάδες Seld 4 Ἀλλήλας, pro ἀλλήλαις, ex MSS. utroque. 5 Πρίσμα ποιούσας Seld. πρίσματα ποιούσας Bar. & Grav. 6 Φράζευ Seld 7 Ἀδίκων Bar. 8 Κάρων Grav. 9 Μιλήτου, pro Μιλήτης, ex Bar. & Grav. 10 Ἐπείσιον Bar. 11 Καὶ τεῖχος, pro κατὰ ἴχος, ex emendatione Guil. Canteri. καὶ τὸ τεῖχος Bar. & Grav. κατίσχει Seld. 12 Παρά, pro περί.

Χλοῦνην ὑλακτήσουσι, κηκάσῃ γάμους	Probra latrans, studebit nuptias
Νυμφεῖα [a] πρὸς κηλωστὰ καρβάνων τελεῖν.	In sponsalibus barbarorum lupanaribus celebrare.
Οἱ δ' αὖ τέταρτοι, τῆς Δυμαντείου σπορᾶς,	Quarti demum, ex stirpe Dymantea,
Λακμώνιοί τε, καὶ [b] Κυταῖοι, Κόδροι,	Lacmonii, Cytinæi, Codrii,
Οἳ [c] Θίγγρον οἰκήσουσι, Σάτνιόν τ' ὄρος,	Qui Thingrum incolent, Satniumque montem,
Καὶ χερρόνησον τῆς πάλαι ληκτηρίαν	Et margineam Peninsulam ejus, Qui olim
Θεᾷ Κυρίτᾳ πάμπαν ἐστυγημένην,	Deæ Curitæ omnino fuit invisus,
Τῆς παντομόρφου βασσάρας [d] λαμπουρίδος	Omniformis Meretricis vulpeculæ
Τοκῆος, ἥ τ' ἀλφαῖσι ταῖς καθ' ἡμέραν	Pater, quæ quæstibus quotidianis
Βέπεινον ἀλθαίνεσκεν ἀκμαίαν πατρός,	Immensam fovebat genitoris famem,
Ὀθνεῖα γατομοῦντος Αἴθωνος πτερά.	Externas arantis Æthonis extremitates.
Ὁ Φρὺξ δ' [f] ἀδελφῆς αἷμα τιμωρούμενος,	Phryx autem Sororis persequens cædem,
Πάλιν τιθηνὸν ἀντιπορθήσει χθόνα	Nutricem rursum perdet vicissim terram
Τοῦ νεκροτάγου, τὰς ἀθωπεύτους δίκας	Mortuorum Præsidis, incorrupta jura
Φθιτοῖσι ῥητρεύοντος ἀστεργεῖ τρόπῳ·	Umbris dicentis severis moribus:
Ὃς δή ποτ' ἀμφώδοντος ἐξ ἄκρων λοβῶν	Qui olim asini à summis ansis

VARIANTES LECTIONES.

a Πρὸς τὰ κηλωστὰ *Seld.* κηλωστὰ al. b Κυτιναῖοι *Bar.* c Θέγγρον *MSS.* utrque, & alii. Θίγγρον al. d Λαμπουρίδος *Etymologicographus.* e Βέπειναν paroxyt. alii habent. f Ἀδελφῆς *Bar.* eandemque lectionem habet *Seld.* Sed heic eadem, ut videtur, manus superposuit ᾶς.

1388. Οἱ δ' αὖ τέταρτοι.] Δύμας, βασιλεὺς Δωριέων· Δυμάντειον δὲ σποράν, λέγει τοὺς Δωριεῖς ἀπὸ τούτου· ἡγήσατο δὲ τῆς ἀποικίας αὐτῶν τῆς εἰς [1] Κνίδον Ἱππότης ὁ Ἀλήτου. Λακμὼν δέ, ὄρος Περραιβίας, ἔνθα ᾤκουν Δωριεῖς. Κύτινον δέ, πόλις Δωριέων· σημαίνει δὲ κατ' ἄμφω τοὺς Δωριεῖς· λείπει δὲ ὁ καὶ σύνδεσμος, ἵνα ᾖ, καὶ Κόδροι· δηλοῖ δὲ τοὺς Ἀθηναίους, ἀπὸ Κόδρου βασιλέως Ἀθηνῶν· μετέσχον γὰρ καὶ Ἀθηναῖοι τῆς ἀποικίας τῶν Ἡρακλειδῶν.

1390. * Θίγγρος.] πόλις Ἰκαρίας. Σάτνιον δέ, ὄρος Ἰκαρίας. Κεῖται δέ, ἐπώνυμον τῆς Δημήτρας. *

1393. Τῆς παντομόρφου.] Ἐρυσίχθων τις Θετταλός, ὁ καὶ Αἴθων καλούμενος, υἱὸς ὑπάρχων [2] Τρίοπα, ἐξέτεμε τὸ ἄλσος τῆς Δήμητρος· ἡ δὲ ὀργισθεῖσα, ἐποίησεν αὐτὸν ἀεὶ λιμώττειν, καὶ μὴ κορέννυσθαι. εἶχε δὲ οὗτος θυγατέρα Μήστραν φαρμακίδα, ἣν μεταβαλλομένην εἰς πᾶν εἶδος ζώου πιπράσκων ὁ πατὴρ καθ' ἡμέραν ἐτρέφετο· ἡ δὲ πάλιν ἀμείβουσα τὸ εἶδος, φεύγουσα πρὸς τὸν πατέρα ὑπέστρεφε, καὶ ταῦτα εἶχε μέθοδος τοῦ λιμοῦ· ἡ δὲ ἀλληγορία οὕτως ἔχει· Ὁ πατὴρ τῆς Μήστρας πάντα καταφαγών, καὶ τοὺς ἀγροὺς διὰ πενίαν ἐκτέμνων, ὄντων πολλῶν, ἐλίμωττεν· ἡ δὲ τούτου θυγάτηρ πορνευομένη, καὶ παρὰ μὲν τοῦ βοῦν, παρὰ δὲ τοῦ πρόβατον, καὶ παρ' ἄλλου ἄλλο εἶδος λαμβάνουσα, ἔτρεφε καὶ ἑαυτήν, καὶ τὸν γέροντα, ὅθεν ἐμυθεύσαντο ταῦτα.

1396. Αἴθωνος.] Αἴθων δέ, ὁ Ἐρυσίχθων ἐκαλεῖτο, ὥς φησιν Ἡσίοδος, διὰ τὸν λιμόν. Πτερὰ δέ, νῦν τὰ ἔσχατα.

1397. Ὁ Φρὺξ δ' ἀδελφῆς.] περὶ τοῦ Μίδου λέγει, ὅστις πολλὰ μέρη κατέδραμε, ἤτοι ἐπόρθησε, τῆς Θρᾴκης. [3] Οὗτος οὖν, φησί, τὸ αἷμα τῆς Κλεοπάτρας τιμωρούμενος, τὴν Εὐρώπην, τὴν ξηρὰν τοῦ ἡγεμονεύοντος καὶ ἐξάρχοντος τῶν νεκρῶν, καὶ δικάζοντος [4] αὐτοῖς Μίνωος πορθήσει.

1401. Ὃς δή ποτ' ἀμφώδοντος.] ὅστις δή ποτε Μίδας ὑπὸ τοῦ ἀμφώδοντος καὶ ξίφους, κατ' ἐμέ, φθείρας καὶ κόψας τὰ κύφελλα καὶ τὰ ὦτα ἐξ ἄκρων τῶν λοβῶν, καλλυνεῖ τὰς παρωτίδας· ἢ, κατὰ τοὺς λοιπούς, ὅστις τοῦ ἀμφώδοντος καὶ τοῦ ὄνου τεμὼν [5] τὰ κύφελλα, καλλυνεῖ παρωτίδας. λέγουσι γάρ τινες, ὦτα ὄνου ἔχειν τὸν Μίδαν, καὶ ἀποκόψαι αὐτά· οἱ δέ φασιν ὅτι ὀξέως ἤκουε, καὶ διὰ τοῦτο ταύτην ἔσχε τὴν ὀνομασίαν· λέγει γὰρ Ἀριστοτέλης τὸν ὄνον πολλὰ ἀκούειν· ἄλλοι δὲ λέγουσι, πολλοὺς ὠτακουστὰς αὐτὸν ἔχειν· τὸ δ' ἀληθὲς οὕτως ἔχει· λέγουσιν ἐν Φρυγίᾳ δύο εἶναι λόφους καλουμένους Ὄνου ὦτα, ἅπερ ὁ Μίδας κρατήσας, καὶ τοὺς ἐν αὐτοῖς λῃστὰς ἀπολών, ἐμυθεύθη ἔχειν ὄνου ὦτα.

EMENDATIONES.

1 Κνίδον, pro Κνίδιον, ex *Seld.* Κύδωνα *Bar.* & *Grav.* * Hæc adjeci ex *Bar.* & *Grav.* 2 Τρίοπα *Seld.* Τρίοπος *Bar.* & *Grav.* Quin & *Triopam* dictum fuisse hunc virum observavit *Reinesius* Var. Lect. lib. III. 3 Οὗτος οὖν, φησί, τὸ αἷμα, pro οὗτος οὖν τὸ αἷμα, ope MSS. omnium. 4 Αὐτοῖς, pro αὐτῶν, ex *Seld.* 5 Τὰ κύφελλα, pro τὰς κυφέλλας, ex *Seld.* & *Grav.* τὰ κύφελλα *Bar.*

1409. Πολλῶν

[a] Φθέρσας κύφελλα, καλλυνεῖ παρωτίδας,	Abſcindens aures, decorabit tempora,
Δάπλαις ἰτύσκων [b] αἱμοπώτησιν φόβον·	Muſcis incutiendo ſanguiſorbis metum:
Τῷ πᾶσα Φλέγρας αἶα δουλωθήσεται,	Cui tota Phlegræ terra ſubjugabitur,
[c] Θραμβουσία τε δειράς, ἥ τ' ἐπάκτιος	Thrambuſiuſque vertex, & litorale
Στρόβυγξ [d] Τίτωνος, αἵ τε [e] Σιθόνων πλάκες,	Cacumen Titonis, & Sithonum campi,
[f] Παλληνία τ' ἄρουρα, τὴν ὁ βούκερως	Arvumque Pallenium, quod corniger
Βρύχων λιπαίνει, γηγενῶν ὑπηρέτης.	Bruchon fœcundat, gigantum miniſter.
Πολλῶν δ' ἐναλλὰξ πημάτων [g] ἀπάρξεται	Multas porrò viciſſim clades auſpicabitur
Κανδαῖος, ἢ Μάμερτος, ἢ τί χρὴ καλεῖν	Candæus, vel Mavors, aut quodcunque decet
Τὸν αἱμοφύρτοις ἐστιώμενον μάχαις.	Appellare cruentis paſtum præliis.
Οὐ [i] μὰν ὑπείξει γ' ἡ Προμηθέως τοκάς,	Nec tamen cedet Epimethei Mater,
Ἀλλ' ἀντὶ πάντων Περσέως ἕνα σποράς	Sed pro cunctis quendam de Perſei progenie
Στελεῖ γίγαντα, τῷ θάλασσα μὲν βατὴ	Mittet Gigantem,cui mare quidem pervium
Πεζῷ ποτ' ἔσται, γῆ δὲ ναυσθλωθήσεται	Pediti erit, terra verò navigabitur
[k] Ῥήσσοντι [l] πηδοῖς χέρσον· ὧν δὲ Λαφρίας	Sulcanti remis agros: at Laphriæ
Οἶκοι Μαμέρσας ἠθαλωμένοι φλογὶ	Ædes Mavortiæ flamma combuſtæ
Σὺν καλίνοισι τειχέων προβλήμασι,	Cum ligneis murorum propugnaculis,
Τὸν χρησμολέσχην αἰτιάσονται βλάβης,	Vatem accuſabunt damni,
[m] Ψαίνυθα θεσπίζοντα Πλούτωνος λάτριν.	Falſa vaticinantem Plutonis famulum.

VARIANTES LECTIONES.

a Verſum hunc ſic reſtituit *Meurſius*, Φθέρσας κύφελλ' ἀπαλλυνεῖ παρωτίδας. Commentarium ejus videſis. b *Αἱμοπώτοισι Bar.* *αἱμοπώτεσι al.* *αἱμοτρώτοισι φόβοις Sold.* c *Θραμβουσία Bar.* d *Τιτώνιος Bar.* e *Σιθόνων Sold.* aliique. In *Se d.* autem eadem, ut videtur, manus ſuperſcripſit ω. *Σιθόνων Bar.* f *Παλληνία Bar.* g Al. *ἀμείψεται*. h *Κανδαῖος Sold.* aliique. i Al. *μὴν*. k Al. *ῥήσσοντι*. l *Πηδοῖς Bar.* m *Ψαίνυθα MSS.* uterque, & alii.

1409. Πολλῶν δ' ἐναλλὰξ] πολλοί, φησί, [1] πόλεμοι, ποτὲ μὲν ἐν Ἀσίᾳ, ποτὲ δὲ καὶ ἐν Εὐρώπῃ ἔσονται.

1410. Κανδαῖος, καὶ Μάμερτος, ὁ Ἄρης.

1412. Οὐ μὰν ὑπείξει γ' ἡ Προμηθέως τοκάς.] ἡ Ἀσία· Ἀσίας γὰρ καὶ Ἰαπετοῦ Προμηθεύς, καὶ Ἐπιμηθεύς, ὅστις Ἐπιμηθεὺς μετὰ τὸ ποιῆσαι τὸ κακὸν ἦν φρόνιμος, ὥστε μετανοεῖν.

1413. Περσέως.] ἐκ τοῦ Περσέως, τοῦ ὑπὸ τῆς Δανάης, τὸ γένος ἔχουσι, ὃν ὁ Ζεὺς ἐρασθεὶς τῆς Περσίδα ἐποίησε.

1414. Τῷ θάλασσα μὲν βατή.] ὁ Ξέρξης ἐμβαλὼν τοὺς Ἕλληνας, ὅτε κατὰ τῶν Ἀθηνῶν ἐστράτευσε, τὸν μὲν Ἑλλήσποντον ἔζευξεν, ὅτε βατὴν γῆν ἐποίησε· τὸν δὲ Ἄθων τὸ ὄρος κόψας, ἐποίησε θάλασσαν, ὡς ὁ Ἡρόδοτος ἱστορεῖ. καὶ ναῦς μὲν ταύτας τὰς ἱστορίας, καὶ τὰ τῶν λοιπῶν ἄθλα γράψω· ὕστερον δὲ μετὰ τὸ εἰπεῖν τὰ μικρὰ ταῦτα πάντα περὶ Ξέρξου γολώδεια, πᾶσαν ταύτην τὴν ἱστορίαν πεπλατυσμένως ἐρῶ.

1417. Οἶκοι Μαμέρσας.] οἶκος τῆς Ἀθηνᾶς, ἡ Ἀττική. Λαφρία δέ, καὶ Μάμερσα, ἡ Ἀθηνᾶ. Τὸ δὲ ἑξῆς, ἤτοι· Οἱ οἶκοι τῆς Ἀθηνᾶς σὺν τοῖς ξυλίνοις τείχεσι καυθέντες, τὸν Ἀπόλλωνα αἰτιάσονται καὶ μέμψονται διὰ τὸν χρησμόν, ὡς ἀπατήσαντα αὐτούς.

1419. Τὸν χρησμολέσχην.] ὅτε ὁ Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἤρχετο, ἐχρήσθη τοῖς Ἀθηναίοις τόδε,

Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς.

Οἱ δὲ Ἀθηναῖοι τοῦτο οὐ καλῶς νοήσαντες, κατεσκεύασαν ἐν τῇ ἀκροπόλει τεῖχος ξύλινον, ἐν ᾧ οἱ εὑρεθέντες πάντες κατεκαύθησαν ὑπὸ τῶν Περσῶν. Θεμιστοκλῆς δὲ τότε στρατηγῶν, εἶπεν αὐτοῖς τὸν χρησμόν, τεῖχος ξύλινον τὰς ναῦς λέγειν, διὸ πεισθέντες κατεναυμάχησαν τὸν Ξέρξην, εἰς τὰς τριήρεις ἐμβάντες· ἡ δὲ ναυμαχία γέγονεν ἐν Σαλαμῖνι.

1420. Πλούτωνος λάτριν.] φασὶν ὅτι ἐν τῷ τρίποδι

EMENDATIONES.

1 Πόλεμοι, pro στόλιμοι, ex Bar.

Στρατῷ δ' ἀμίκτῳ πᾶσα μὲν βρωθήσεται	Exercitu autem intractabili omnis devorabitur
Φλοιῶπιν ἐκδύουσα δίπλακα σκέπην	Corticosum exuens duplicem librum
Καρποτρόφος δρῦς, [a] ἀγρεία τ' ὀρειθαλής·	Fructifera arbos, & agrestis in montibus virens:
Ἅπας δ' ἀναύρων νασμὸς αὐανθήσεται	Omnis quoque fluviorum exarescet unda
Χανδὸν κελαινὴν δίψαν αἰονωμένων·	Affatim nigram sitim humectantium:
Κύφελλα [b] δ' ἰῶν τηλόθεν ῥοιζουμένων	Nubes etiam sagittarum procul emissarum
Ὑπὲρ κάρα στήσουσι, κιμμερὶς θ' ὅπως	Supra caput stabunt, ac, tanquam caligo,
Σκιὰ καλύψει [c] πέρραν, ἀμβλύνων σέλας·	Umbra solem teget, hebetans lucem:
Λοκρὸν δ' ὁποῖα παῦρον ἀνθήσας ῥόδον,	Paulùlum verò postquam floruerit, instar rosæ Locrensis,
Καὶ πάντα φλέξας, ὥστε κάγκανον στάχυν,	Et omnia, velut aridam spicam, combusserit,
[d] Αὖθις παλιμπλώτοιο γεύσεται φυγῆς,	Posterius renavigantem experietur fugam,
Μόσσυνα φηγότευκτον, ὡς λυκοψίαν	Turrim fagineam, sicut crepusculum

VARIANTES LECTIONES.

a Ἀγρίας *MSS.* uterque, & alii. b Al. δ' ἀν. c Vox hæc nusquam alibi exstat; si quis igitur velit πέτρον reponi, non magnopere repugnabo, inquit *Canterus*, quem sequitur *Meursius*, quorum Adnotationes consulendæ. Mihi autem inter voces extraneas, & forte Ægyptias, numeranda videtur. Qualis est ἔρπις supra v. 579. d Al. αὖτις. al. ἄντις.

χάος ἦν μέγα, ὅθεν τὰ μαντευόμενα ὡς ἐκ τοῦ ᾅδου ἀνέρχετο, ἄπερ ὁ Ἀπόλλων ἐσαφήνιζε.

1422. Δίπλακα σκέπην.] δίπλακα εἶπε, ἐπειδὴ διπλῆν ἔχει σκέπην ἡ δρῦς· δύο γὰρ δέρματα ἔχει· ἀπὸ δὲ τοῦ ἑνὸς καρποῦ τῆς δρυὸς τοὺς πάντας ἐδήλωσεν· οἱ γὰρ Ἀχαιοὶ πᾶν δένδρον δρῦν ἐκάλουν.

1424. Ἅπας δ' ἀναύρων.] ὑπερβολικῶς εἶπεν, ὅτι πάντες οἱ ποταμοὶ ξηρανθήσονται ὑπὸ τοῦ πλήθους τῶν Περσῶν· μέγιστος γὰρ ὁ ἐν τῇ Ἀττικῇ Ἰλισσός, [1] καὶ ὁ ἐν τῇ Θεσσαλίᾳ Ὀνόχωνος καλούμενος * ἀπεξηράνθησαν, * ὥς φησιν Ἡρόδοτος ἀπεξηράνθησαν καὶ ἐν τῇ Ἀσίᾳ τὸν Μαίανδρον. Ἄναυρος δὲ, κυρίως ὁ ἐν χειμῶνι ῥέων ποταμός.

1426. Κύφελλα.] τὰ ὦτα εἶπεν ἀναστῆσαι· νῦν δὲ τὰ νέφη φησὶ, ἀλλὰ τὸ κοῦφα εἶναι. λέγει δὲ νῦν τὸ πύκνωμα τῶν βελῶν.

1427. Κιμμερὶς θ' ὅπως.] Κιμμέριοι, ἔθνος περὶ τὸν Ὠκεανὸν ζόφῳ κεκαλυμμένον. ὁ δὲ νοῦς· ὥσπερ ὁ σκοτισμὸς τῶν Κιμμερίων ἀφανίζων τὸ φῶς σκότος ποιεῖ, οὕτως καὶ τὰ Περσικὰ βέλη πεμπόμενα συσκιάσει τὸν ἥλιον.

1429. Λοκρὸν δ' ὁποῖα.] ὁ Ξέρξης, φησὶ, φοβηθεὶς, φεύξεται [2] ἐπ' ὀλίγον χρόνον, ἀνθήσας καὶ κρατήσας, ὡς τὸ ἐν Λοκροῖς ῥόδον, ὃ θᾶττον μαραίνεται δι' ἀσθένειαν.

1432. Μόσσυνα [3] φηγότευκτον.] νῦν τὸν ναὸν λέγει εἰώθασι γὰρ ἐν ταῖς ναυσὶ μηχανᾶσθαι καὶ ποιεῖν πύργους ξυλίνους. Ὁ δὲ νοῦς οὕτως· Ὁ Ξέρξης, φησὶ, νικηθεὶς ἐν Σαλαμῖνι, φεύξεται, καὶ τῆς παλιμπλώτου φυγῆς γεύσεται, ναὸν ἀναζητῶν καὶ ψαλαφῶν. ὥσπερ κόρη ἀναζητοῦσα σκότους ἐρημίας, ὥστε κρυβῆναι ἐν αὐτῷ, ὅταν ὑπό τινος ξιφηφόρου [4] πολεμίου διώκηται. Ἡ δὲ σύνταξις οὕτως· Αὖθις καὶ εἰς τοὐπίσω παλιμπλώτου γεύσεται φυγῆς ὁ Ξέρξης, [5] ὁ αὖθις καὶ πάλιν ἄγχι παμφαλώμενος καὶ περιβλέπων καὶ ψηλαφῶν μόσσυνα φηγότευκτον, ὅ ἐστι ναὸν, οὕτως καὶ ψηλαφῶν ναὸν, ὡς κόρη διωκομένη χαλκηλάτῳ ξίφει, [5] ἀπὸ κοινοῦ τὸ, παμφαλᾶται πρὸς ψηλαφᾷ λυκοψίαν κνεφαίαν· Καὶ ταῦτα μὲν οὕτως. * Κατὰ δὲ τὰ συνεπτυγμένα τὴν περὶ τοῦ Ξέρξου ἱστορίαν πλατύτερον γράφειν ἀρχόμεθα. * Ἱππίας, ὁ Πεισιστράτου, τύραννος ὢν Ἀθηναίων, ἐξέπεσε τῆς τυραννίδος· ἐλθὼν οὖν περὶ Πέρσας, ἱκετεύει Δαρεῖον στρατεύειν κατὰ Ἀθηνῶν, καὶ ὡς [6] πείθει, ὡς Λεστείδης φησίν· Ἡρόδοτος δὲ γράφει, Ἀθηναίους ἀναπεισθέντας ὑπ' Ἀρισταγόρου τοῦ Μιλησίου πορθῆσαι Σάρδεις οὔσας ὑπὸ Δαρεῖον, καὶ ἑτέρας πολλάς· ὁ μαθὼν Δαρεῖος, ἤρετο, τίνες οἱ Ἀθηναῖοι; καὶ ἀπέστειλεν κατ' αὐτῶν Μαρδόνιον μετὰ βαρείας δυνάμεως, καὶ στόλου πολλοῦ· ναυαγήσαντα δὲ τοῦτον [7] περὶ τὸν Ἄθων, ὡς δισμυρίους ἄνδρας ναυαγῆσαι. καὶ τραυματισθῆναι ὑπὸ Θρᾳκῶν καὶ αὐτὸν τὸν Μαρδόνιον· ἐπέβαλε μετὰ τοῦτον ὁ Δαρεῖος τῆς ἀρχῆς· δευτέρῳ δὲ ἔτει τῆς ἀπὸ τοῦδε ἔπεμψεν Ἀθηναίοις, αἰτῶν γῆν, καὶ ὕδωρ αὐτῶν. οἱ δὲ, τοὺς μὲν Περσῶν πρέσβεις εἰς φρέαρ ζῶντας βαλόντες, ἐκεῖθεν γῆν καὶ λίθους πέμψαντες, τούτους κατέχωσαν. Μῦν δέ τινα Σάμιον ἑρμηνεύσαντα τοῖς Ἀθηναίοις τὰ Πέρσου γράμματα, κατά τινας μὲν, ἀνεῖλον· κατά τινας δὲ, ἄτιμον ἐποίησαν· ὡς καὶ [8] Ἀρίθμιον τὸν Ζελείτην

EMENDATIONES.

